δοῦναι αὐτήν. Τοῦτον δὴ τὸν Ἀγαρηνὸν ὁ Σαμωνᾶς μεταπαλεσάμενος, ἐν ἀπορρήτοις φησὶ πρὸς αὐτόν· Οἶδας ὅτι τὸν ὅλεθρον τῆς Συρίας ὅλης φέρεις ἐν ταῖς χερσίν ; Ἵνα γοῦν καὶ τὴν πατρίδα περισώσῃς καὶ τοὺς ὁμογενεῖς, τὸν κηρὸν τοῦτον ἐγχείρισον τῷ Οὐζήρ. Οὕτω γὰρ ὁ παρ' ᾧ ἦν ὁ Ἀνδρόνικος ὠνομάζετο. Ὁ δὲ πεποίηκεν ὡς παρῄγγελτο, καὶ γνόντες οἱ τῆς Ἄγαρ τὴν δύναμιν τῆς γραφῆς, καὶ τὸν Ἀνδρόνικον δεσμοῦσι καὶ πάντας τοὺς σὺν αὐτῷ. Ὁ μὲν οὖν Ἀνδρόνικος ἐν τοῖς δεσμοῖς τὸν βίον κατέλυσε. Τινὲς δὲ τῶν σὺν αὐτῷ τὴν ἐκ τῶν δεσμῶν μὴ στέργοντες κάκωσιν, τὴν πίστιν ἑαυτῶν ἐξωμόσαντο. Ὁ δὲ Κωνσταντῖνος καὶ τινες τῶν σὺν αὐτῷ τῆς εἱρκτῆς ἐκφυγόντες πρὸς τὰ Ῥωμαίων ἀπῆεσαν, καὶ τοὺς καταδιώκοντας αὐτοὺς Ἀγαρηνοὺς γενναίως τρεψάμενοι, διεσώθησαν. Ὃν ὁ βασιλεὺς ἐδέξατό τε περιχαρῶς, καὶ ἐδοξιώσατο μεγαλοπρεπῶς, καὶ διαφερόντως ἐτίμησεν· εἶτα καὶ πρὸς αὐτὸν ἔφη· Μή ἀπατάσω σε, Κωνσταντῖνε, τὸ ὄνομα, μηδ' οἷου τῆς βασιλείας τυχεῖν ; ὡς Κωνσταντίνου Ῥωμαίων μέλλοντος ἄρξαι· ἴσθι γὰρ ἀκριβῶς τοῦτον εἶναι τὸν υἱὸν τὸν ἐμόν. Σὺ δὲ εἰ μὲν ἦν ἔλαχες Σπάρταν κοσμεῖς, ἔσται σοι εὖ· εἰ δὲ νεωτερίσεις, καὶ τυραννίδι ἐπιχειρήσεις, ἔσω βεβαίως εἰδὼς ὡς διὰ τῆς δὲ τῆς πύλης (τὴν πρὸς δύσιν οὖσαν τοῦ Χρυσοτριχλίνου δείξας αὐτῷ) ἡ κεφαλή σου τοῦ λοιποῦ σώματος χωρὶς εἰσαχθήσεται· ὃ καὶ γέγονεν ὕστερον. Ἐκ δὲ Μελιτηνῆς ἐλθόντων τινῶν, ἐν οἷς ἦν καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ, ὑπεδέξατο τούτους ἐντίμως ὁ βασιλεύς, καὶ εἰς τὴν Μεγάλην Ἐκκλησίαν μὴ δεόντως ἀπίστους ὄντας εἰσήγαγεν. Ἰδὼν δὲ ὁ τοῦ Σαμωνᾶ πατήρ, ἣν εἶχεν ὁ υἱὸς αὐτοῦ τιμὴν ἐν τοῖς βασιλείοις, καὶ τὸν πλοῦτον ὃν περιέκειτο, ἤθελε συνδιάγειν αὐτῷ. Ἐκωλύθη δὲ παρ' ἐκείνου, τὴν οἰκείαν θρησκείαν τηρεῖν συμβουλεύοντος, καὶ εἰς τὴν πατρίδα ἐπανελθεῖν. Εἰ δὲ καὶ αὐτὸς, ἔφη, τύχω καιροῦ, ὑπονοστήσω πρός σε. Τῇ δ' ἑορτῇ (9) τῆς Πεντηκοστῆς ἐναστάσης, ἔστεψε τὸν υἱὸν αὐτοῦ ὁ βασιλεὺς, καὶ ἀνηγόρευσεν αὐτὸν βασιλέα. Ἐκτομίαν δ' ἔχων θεράποντα ὁ μυσαρὸς Σαμωνᾶς, Κωνσταντῖνον ὀνομαζόμενον, ἐκ δὲ Παφλαγονίας γενόμενον, τῇ δεσποίνῃ τοῦτον δέδωκεν εἰς ὑπηρεσίαν. Ἐπεὶ δὲ καὶ τῇ βασιλίσσῃ καὶ αὐτῷ τῷ κρατοῦντι λίαν ὁ Κωνσταντῖνος ᾠκείωτο, εἰς βασκανίαν ὁ βεβηλὸς ἠρέθιστο Σαμωνάς, καὶ πρὸς τὸν βασιλέα κατεῖπεν αὐτοῦ, ὡς ἐρωμένου τῇ βασιλίσσῃ. Χηλοτυπήσας οὖν ὁ Λέων ἀποκαρῆναι τοῦτον προσέταξε μοναχὸν, καὶ μετ' οὐ πολὺ ἀνακαλεῖται τοῦτον, καὶ ἀποδυθῆναι κελεύσας τὰ μοναχικὰ ἄμφια, καὶ κοσμικὴν περιβαλέσθαι στολὴν, μᾶλλον ἢ πρότερον αὐτὸν ᾠκειώσατο. Οὐκ ἀνεκτὰ δ' ἦσαν ταῦτα τῷ Σαμωνᾷ. Γράφει τοίνυν λοίδορόν τι γραμμάτιον διά τινος τῶν αὐτοῦ, καὶ τοῦτο ῥίπτει ἔνθα ὁ βασιλεὺς διελεύσεσθαι ἔμελλεν, ὅπερ εὑρὼν ἐκεῖ-

## Variæ lectiones et notæ.

(9) Τῇ δὲ ἑορτῇ. Lupus Protospatha : *Anno* 913, *ind.* 1, *coronatus est Constantius* (Constantinus) *imp. filius prædicti Leonis, qui regnavit an* 47.

νος και ἀναγνοὺς, ἤλγησέ τε καὶ τὸν πεποιηκότα τοῦτο ἐζήτει. Εἷς οὖν τις τῶν συνειδότων τὴν πρᾶξιν ταύτην τῷ Σαμωνᾷ, τοῦτον εἶναι τὸν ἐργάτην τοῦ λοιδόρου βιβλίου τῷ κρατοῦντι ἐδήλωσεν. Ἐκλείψεως μέντοι τότε τῆς σελήνης συμβάσης, τὸν μητροπολίτην Συνάδων ὁ βασιλεὺς μετεπέμψατο, περὶ ταύτης πευσόμενος. Ὃν ὁ Σαμωνᾶς ἰδίᾳ παραλαβὼν, ἤρετο περὶ τῆς ἐκλείψεως· κἀκεῖνος ἔφη ὅτι· Σὸν τὸ τῆς σελήνης πάθος σημαίνει δυστύχημα. Εἰ δὲ ἡ τοῦ Ἰουλίου τρισκαιδεκάτη (10) παρελεύσεται πρὸ τοῦ σε παθεῖν, ἐκφεύξει καὶ σὺ τὸ δυστύχημα. Εἶτα καὶ πρὸς τοῦ βασιλέως ὁ Συνάδων ἐρωτηθεὶς ἀπεκρίνατο, ὡς εἰς τὸ δεύτερον μετά σε πρόσωπον ἐνσκήψει ἡ κάκωσις. Δεύτερον δὲ πρόσωπον ὁ βασιλεὺς τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἀλέξανδρον ἔκρινεν, ἀλλ' ἐσφάλη περὶ τὴν κρίσιν· ἔδει γάρ ποτε τῷ κακίστῳ Σαμωνᾷ γενέσθαι κακῶς. Μαθὼν οὖν ὁ Λέων, ὡς ἐκεῖνος ἦν ὁ τοῦ λοιδόρου βιβλίου πατὴρ, ἐξωθεῖ μὲν τῶν βασιλείων αὐτὸν, καὶ ἀποκείρει, καὶ περιγραπτοῖς ὁρίοις καθείργνυσι. Καὶ ταῦτα γέγονε μήπω τῆς τρισκαιδεκάτης τοῦ Ἰουλίου παραῤῥυείσης. Παρακοιμώμενος δὲ ἀντὶ τοῦ Σαμωνᾶ ὁ παρ' ἐκείνου βασκαινόμενος Κωνσταντῖνος καὶ ἐπιβουλευόμενος προκεχείριστο, ᾧ καὶ μονὴν ὁ βασιλεὺς ἐδομήσατο ἐν ταῖς Νοσσιαῖς (11). Νοσήσας δὲ ὁ Λέων κοιλιακὸν νόσημα, τοσοῦτον κατειργάσθη τὴν δύναμιν, ὡς μηδὲ δυνηθῆναι διαλεχθῆναι τῇ συγκλήτῳ, περὶ Νηστείας τὴν συνήθη διάλεξιν ἢ καλεῖται Σελέντιον. Ὅμως ὀλίγα τινὰ ταύτῃ διαλεχθεὶς, καὶ ἀξιώσας αὐτοῦ μεμνῆσθαι, καὶ πίστιν εἰς τὴν αὐτοῦ σύμβιον τηρεῖν καὶ εἰς τὸν υἱὸν, καὶ τελευταίαν ταύτην προσλαλιὰν πρὸς αὐτὴν ποιεῖσθαι εἰπὼν, οὐκ αὐτίκα ἐξέλιπεν, ἀλλὰ μέχρι τοῦ Μαΐου διήρκεσε. Τότε δὲ τελευτῶν τὴν αὐταρχίαν τῷ ἀδελφῷ κατέλιπεν Ἀλεξάνδρῳ, καὶ τὸν υἱὸν αὐτοῦ παραδέδωκεν, ἀξιώσας ἐπιμελεῖσθαι αὐτοῦ, καὶ ἀνάγειν βασιλικῶς, καὶ αὐτῷ τὸ κράτος καταλιπεῖν· ὃν βλέπων ἐρχόμενον πρὸς αὐτὸν ἐν τῷ ἤδη ἐκλείπειν, ὥς φασιν, ἔφη· Ἴδε ὁ κακὸς καιρὸς, μετὰ τοὺς δεκατρεῖς μῆνας. Ἐβασίλευσε δὲ ὁ Λέων ἔτη εἴκοσι καὶ πέντε, ἐπὶ μησὶ τρισίν.

A certis finibus includit, idque accidit ante diem Julii XIII. Constantinus cui Samonas et invidebat et insidiabatur, illius loco cubicularius est designatus, eique monasterium in Nossiis extructum. Imperator autem cœliaco morbo laborans, viribus ita exhaustis fuit, ut de jejunio apud senatum de more orationem habere non posset, quæ oratio Silentium appellatur. Pauca tamen est locutus, petiique ut patres conscripti sui memores, conjugi filioque suo fidem servarent : quamvis autem diceret, se eos nunc prostremo affari, non tamen statim defecit, sed ad Maium usque vixit. Tum vero moriens, imperium fratri Alexandro reliquit, eidemque filio suo tradito, petiit, ut eum curaret, regaliterque educato, imperium relinqueret, quem cum jam moribundus **182** ad se venire vidisset, B dixisse fertur : *Ecce infaustum tempus post* XIII *menses*. Imperavit annos XXV et III menses.

ΙΕ'. Ἀλέξανδρος δὲ ἅμα τε τοὺς πόδας ἤρεισε τῇ ἀρχῇ, καὶ ἅμα τὸν πατριάρχην Νικόλαον ἐκ τῶν Γαλακρηνῶν ἀγαγὼν, εἰς τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνήγαγε, τὸ δεύτερον καταγαγὼν τὸν Εὐθύμιον. Καὶ ἐπὶ βήματος τὴν τούτου ποιήσας καθαίρεσιν, ἐνυβρισάντων εἰς τὸν ἄνδρα πολλὰ τῶν προσκειμένων τῷ Νικολάῳ, εἶτα καὶ ὑπερόριον

XV. Alexander firmato imperio, patriarcham Nicolaum statim e Galacrenis in sedem Constantinopolitanam reduxit, pulso in exsilium Euthymio, et dignitate in ambone abrogata, cum quidem Nicolai sectatores multis hominem contumelis affecissent. Rerum potitus nihil imperatore dignum gessit, deliciis, venationibus, ebrietati, comessationibus,

## Variæ lectiones et notæ.

(10) Ἡ τοῦ Ἰουλίου τρισκαιδεκάτη. Legendum Ἰουνίου, quomodo habent Leo Grammaticus, anonymus Combefisianus, n. 31 ; Scylitzes, et Glycas.

(11) Ἐν ταῖς Νοσσιαῖς. Subdit, quod ab aliis siletur, Symeon Logotheta in Chron. mss. Ἄξιον δὲ ὀλίγα εἰπεῖν ποιῷ τρόπῳ ἡ μονὴ τῶν Νοσσιῶν κέκτισται· οὗτος ὁ Κωνσταντῖνος εἶχε πατέρα γέροντα εὐλαβῆ καὶ φοβούμενον τὸν Θεὸν, ὃς καὶ ἐν αὐτῷ τῷ τόπῳ τῶν Νοσσιῶν προαστίτζην ἐκέκτητο πρὸς τῇ θαλάσσῃ πάνυ μικρὸν, ἐν ᾧ καὶ ὕδωρ ἐπὶ δεξαμενὴν ἐκβαλὼν ταῖς ὁδίταις ἐποίει παραψυχήν. Ἐν τούτῳ τῷ ὕδατι συνέβη στρατιώτην διέρχεσθαι καὶ ἀναψύξαντα ἐκβαλεῖν ἅπερ ἐκ δικαίου πόρου εἶχεν νομισμάτων, καὶ ἀριθμῆσαι, ἃ καὶ ἦσαν εἰς νν 79 τρεῖς ἀριθμούμενα· εἶτα ἀναστὰς, οἷα συμβαίνει, καὶ τῷ ἵππῳ ἐπιβὰς, ᾤχετο τὴν ὁδὸν αὐτοῦ τὸ χρυσίον κατὰ τὸν τόπον ἀφείς. Ὡς οὖν ἔθος εἶχεν ὁ γέρων, ἐξῆλθεν πρὸς τὴν δεξαμενὴν, καὶ εὑρὼν τὸν χρυσίον, ἐλυπήθη τὴν τοῦ ἀπολέσαντος ἀθυμίαν· ὅμως ἐν ἑαυτῷ φυλάττων, οὐ διέλιπεν ἀπὸ νυκτὸς εἰς νύκτα εὐχόμενος τῷ Θεῷ τοῦτον ἐλθεῖν καὶ ἀπολαβεῖν τὸ ἴδιον. Ὁ μέντοι στρατιώτης τὰς πύλας περασας, καὶ ἐπιμνησθεὶς, ὅμως τι ποιῆσαι μὴ δυνάμενος, τὴν ὁδὸν αὐτοῦ ἀπῄει λυπούμενος· καὶ μετὰ τρίτον ἐνιαυτὸν, ἔρχεται πρὸς τὸν τόπον τῶν Νοσσιῶν, καὶ τοῦ ἵππου ἀποβας, αὐτὸν μὲν ἐπότισεν, ἀλλὰ καὶ αὐτὸς πιὼν ἐκάθητο σύννους, καὶ στενάξας εἶπεν ὅτι Ἐν τούτῳ τῷ τόπῳ ἀπώλεσά μου τὴν ζωήν. Τοῦτο ἀκούσας ὁ τίμιος γέρων, ἀπηρώτησεν αὐτῷ, τί ἄρα τὸ συμβὰν, κύριέ μου; Ὁ δὲ εἶπεν, ὅτι Ἐνταῦτα ἀπώλεσαν νν'· καὶ παρευθὺ καὶ τὸν τόπον ὑπεδείκνυεν, καὶ τὰ σημεῖα τοῦ βαλαντίου, καὶ τὸ πόσον ἔλεγεν· καὶ ὁ ἄνθρωπος τοῦ Θεοῦ εὐθὺς ἐξέλκει τοῦτο τοῦ κόλπου αὐτοῦ, καί φησι, Γνωρίζεις τοῦτο; ὁ δὲ ἀφωνίᾳ ἐπὶ πολὺ κατασχεθεὶς, ὅμως ναὶ εἶπεν, ὅπερ ἀπώλεσα αὐτό ἐστιν· καί φησι, Ἀπόλαβε αὐτὸ, πληροφορούμενος ὡς οὐκ ἄνοιξα αὐτὸ οὐδὲ εἴδω τί ἐστιν ἔσωθεν. Τοῦτο λαβὼν ὁ ἄνθρωπος, παρακαλῶν λαβεῖν ἐξ αὐτοῦ ὅσα καὶ βούλεται· ὁ δὲ οὐκ ἠθέλησεν τὸ σύνολεν, ὅθεν ὁ στρατιώτης ἀπέρχεται τὴν ὁδὸν αὐτοῦ, χαίρων καὶ εὐχαριστῶν τῷ Θεῷ. Γῇ οὖν νυκτὶ ἐκείνῃ ὁρᾷ κατ' ὄναρ τὸν Χριστὸν ἐλθόντα καὶ εἰπόντα αὐτῷ. Ἀνθ' ὧν ἐποίησας εἰς τὸν στρατιώτην, ἰδοὺ αὔριον ἀκούσεις γενόμενον παρακοιμώμενον τὸν υἱόν σου, καὶ τὸ προάστετον τοῦτο εἰς μονὴν μεγάλην γενησόμενον πρὸς δοξολογίαν ἐμήν· καὶ σὺ δὲ αὐτὸς τὸν ὑπὲρ τούτων μισθὸν κομιεῖ. Πρωΐας δὲ γενομένης, τὸ μήνυμα ἦλθεν, καὶ μετ' ὀλίγας ἡμέρας τῇ θελήσει τοῦ βασιλέως καὶ τῇ ἐξόδῳ, ὡς εἴρηται, τὸ μοναστήριον οἰκοδομεῖτα, καὶ ἐνεθρονίσθη.

uxoriæ deditus. Res imperii et reipublicæ mandavit circulatoribus et hominibus e triviis, quos ante imperium clandestinorum facinorum habuerat socios: quorum unum Basilitzem successorem imperii declarare in animo habuit. Nam fratris filium Constantinum et privatum esse, et virilibus privare volebat. Idque nisi vitam celeriter finisset, consiliis ejus a divina Providentia eversis, quantum quidem in ipso fuit, re ipsa fortasse factum esset. Cum præstigiatores percontaretur, an diu victurus esset? audivit ex eis, se foro longævum, si apro æneo in theatro, dentes et pudenda addidisset: *Tum enim*, aiebant, *is est elementum, seu actum, quia adversus Leonem fratrem tuum stetisti*; neque ulla in re alia recte judicarunt, nisi quod hominem gulæ conviviisque mancipatum, luxuque continenter diffluentem, sui comparârunt. Credidit homo porcis amentior, illorum verbis, easque partes æneo operi adjecit. Cum Bulgarorum princeps Symeon per legatos ex eo quæreret, an pacem conservaturus esset? eos Alexander contemptim excepit, superbe alloculus est, et arroganter comminatus. Cujus contumeliæ Symeon impatiens, se contra Romanos armavit. Alexander vero conviviis et ebrietati perpetuo indulgens, cum a balneo pransus, ventre epulis meroque distento, pila luderet, equitando, et pilæ inflexionibus, vasis quibusdam ruptis, multoque sanguine per nares et veretrum rejecto, uno die post exstinctus est: cum nepoti suo tutores, et imperii administratores scripto ordinasset, patriarcham Nicolaum, magistrum Stephanum, magistrum Joannem Eladam, Joannem rectorem, et duos, quos e circulis vocatos, ad senatoriam et patriciam **183** dignitatem evexerat, Bazilitzem et Gabriclopolum.

XVI. Alexandro, cum imperium annum unum et mensem ludificatus esset, defuncto, potestas ad Constantinum Leonis filium devoluta est, admodum pucrum adhuc: septimum enim agebat annum. Enimvero Constantinus Andronici Ducæ filius, domesticus legionum, Alexandri obitu audito (nam

ποιήσας αὐτόν. Ἀναρχήσας δὲ ὁ βασιλεὺς οὗτοσι, οὐδὲν ἐοικὼς εἰργάσατο βασιλεῖ, ἀλλὰ τρυφαῖς καὶ θήραις καὶ κώμοις καὶ ἀπελγείαις ἐξέδωκεν ἑαυτόν. Τὰ δὲ τῆς βασιλείας καὶ κοινὰ πράγματα ἀνθρώποις ἀνέθετο ἀγύρταις καὶ τοῖς ἐκ τριόδων, οὓς πρὸ τῆς μοναρχίας ἀποῤῥήτων εἶχε πράξεων κοινωνούς, ὧν ἕνα Βασιλείτζην λεγόμενον, καὶ διάδοχον τῶν σκήπτρων διενοεῖτο ποιήσασθαι. Τὸν γὰρ ἀδελφόπαιδα Κωνσταντῖνον καὶ ἰδιωτεῦσαι ἐβούλετο, καὶ τῶν παιδογόνων ἀφελέσθαι μορίων. Καὶ εἰ μὴ ταχὺ τὸ τέλος αὐτῷ τῆς ζωῆς ἐπελήλυθε, καὶ οὕτως αὐτῷ παρὰ τῆς ἄνω προνοίας ἐτράλησαν τὰ βουλεύματα, τάχ' ἂν ὅσον τὸ ἐπ' ἐκείνῳ, καὶ εἰς ἔργον ἐξέβησαν. Γοήτων δὲ πυνθανόμενος εἰ ἐς μῆκος αὐτῷ τὰ τῆς ζωῆς προελεύσεται, ἤκουσεν ἐξ ἐκείνων ὡς ἔσται αὐτῷ μακροχρόνιον τὸ βιώσιμον, εἰ τῷ ἐν τῷ θεάτρῳ συὶ ὃς ἐκ χαλκοῦ πέπλασται ὀδόντας καὶ αἰδοῖα περίθοιτο· Σὸν γὰρ (12), ἔλεγον, οὗτος στοιχεῖόν ἐστιν, ἀντίος ἱστάμενος Λέοντι τῷ σῷ ἀδελφῷ· οὐδὲν ἕτερον κρίνοντες ὀγιὲς, ἢ τὸ συὶ τοῦτον ἀπεικάσαι τὸν αὐτοκράτορα, διὰ τὸ περὶ γαστέρα κεχηνέναι τε καὶ σσσίτια, καὶ ἀκολασίαις προσκεῖσθαι διηνεκῶς. Πιστεύσας οὖν τοῖς λόγοις ἐκείνων, ὁ καὶ χοίρων ἀνοητότερος, τὰ λείποντα ταῦτα τῷ χαλκουργήματι ἐξειργάσατο. Τοῦ μέντοι τῶν Βουλγάρων ἀρχηγετοῦντος Συμεὼν εἴ τὴν εἰρήνην ἀσπάζοιτο ἐρωτῶντος δι' ἁ τινων ὑπ' αὐτοῦ πεμφθέντων, ὁ Ἀλέξανδρος ἀτίμως τε τοὺς πεμφθέντας ἐδέξατο, καὶ ὑπερηφάνως ὡμίλησε, καὶ ὑπερόγκως ἠπείλησεν. Ὅθεν ὁ Συμεὼν τὴν ὕβριν μὴ ἐνεγκὼν, κατὰ Ῥωμαίων ὡπλίσατο. Συμποσίοις δὲ καὶ μέθαις διόλου προστετηκὼς ὁ Ἀλέξανδρος, ἅπαξ ἀριστήσας μετὰ λουτρὸν, καὶ κοίλῃ χρησάμενος τῇ γαστρὶ, καὶ ἀπλήστως ἀκρατησάμενος, σφαιρίσαι προεῖτο, καὶ καταπεῖνας τὸ σῶμα τῇ ἱππασίᾳ, καὶ ταῖς τῆς σφαίρας ἐκτραχηλίσεσι, ῥῆξιν ὑπέστη, καὶ αἷμα διά τε τῆς ῥινὸς κενώσας καὶ τῆς αἰδοῦς, μετὰ μίαν ἡμέραν ἐξέλιπεν, ἐπιτρόπους (13) τῷ ἀνεψιῷ καὶ τῆς βασιλείας διοικητὰς γράψας, τόν τε πατριάρχην Νικόλαον καὶ τὸν μάγιστρον Στέφανον, καὶ τὸν μάγιστρον Ἰωάννην τὸν Ἐλαδᾶν τόν τε ῥαίκτορα Ἰωάννην, καὶ δύο τῶν ὑπ' αὐτοῦ προαχθέντων ἐκ τύχης ἀγύρτιδος εἰς συγκλητικὴν ἀξίαν, καὶ εἰς πατρικιότητα τὸν Βασιλείτζην καὶ τὸν Γαβριηλόπωλον.

ΙΖ'. Ὁ μὲν οὖν Ἀλέξανδρος ἕνα ἐνιαυτὸν καὶ μῆνα τὴν βασίλειον διαπεσσεύσας ἀρχὴν, κατέλυσε τὴν ζωήν· τὸ δὲ κράτος ἐς Κωνσταντῖνον τὸν υἱὸν τοῦ Λέοντος περιέστη, παῖδα ἔτι τυγχάνοντα (41) κομιδῇ· ἑβδομον γὰρ αὐτῷ τῆς ἡλικίας ἔτος ἠνύετο. Ὁ μέντοι τοῦ Δούκα (15) Ἀνδρονίκου υἱὸς ὁ

## Variæ lectiones et notæ.

(12) Σὸν γάρ. Hæc varie efferuntur a scriptoribus: Symeon logothcta ait præstigiatores Alexandro dixisse τὴν ζωὴν αὐτοῦ προσανακεῖσθαι apri statuæ in Circo. Neque aliter Leo Grammaticus: Τὸ τοῦ συάγρου στοιχεῖον τὸ ἐν τῷ ἱππικῷ σοι καὶ τῇ σῇ ζωῇ προσανάκειται Zonaræ vero accedit Scylitzes: Στοιχεῖον γὰρ αὐτοῦ τοῦτον εἶναι προφανῶς. Λέοντι γὰρ ἀντιμάχεται τῷ αὐτοῦ, φασὶν, ἀδελφῷ.

(13) Ἐπιτρόπους Gregorius in Vita S. Basilii Jun. n. 10: Παρελθόντος οὖν τούτου τε τὰ σκήπτρα κατέχοντος Λέοντος, μετ' ἐνιαυτὸν καὶ μικρόν τι πρὸς, καὶ ὁ τούτου ἀνταδελφος μετέστη Ἀλέξανδρος, διὰ δοχὴν καταλείψας τῆς βασιλείας τὸν ἐκ τοῦ Λέοντος ἀνεψιὸν Κωνσταντῖνον, σὺν τῇ μητρὶ αὐτοῦ Ζωῇ, νήπιον δὲ κομιδῇ ὄντα· ἐπιτρόπους δὲ καὶ φύλακας αὐτῷ ἐπαφῆκε τόν τε ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Νικόλαον, καὶ Ἰωάννην τὸν μάγιστρον τὸν Γαβιδᾶν, καὶ τοὺς σὺν αὐτοῖς, τὴν βασίλειον ἀρχὴν τῷ παιδὶ σωντηροῦντας μή τις ἁρπάσῃ αὐτήν.

(14) Παῖδα ἔτι τυγχάνοντα. Liutprandus, l. III, cap. 7, de Leone imp.: *Unicumque filium Constantinum, qui nunc usque superest, et feliciter regnat, parvulum, et ut Græci aiunt, ἄλαλον id est mutum et infantem dereliquit.*

(15) Ὁ μὲν τὸν τοῦ Δούκα, etc. Tyrannidis Constantini Ducæ historiam præ cæteris accurate descripsit Gregorius in Vita S. Basilii Junioris, c.

Κωνσταντῖνος, δομέστικος ὢν τῶν σχολῶν, καὶ τὴν τοῦ Ἀλεξάνδρου ἐνωτισάμενος τελευτήν, (ἀπεδήμει γὰρ τῆς βασιλίδος τῶν πόλεων) τὸ μέν τι ὂν ἐκφυπτων ὑπὸ σποδιᾷ σπινθῆρα τοῦ ἔρωτος τῆς βασιλείου ἀρχῆς ἐκκαλύπτων τε καὶ ἀναρρίπίζων, τὸ δὲ καὶ ὑπ' ἄλλων πρὸς τοῦτο ἐρεθιζόμενος, ὧν εἷς εἶναι λέγεται (16) καὶ ὁ πατριάρχης Νικόλαος, (μήπω γὰρ τῆς τοῦ Ἀλεξάνδρου διαθήκης ἀναγνωσθείσης, οὐκ ἤδει καὶ αὐτὸς καταλελειμμένος ἐπίτροπος) τυραννίδι (17) ἐπικεχείρηκε, καὶ τοὺς ἐκκρίτους τῶν στρατευμάτων παραλαβὼν τῷ Βυζαντίῳ ἐπιδεδήμηκε, καὶ διά τινος πυλίδος νυκτὸς εἰσελθὼν τὴν τοῦ Ἱπποδρόμου πύλην μετὰ λαμπάδων καταλαμβάνει, καί τινας τῶν συγκλητικῶν προσεταιρισάμενος, πολλοῦ καὶ δημώδους ὄχλαν συναθροισθέντος, οἳ καὶ ὡς βασιλέα αὐτὸν εὐφήμουν καὶ ἀνηγόρευον. Τῶν δ' ἐντὸς τὰς πύλας μὴ ἀνοιγνύντων, ὁ πρωτοστράτωρ τοῦ Κωνσταντίνου ταῖς χερσὶ πεποιθὼς καὶ θρασύτερον προσαράξαι τὰς πύλας καὶ καταβαλεῖν διαζόμενος, νύττεται λόγχῃ παρά τοῦ τῶν ἔνδον διά τινὸς ἀμυχῆς, καὶ ὁ μὲν ἦν αὐτίκα νεκρός. Ὁ δέ γε Κωνσταντῖνος ἐκεῖθεν εἰς τὸ τῶν ἵππων ἄπεισιν ἀμιλλητήριον θέατρον, εἶτα εἰς τὴν λεγομένην ἦλθε Χαλκῆν, καὶ ἄχρι τῶν ἐξκουβίτων προῆλθεν. Ὁ δὲ τῶν ἐπιτρόπων εἷς ὁ μαγιστρος Ἰωάννης ὁ Ἑλαδᾶς, ἐκ τῶν ἑταιριῶν καὶ τῶν πλωΐμων συλλέξας τινὰς, ἀντικαταστῆναι τῷ τυραννοῦντι αὐτοὺς ἐξαπέστειλε. Καὶ συμπλοκῆς γενομένης, πολλοὶ πεπτώκασιν ἑκατέρωθεν, ἔσφακτο δὲ καὶ Γρηγορᾶς ὁ τοῦ Δούκα υἱὸς, καὶ ὁ ἀνεψιὸς αὐτοῦ Μιχαήλ, καὶ Κουρτίκιος ὁ Ἀρμένιος. Τούτοις οὖν περιαλγήσας ὁ Κωνσταντῖνος, καὶ τὸ οἰκεῖον ἐπιῤῥῶσαι προθυμούμενος σύνταγμα, τὸν ἵππον ἤλαυνε, συμμίξαι θέλων τοῖς ἔμπροσθεν· ἐστρωμένου δὲ τοῦ ἐδάφους πλαξὶν, ὑπολισθήσας ὁ ἵππος ἔπεσε καὶ τὸν ἀναβάτην κατήνεγκε, καί τις αὐτῷ εὐθὺς ἐπελθὼν ἐξέτεμε τὴν αὐτοῦ κεφαλὴν (18) καὶ τῷ βασιλεῖ Κωνσταντίνῳ προσήνεγκε, διὰ τῆς δυτικῆς τοῦ Χρυσοτρικλίνου πύλης εἰσιλθών, κατὰ τὴν πρόῤῥητιν τοῦ βασιλεύσαντος Λέοντος. Ὅτι δὲ οὐ τεύξεται ὁ Δούκας Κωσταντῖνος τῆς βασιλείας, καὶ ἑτέρωθι τοῖς περὶ τὸν βασιλέα ἐπέγνωστο. Ἦν γάρ τις τελώνης Νικόλαος, ὃς χρεώστης πολλῶν χρημάτων τῷ δημοσίῳ γενόμενος, πρὸς τοὺς Ἰσμαηλίτας κατέφυγε, καὶ τὴν πίστιν ἐξομοσάμενος, ἀστρολογίαν μετῄει. Οὗτος κῷ λογοθέτῃ τοῦ δρόμου ἀπιστάλκει γραμμάτιον· ἡ δὲ τούτου περίληψις ἦν τοιαύτη· Μὴ φοβηθῆτε ἀπὸ τοῦ Δούκα· νεωτερίσει γὰρ ἀφρόνως, καὶ εὐθέως ἁλοθρευθήσεται. Καὶ ἡ μὲν

A tum aberat ab urbe), partim veluti scintillas cupiditatis imperii quas sub cineribus tegebat, detegens et ventilans : partim ab aliis quoque incitatus, quorum unus fuisse perhibetur patriarcha Nicolaus (nam Alexandri testamento nondum lecto, ignorabat se quoque relictum esse tutorem), tyrannidem invasit, delectisque militibus assumptis, Byzantium noctu per quamdam portulam ingressus, Circi equestris portam cum facibus occupat, conciliatis sibi senatoribus quibusdam, et magna plebis turba congregata, qui eum faustis omnibus prosequebantur, et imperatorem salutabant. Custodibus autem portam non aperientibus, Constantini Protostrator, manibus fretus, dum eam audacius cedere et revellere nititur, per foramen lanceæ confossus, statim concidit exanimis. At Constantinus inde in equestrium certaminum theatrum discedit. Deinde in Chalcen, et usque ad excubitorum stationem progreditur. Verum unus tutorum, Joannes Eladas magister quodam ex soladitatibus et classiariis collectos misit, ut tyranno resisterent. Pugna commissa, multi utrique ceciderunt : cæcus Græcoras Ducæ filius, et patruelis ejus Michael et Curticius Armenius. Ob hos amissos Constantinus dolens, dum exercitum suum confirmaturus, concitato equo in primam aciem provehitur, equo in solo tabulis lapideis strato prolapso, præcipitatur : cui quidam statim caput amputat, idque imperatori Constantino offert, per occidentalem aurei triclinii portam ingressus, quemadmodum Leo imperator valicinatus fuerat. Constantinum autem Ducam imperio non potiturum, imperatori et aulicis etiam aliunde innotuerat. Erat quidam publicanus Nicolaus, qui grandi ære alieno reipublicæ obstrictus, abjurata religione, ad Ismaelitas se contulerat, et astrologiam tractabat. **184** Is cursus publici logothetæ litteras miserat, quarum hæc summa erat : *Nolite timere a Duca : nam temere nobis rebus studebit, et statim funditus peribit.* Defectione compressa, seditiosi socer magister Gregorus, et Leo Chrærosphactes, in Magnam Ecclesiam se contulerunt : quos tutores inde ejectos totonderunt, ut in monasterio Studii monachi essent. Alios flagris cæsos in triumpho circumduxerunt, nonnullis oculos effoderunt, quosdam obtruncarunt, alios a Chrysopoli usque ad Leucatem trabibus affixerunt. Ac plures eorum licentia periissent, nisi quidam ex judicibus eas a temeritate illa puniendi retraxissent, hujusmodi verbis : *Cur vos*

## Variæ lectiones et notæ.

914, a quo excusatur, multisque laudibus extollitur, ob vitæ probitatem, et bellicam virtutem.

(16) Ἦν εἷς εἶναι λέγεται. Quod et testatur in primis idem Gregorius, c. 10 et 11.

(17) Τυραννίδι. In hujusmodi reipublicæ mutationibus, sceptrique ab una familia ad aliam per usurpationem aut tyrannidem translatione, fere semper accidebat, ut imperii provinciis paulo remotioribus, seditiones novique motus excitarentur Liutprandus, l. II, c. 12 : *Et sicut fieri assolet, primo quo Romanus suscepit imperium, nonullæ ei gentes, præsertim* Ἀνατολικαὶ, *hoc est Orientales.*) *visæ sunt rebellare.*

(18) Ἐξέτεμε τὴν κεφαλήν. Ita Leo Grammaticus, Scylitzes, Logotheta, et alii. At auctor Vitæ S. Basilii Junioris sagittæ ictu in dextra vulneratum primo scribit, continuoque in terram decidisse, posteaque interemptum.

*ista facilis injussu imperatoris? qui cum puer sit in eu quæ geruntur, consentire non creditur?* Sed et Constantini uxorem tonsam, et filium ejus Stephanum virilibus exsectis, in Paphlagoniam domum suam ire permiserunt. Imperatoris igitur tutores tam patriarcha quam cæteri, suo arbitratu res gerentes, multa contra quam oportuit, egerunt, neque consenserunt inter sese : aliis id quod alii statuerant, abrogantibus, ut imperium non unius, sed multorum esset. At Symeon Bulgarus, opinatus se, quod nullus esset imperator, urbis Regiæ facile potiturum; Byzantium cum maximis copiis aggreditur, et extra muros castris locatis, expugnationem meditatur. Sed cum firmitatem mœnium vidisset, et multitudinem ea defendentium, et frequentes in iis machinas : veluti vertigine oborta, ad Hebdomum regressus, pacem facere studuit. Patriarcha igitur et cæteri tutores imperatorem secum in Blacherniam regiam adduxerunt, quo et Symeon venit, obsidibus datis et acceptis, et a patriarcha submisso capite, fausta comprecatione accepta, cum imperatore cibum cepit. Sed cum ei pacis conditiones displicerent, discessit sine pactionibus : muneribus et ipse et liberi ejus donati. Jam quia imperator matrem perpetuo revocabat, et ejus absentiam deplorabat : quam Alexander pridem regia eduxerat, tutores reducere sunt coacti. Reversa curam rerum suscepit, et cubiculario Constantino, duobusque fratribus Gongyliis ascitis, primum patriarcham regia movet. Deinde Alexandri ministros, rectorem Basilitzem, **185** Gabrielopolum, et cæteros etiam. Constantinus autem sacri cubiculi præpositus poterat omnia. Cæterum Bulgarus Symeon Thraciam incursionibus populatus, vallo excitato se Adrianopolim expugnaturum confidebat. Quo conatu cum se frustrari videret, alia via rem aggreditur, et quibusdam præsidiariis pecunia corruptis, urbem proditam vastabat, quam imperatricis studium Romano imperio recuperavit. Quæ cum crebras Symeonis in Thraciam excursiones non ferret : pace cum Ismaelitis facta, et legionibus tam orientalibus quam occidentalibus convocatis, magistro Leoni Phocæ legionum domestico, bellum in Symeonem mandat, qui pugna commissa, Bulgaros insigni victoria superat, nullis eorum cæsis. Sed præ defatigatione et sudore vix sui compos, equo descendit, seque ad fontem quemdam recreavit. Interea equus ministri manibus elapsus, in planicie castrorum sine sessore exsultabat. Qui cum insignis esset tantum terrorem incussit exercitibus, domesticum cecidisse ratis, ut et pugna et perso-

Α ἀποστασία ἐπέπαυτο. Ὁ δὲ τοῦ Κωνσταντίνου πενθερὸς ὁ μάγιστρος Γρηγορᾶς, καὶ Λέων ὁ Χιροσφάκτης τῆς τῇ Μεγάλῃ Ἐκκλησίᾳ προσπεφοιτήκασιν, οὓς ἐκβαλόντες τοῦ θείου τεμένους, μοναχοὺς ἀπέκειραν οἱ ἐπίτροποι, ἐν τῇ τοῦ Στουδίου μονῇ, Ἄλλους δ' αἰκισάμενοι ἐθριάμβευσαν, ἑτέροις τὰ ὄμματα ἐξεπήρωσαν ἐνίων δὲ τὰς κεφαλὰς ἀπέτεμον, καὶ ἄλλους ἐκ Χρυσοπόλεως (19) μέχρι τοῦ Λευκάτου ἀνεσκολόπισαν. Καὶ ἄλλοι δὲ πλείους τῆς τῶν ἐπιτρόπων ἐξουσίας γεγόνασιν ἂν παρανάλωμα, εἰ μή τινες τῶν δικαστῶν τῆς πρὸς τὰς τιμωρίας ῥυπῆς αὐτοὺς ἀνεχαίτισαν, εἰπόντες· Πῶς ταῦτα ποιεῖτε ὑμεῖς κελεύσεως ἄτερ βασιλικῆς, ἐπεὶ παῖς ὢν ὁ βασιλεὺς, τοῖς πραττομένοις οὐ συναινεῖ. Ἀποκείραντες δὲ οἱ ἐπίτροποι, καὶ τὴν
B τοῦ Κωσταντίνου γυναῖκα, καὶ τὸν υἱὸν Στέφανον ἐκτομίαν ποιήσαντες, εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῶν ἐστάλκασι τούτους. Οἱ δὲ τοῦ βασιλέως ἐπίτροποι δ' τε πατριάρχης, καὶ οἱ λοιποὶ, ἐναυβεντοῦντες τοῖς πράγμασι, πολλὰ τῶν οὐ δεόντων ἐποίουν, καὶ πρὸς ἀλλήλους δὲ διεφέροντο, τῶν μὲν τάδε εἰσαγόντων, τῶν δὲ τὰ ἀντίθετα, καὶ ἦν ἡ τούτων διοίκησις πολυαρχία τις, ἀλλ' οὐ μοναρχία. Ὁ δὲ Βούλγαρος Συμεὼν (20), ὡς μὴ βασιλέως ἐπιστατοῦντος τοῖς πράγμασι, ῥᾳδίως ἐλπίσας κρατῆσαι τῆς βασιλίδος τῶν πόλεων ἔπεισι κατὰ ταύτης μετὰ πλείστης δύνάμεως, καὶ ἔξω στρατοπεδεύεται τῶν ταύτης τειχῶν, καὶ πολιορκῆσαι ταύτην διενενόητο. Ἰδὼν δὲ τὸ τῶν τειχῶν κρατερὸν, καὶ τὸ πλῆθος τὸ ἐπ' αὐτῶν, καὶ τῶν ἐν τοῖς τείχεσι μηχανημάτων τὸ δαψιλὲς, εἰλιγιάσας μετέπεσεν εἰς τὸ Ἔβδομον, ζητῶν σπείσασθαι. Ὁ γοῦν πατριάρχης καὶ οἱ λοιποὶ τῶν ἐπιτρόπων λαβόντες τὸν βασιλέα, εἰς τὰ ἐν Βλαχέρναις ἦλθον βασίλεια, ὅπου καὶ ὁ Συμεὼν παρεγένετο, ὁμήρους δοὺς καὶ λαβὼν, καὶ τῷ πατριάρχῃ κλίνας τὴν κεφαλὴν, ηὐλογήθη παρ' ἐκείνου, καὶ συνειστιάθη τῷ βασιλεῖ. Εἶτα μὴ ἀρεσθεὶς ταῖς συνθήκαις, ἐπατῆλθεν ἀσύμβατος, δώροις δεξιωθεὶς καὶ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ. Ἀνακαλουμένου δὲ διόλου τὴν ἑαυτοῦ μητέρα τοῦ Βασιλέως, καὶ ἐπὶ ταύτῃ δακρύοντος, (ἔφθη γὰρ ταύτην τῶν ἀνακτόρων καταγαγεῖν ὁ Ἀλέξανδρος) ἠναγκάσθησαν αὐτὴν ἀναγαγεῖν οἱ ἐπίτροποι. Ἡ δὲ ἀνελθοῦσα, τῆς διοικήσεως εἴχετο, προσλαβοῦσα καὶ τὸν Παρακοιμώμενον (21) Κωνσταντῖνον, καὶ τοὺς αὐταδέλφους ἄμφω τοὺς Γογγυλίους, καὶ πρῶτον μὲν τὸν πατριάρχην ἀπάγει
D τῶν βασιλείων, εἶτα καὶ τοὺς τοῦ Ἀλεξάνδρου θεράποντας ἐξωθεῖ, τὸν ῥαίκτορα τὸν Βασιλείτζην καὶ τὸν Γαβριηλόπωλον, ἀλλὰ μέντοι καὶ τοὺς λοιπούς. Κωνσταντῖνος δὲ ὁ παρακοιμώμενος τὰ πάντα ἠδύνατο. Ἦ μέντοι Βούλγαρος Συμεὼν τὴν Θράκην κατέτρεχέ τε καὶ ἐλῃΐζετο, καὶ ἐν τῇ Ἀνδριανου-

## Variæ lectiones et notæ.

(19) Ἐκ Χρυσοπόλεως. Symeon logoth. et Scylitzes, ἀπὸ τοῦ Δαμαλίου μέχρι τοῦ Λευκατίου.

(20) Ὁ δὲ Βούλγαρος Συμεών. Vita S. Lucæ Junioris, p. 977 : Συμεὼν γὰρ ὁ τοῦ Σκυθικοῦ ἔθνους ἄρχων· Βουλγάρους αὐτοὺς οἴδαμεν συνήθως καλεῖν etc. Vide quæ de Symeone adnotamus in *Familiis Dalmaticis* ubi regum Bulgariæ seriem et gesta perstrinximus.

(21) Καὶ τὸν Παρακοιμώμενον. Quem Leo et Alexandro et filio Constantino tutorem reliquerat. Liutprandus, lib. III, cap. 7 : *Quibus ad luendum palatium, tutandamque rem privatam, ut istic moris est, eunuchum officio paracæmomenon dedit.*

πόλει βάλλεται χάρακα, πολιορκίᾳ ταύτην ἐλπίζων ἑλεῖν. Ὡς δ' ἐώρα ἑαυτῷ κενόσπουδον τὸ ἐγχείρημα, ἑτέρως τῆν ἄλωσιν τῆς πόλεως μέτεισι. Χρίμασι γάρ τινας τῶν φυλάκων αὐτῆς ὑποφθείρας, ἐκ προδοσίας αὐτὴν ἐξεπόρθησεν. Ἀλλὰ ταῦτην μετέπειτα πάλιν ὑπὸ Ῥωμαίους ἡ τῆς βασιλίσσης σπουδὴ ἐποιήσατο. Μὴ φέρουσα δὲ τὰς κατὰ τῆς Θρᾴκης χώρας πυκνας ἐπελεύσεις τοῦ Συμεών, σπένδεται τοῖς ἐξ Ἰσμαὴλ, καὶ τὰ τε ἑῴα τάγματα καὶ τὰ ἑσπέρια συναθροίσασα, τῷ μαγίστρῳ Λέοντι τῷ Φωκᾷ (22) τῶν σχολῶν δομεστίκῳ τυγχάνοντι, τὸν κατὰ τοῦ Συμεὼν ἀνέθετο πόλεμον, Ὃς καὶ μάχην συνάψας, ἡττᾷ τοὺς Βουλγάρους περιφανῶς, καὶ φόνον αὐτῶν ποιεῖται πολύν. Κατάκοπος δὲ γεγονὼς καὶ ἰδρῶτι διάβροχος, κάντεῦθεν λειποθυμῶν, ἐπί τινι πηγῇ τοῦ ἵππου ἀποβὰς, ἀνέψυχεν ἑαυτόν. Ἐν τούτῳ δὲ ὁ ἵππος αὐτοῦ τὰς τοῦ κατέχοντος αὐτὸν χεῖρας διαφυγών, ἐν τῷ τοῦ στρατοπέδου πεδίῳ ἐκρόκανεν ἀναβάτου χωρίς. Ἐπίσημος δὲ τυγχάνων, εἰς δειλίαν ἐνέβαλε τὰ στρατεύματα, οἰηθέντα πεσεῖν τὸν δομέστικον, καὶ τοῦ μὲν πολέμου ἀπέσχοντο, καὶ τῆς διώξεω ἔστησαν, θόρυβος δ' ἔσχεν αὐτούς. Ὁ δέ γε Συμεὼν ἐκ περιωπῆς τινὸς ἰδίων τὸ συμβεβηκὸς περὶ τὰ στρατεύματα, τοῖς περὶ αὐτὸν ἐγκελεύεται, καὶ κατὰ Ῥωμαίων ἐξώρμησε, καὶ τεθορυβημένοις αὐτοῖς ἐμβαλὼν, εἰς φυγὴν ἅπαντας ἀθρόων ἐτρέψατο, καὶ τοὺς μὲν οἱ Βούλγαροι διώκοντες ἔκτεινον, οἱ δ' ὑπ' ἀλλήλων ἀπώλλυντο συμπατούμενοι. Ὁ δὲ τῶν σχολῶν Δομέστικος, μόλις εἰς Μεσημβρίαν ἀποδρᾶναι δεδύνητο· πολλοὶ δὲ καὶ τῶν στρατηγῶν καὶ ταγματάρχαι τότε ἐφθάρησαν.

cutione hostium abstinerent. Quod eum Symeon specula quadam vidisset : suos cohortatus, contra Romanos ducit, subitoque in perturbatos impressione facta, universos in fugam convertit, in qua alios Bulgari assecuti occiderunt, alii invicem conculcati perierunt. Legionumque domesticus ægre Mesembriam evadere potuit, multis ducibus etiam et tribunis interfectis.

ΙΖ'. Ἰωάννης δὲ ὁ Βογᾶς ἐστάλη Πατζινάκας εἰς συμμαχίαν ἀγαγεῖν κατὰ τῶν Βουλγάρων, καὶ ὁ Πατρίκιος Ῥωμανὸς ὁ Λακαπηνὸς, Δρουγγάριος ὢν τῶν πλωΐμων (23), ὡρίσθη μετὰ τοῦ στόλου παραπλεῖν, ἅμα μὲν εἰς συνεργίαν τοῦ τῶν σχολῶν δομεστίκου, ἅμα δὲ καὶ εἰ ἀχθεῖεν σύμμαχοι παρὰ τοῦ Βογᾶ, διαπεραιώσασθαι σφᾶς. Ἦκεν οὖν ὁ Βογὰς μετὰ τῶν συμμάχων. Στάσεως δ' ἐμπεσούσης αὐτῷ τε καὶ τῷ Λακαπηνῷ, ὁρῶντες οἱ Πατζινάκοι αὐτοὺς πρὸς ἀλλήλους διαπληκτιζομένους, καὶ ἀμελῶς περὶ τὴν αὐτῶν διακειμένους διάβασιν, εἰς τὰ ἑαυτῶν ἐπανῆλθοσαν. Οἱ μὲν οὖν οὕτω ταῦτά φασι (24) καὶ τὴν ἧτταν τῶν Ῥωμαίων ἐντοῦθεν συμβῆναι, μὴ τυχόντων συμμαχίας. Οἱ δὲ ἀλλοίως τὸ πρᾶγμα ἱστόρησαν (25)· ἡττήσαντος γὰρ, φασὶ, τοῦ Φωκᾶ τοὺς Βαρβάρους, καὶ διώκοντος, φήμην γενέσθαι, ὡς ὁ δρουγγάριος τῶν πλωΐμων ἅπεισι σὺν τῷ στόλῳ, τὴν βασιλείαν παραληψόμενος· τοῦτο δὲ τῷ δομεστίκῳ πεσὸν εἰς ὦτα, ἐκταράξαι αὐτὸν, ὡς ἀποσχέσθαι

XVII. Joannes autem Bogas missus est, ut Patzinacas ad belli Bulgarici societatem adduceret, Romanus vero Lacapenus patricius, classis drungarius, littus classe legere jussus, simul ad opem ferendam legionum domestico, simul, ut adductos e Boga socios transveheret. Ac venit Bogas cum sociis. Orta autem inter ipsum et Lacopenum rixa, Patzinacæ videntes eos inter sese convitiantes, ipsorum transvectionem parum curare : ad sua redierunt. Quidam igitur hæc ita narrant, et negata sociorum auxilia Romanæ claulis fuisse causam tradunt, alii aliter. Nam cum Phocas Barbaros profligatos persequetur, rumorem esse ortum, drungarium cum classe abire, ut imperium occupet. Quo domesticus **186** audito, ita perturbatus fuerit, ut et a persequendo desisteret, et in vallum rediret, rumorem certius cogniturus, et sic Martis alea mutata, fugisse Romanos, domestici in castra reversionem, fugam interpretatos. Bulgaros vero

## Variæ lectiones et notæ.

(22) Λέοντι τῷ Φωκᾷ. Quem Leo imp. paulo ante mortem magnum domesticum dixerat. Liutprandus, lib. III, cap, 7. *Focam vero domesticum majorem, hoc est terrestris ducem exercitus fecit*, Deinde, ubi de hac expeditione : *Denique tempore quo magnus imperator Deo migravit ad Christum, Phocas prædictus domesticus terrestris dux exercitus, contra Symeonem Bulgarorum regem copias duxerat, eique Constantinopolim venire cupienti non inutiliter repugnabat.*

(23) Δρουγγάριος ὢν τῶν πλωΐμων. Hanc dignitatem nactus fuerat Leone Sapiente imperante, ob singularem animi fortitudinem quam in cæde Leonis potissimum ostenderat. Liutprandus, lib. III, cap. 6. *Unde factum est, ut tam pro cæteris, quam pro præclaro hoc præsenti facinore, non multo post a Leone imperatore tanto donaretur honore, ut omnes naves ipsius essent in manibus, ejusque jussionibus obedirent.* Et cap. 7. *Romanum autem non claro natalium ortu, sed corporis magnanimitate nobilem, navalis exercitus principem ordinavit.*

(24) Οἱ μὲν οὖν οὕτω ταῦτά φασι. Vide Symeon. Logoth. n. 10.

(25) Οἱ δὲ ἀλλοίως τὸ πρᾶγμα ἱστόρησαν· Atque in iis Liutprandus ejusce ævi scriptor, lib. III, cap. 8. *Cum Bulgaris præterea pugnanti Focæ domestico, qui et ipse Bater Basileos ardenter fieri cupiebat, in ipso bello jam de hostibus triumphum tenenti, quid a Romano actum sit nuntiatur. Qui mox animo consternatus, nimio dolore compulsus, victoriæ signum quo hostes insequebatur, projecit, terga vertit, et quos prius adverso Marte fugarant, prospera postmodum insequuntur : tantaque tunc Argivorum strages efficitur, ut longo post tempore campus plenus ossibus videretur. Omni denique cum festinatione jam nominatus Focas domesticus Constantinopolim redit, palatium, ingredi cupit, et arte fieri Pater Basileos satagit. Sed quia consilii vis expers mole ruit sua, et, ut Flaccus dicit,* Dii rem temperatam provehunt in majus, *a Romano domesticus iste capitur, atque utroque lumine privatur. Bulgaris non minima vis augetur, iisque Græcos depopulandi vicissitudo dupla rependitur.* Neque tamen hæc cum Zonaræ et aliorum scriptorum Byzantinorum narrationibus omnino consentiunt.

in fuga conversos, illorum terga cæcidisse. Ut autem domesticus ad vallum rediret, in causa fuit imperii cupiditas : qua cum æstuaret, si rumor de drungario verus essel, antevertere, et sibi vindicare principatum cupiebat. Lacapeno et Boga a clade reversis, judicioque de eorum controversia facto, Romanus damnatus est, ut ei oculi effoderentur, ut qui acceptæ cladis auctor, sive de industria, sive per negligentiam extitisset. Sed ab illo suffragio per quosdam apud imperatricem gratiosissimos est ereptus. At Bulgarus Symeon victoria elatus imperatoriam urbem aggreditur, cui legionum domesticus Phocas est oppositus, commissaque in Catasyrtis pugna, Barbari succubuerunt. Cum autem multi, iique viri illustres, regni amorem alerent : nemo tamen eo magis flagrabat, quam Leo Phocas, legionum domesticus, cum se ipso fretus, ob genus et potentiam, tum vero Constantino eunucho cubiculario, qui in regia poterat omnia, cujus sororem in matrimonio habebat. Quæ cum imperatoris Constantini paedagogus cerneret, illique timeret, persuadet ut classis drungarium Romanum sibi devinciat, et custodem adjungat. Imperator igitur litteras sua manu scriptas drungario mittit, quibus ille acceptis, pollicetur, se cubiculi præfecti potestatem (modo possit) eversurum. Qui cum aliquando ad classis stationem pervenisset, ac propere solvi juberet : drungarius servilem in modum ei obviam processit, ac reverenter colloquens paulatim ad triremes hominem deduxit. Ut vero navi prætoriæ appropinquavit, multis viris strenuis, quos secum paratos habebat, *Tollite istum*, inquit : a quibus comprehensus est, et triremi impositus, comitibus illius statim dispersis. Ejus facti nuntius et imperatricem et proceres turbavit, cumque ad drungarium misisset, percontatum quid id sibi vellet? ii a classiariis lapidibus repulsi sunt. Postridie imperator, patriarcha et magistro Stephano accersitis, misit **187** qui matrem e regia abducerent. Sed eam suis amplexibus cum lacrymis inhærentem, misericordia victus, reliquit : ac potestate in se translata, domesticum legionum designavit Joannem Garidam magistrum. Drungarius vero Lacapenus, classe haud secus atque ad pugnam instructa, die

μὲν τῆς διώξεως, ἐπανελθεῖν δ' εἰς τὸν χάρακα, τὰ τῆς φήμης ἀκριβωσόμενος, κἀντεῦθεν παλίντροπον γενέσθαι τὸν πόλεμον· φυγεῖν μὲν γὰρ τοὺς Ρωμαίους ἀπόδρασιν τῆς μάχης οἰηθέντας τὴν εἰς τὸν χάρακα τοῦ δομεστίκου ἀπέλευσιν, τοὺς δὲ Βουλγάρους ἐκ τῆς φυγῆς ἐπαναστραφέντας διώκειν αὐτούς. Τὴν δὲ πρὸς τὸν χάρακα τοῦ δομεστίκου ὑποστροφὴν, τῆς βασιλείας ἐπίθυμία πεποίηκεν. Ἐρῶν γὰρ αὐτῆς, ἔσπευδεν, εἰ ἀληθὲς ἦν τὸ τὸν δρουγγάριον ἀπιέναι, προκαταλαβεῖν αὐτὸς καὶ οἰκειώσασθαι τὴν ἀρχήν. Μετὰ δὲ τὴν ἧτταν ἐπανελθόντων τοῦ τε Ασκαπηνοῦ καὶ τοῦ Βυγᾶ, ἐζητήθη τὰ μέσον αὐτῶν, καὶ κατεκρίθη ὁ Ῥωμανὸς πηρωθῆναι τὰ ὄμματα, ὡς αἴτιος τῆς ἥττης, ἢ κακούργως ἢ ῥᾳθύμως γενόμενος, ἀλλ' ἐκεῖνον μὲν τῆς ψήφου ταύτης ἐξήρπασάν τινες· μέγα παρὰ τῇ βασιλίσσῃ δυνάμενοι. Ὁ δὲ Βούλγαρος Συμεὼν τῇ νίκῃ ἐξογκωθεὶς ἐπῄει κατὰ τῆς βασιλευούσης τῶν πόλεων. Ἀντικατέστη δὲ αὐτῷ πάλιν ὁ τῶν σχολῶν δομέστικος ὁ Φωκᾶς, καὶ μάχης συγκροτηθείσης ἐν Κατασύρταις, οἱ Βάρβαροι ἥττηντο. Πολλῶν δὲ καὶ τούτων περιφανῶν ἔρωτα τρυφόντων τῆς βασιλείας, μᾶλλον τῶν ἄλλων περὶ τὸν ταύτης ἐφλέγμαινεν ἔρωτα Λέων ὁ τῶν σχολῶν δομέστικος, ὁ Φωκᾶς, πεποιθὼς μὲν ἑαυτῷ, διὰ τὸ γένος καὶ διὰ τὴν ἰσχὺν, οὐχ ἥκιστα δὲ τῷ παρακοιμωμένῳ Κωνσταντίνῳ τῷ ἐκτομίᾳ, τὰ πάντα τότε παρὰ τυῖς ἀνακτόροις ἰσχύοντι οὗ ἐπ' ἀδελφῇ κηδεστὴς ἐτύγχανεν ὤν. Ταῦτα τοίνυν ὁρῶν ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγὸς (26), καὶ δεῖσας περὶ αὐτοῦ, πείθει τοῦτον, τὸν τοῦ στόλου δρουγγάριον τὸν εἰρημένον Ῥωμανὸν, οἰκειώσασθαι, καὶ φύλακα προσλάβέσθαι. Ἐγχαράττει τοίνυν βιβλίον ὁ βασιλεὺς οἰκειόγραφον, καὶ στέλλει τῷ δρουγγαρίῳ. Ὁ δὲ τοῦτο δεξάμενος, ὑπέσχετο τὴν τοῦ παρακοιμωμένου (27) δυναστείαν (εἰ οἷόν τε) καθελεῖν. Καί ποτε τοῦ παρακοιμωμένου, ἔνθα ὁ στόλος ὥρμιστο, παραγενόμενου, καὶ ἐπισπέρχονος ἐκκλεῖσαι αὐτὸν, ὁ δρουγγάριος δουλικώτερον αὐτῷ προσυπήντησε, καὶ μεθ' ὑποστολῆς ὡμίλει, καὶ περὶ τὰς τριήρεις ἠρέμα πῶς προσέβιβάζεν. Ὡς δὲ τῇ ναυαρχίδι προσήγγισεν, ἑτοίμους ἔχων ἄνδρας παρεπομένους αὐτῷ, γενναίους τε καὶ πολλούς, Ἄρατε τοῦτον, εἶπεν. Οἱ δὲ συσχόντες αὐτὸν, εἰς τὴν τριήρη ἐνέθεντο, τῶν περὶ αὐτὸν αὐτίκα διαΒ

C

D

## Variæ lectiones et notæ.

(26) Παιδαγωγός. Theodorus, Symeoni logothetæ, Scylitzæ, et aliis. Vide Lambecium lib. III, de Bibl. Cæsar. p. 13.

(27) Καὶ τότε τοῦ Παρακοιμωμένου, Rem paulo secus narrat Liutprandus, lib. III, cap 7 : *Romanus vero, ut non incallidus, audito imperatorum, hoc est Leonis atque Alexandri interitu, haud longe ab urbe collecto classium exercitu fugit, atque in insulam parvum juxta Constantinopolim. ita ut e palatio videri pene possel, ratibus collectis advenit. Ad palatium autem minime transfretavit, laudesque juxta consuetudinem Porphyrogenito minime decantavit. Quæ res eunucho Porucarnomeno, cunctisque Constantinopoleas principibus stuporem timoremque non parum attulit. Internuntiis itaque, quid hoc monstri sit quod regem non adierit, laudesane debi-*

E) *tas non solverit sciscitantur. His a Romano respondetur, quod propriæ vitæ timens palatium declinavit : et adjecit, Quod si Paracæmomenos cæteris cum principibus se non adiret, vitamque jurejurando promitteret, mox se ad Cretensium Saracenorum regem conferret, regnumque Argivorum sui auxilii fortitudine debellaret. Quod quam callide dixerit exitus declarabit. Igitur quo præfati sumus principes terrore compulsi, ignorantesque quod lateret anguis in herba, omnes hunc fiducialiter adeunt, quod mandaverat gratuiter cupientes implere. Quos omnes non malo consilio accepto, projectos in sentinam ligat, sicque securus ad urbem magno cum comitatu festinat, hisque quos suspectos habuerat palatium purgat, sui parentes ibi collocat, etc.*

σπαρέντων. Τοῦτο τῇ βασιλίδι ἐνωτισθὲν εἰς θόρυβον αὐτὴν καὶ τοὺς ἐν τέλει ἐνέβαλε. Πέμπει τοίνυν πρὸς τὸν Ῥωμανὸν ἐρωτῶσα τί ἂν εἴη τὸ γεγονός, ἀλλὰ τὸ ναυτικὸν λίθοις τοὺς πεμφθέντας ἐξεδίωξε. Τῇ δ' ἐξῆς τὸν πατριάρχην ὁ βασιλεὺς μετακαλεσάμενος, καὶ τὸν μάγιστρον Στέφανον, ἔπεμψε τοὺς ἐκ τῶν βασιλείων, τὴν αὐτοῦ μητέρα κατάξοντας. Τῆς δὲ τῷ υἱῷ προσφυείσης μετὰ δακρύων, εἰς οἶκτον ἐκεῖνος ἐκλίθη, καὶ ἀφῆκεν αὐτήν, εἰς ἑαυτὸν δὲ τὴν ἐξουσίαν μετήνεγκε, καὶ προεχειρίσατο δομέστικον τῶν σχολῶν τὸν Γαριδᾶν Ἰωάννην τὸν μάγιστρον. Ὁ δὲ δρουγγάριος ὁ Λακαπηνὸς, ἐξαρτύσας τὸν στόλον ὥσπερ εἰς ναυαρχίαν κατὰ τὴν ἡμέραν τοῦ Εὐαγγελισμοῦ, τοῖς βασιλείοις προσέπλευσεν εἰς τὸν Βουκολέοντα. Καὶ ὁ μὲν πατριάρχης καὶ ὁ μάγιστρος Στέφανος εὐθὺς ἐκ τῶν ἀνακτόρων ἐξέστησαν. Ὁ δὲ Ῥωμανὸς, ὅρκους πρότερον τελέσας φρικωδεστάτους μή ποτε κατὰ τοῦ βασιλέως φρονῆσαι μηδ' ἐπιθέσθαι τῇ βασιλείᾳ, ἀνῆλθεν εἰς τὰ βασίλεια, καὶ εἰς τὸν ἐν τῷ Φάρῳ ναὸν τῷ Κωνσταντίνῳ συνεισελθών, καὶ πίστεις δούς τε καὶ εἰληφώς, μέγας ἑταιρειάρχης προβάλλεται. Ἐπέστειλε δὲ τῷ Φωκᾷ ὁ βασιλεὺς μὴ ἀθυμῆσαι μηδ' ἀπογνῶναι, προσμεῖναι δὲ μικρὸν, ὡς μελλούσης αὐτοῦ γενέσθαι προνοίας μετὰ βραχύ. Ὁ δὲ Ῥωμανὸς τὴν ἑαυτοῦ θυγατέρα Ἑλένην μνηστεύεται τῷ βασιλεῖ Κωνσταντίνῳ, καὶ τῇ τρίτῃ τοῦ Πάσχα τετέλεστο τὰ γαμήλια, τοῦ πατριάρχου Νικολάου τὴν ἱερολογίαν ποιήσαντος, καὶ αὐτίκα τετίμητο βασιλοπάτωρ ὁ Ῥωμανὸς, μέγας δ' ἑταιρειάρχης Χριστοφόρος ὁ τούτου υἱός. Ταῦτα δὲ μαθὼν ὁ Φωκᾶς τυραννίδι ἐπέθετο. Κωνσταντῖνον τὸν παρακοιμώμενον προσλαβόμενος, καὶ ἑτέρους τῶν ἀρχόντων, καὶ διαβεβαιούμενος ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου πράττειν ὃ πράττει. Ὁ Ῥωμανὸς δὲ, γραφὴν γεγραφὼς ἀνατροπὴν περιέχουσαν τῆς τοῦ Φωκᾶ προφάσεως, καὶ ταύτην τῇ τοῦ βασιλέως ὑποσημασίᾳ καὶ χρυσῇ σφραγῖδι βεβαιωσάμενος, πέμπει ταύτην πρὸς τὸ μετὰ τοῦ Φωκᾶ στράτευμα μετά τινος γυναίου ἑταιρικοῦ. Κἀκεῖνο πολλοῖς τὴν χρυσοσήμαντον ὑποδεικνύον λάθρα γραφὴν, πολλοὺς καταλιπεῖν πεποίηκε τὸν Φωκᾶν, καὶ προσχωρῆσαι τῷ καταλειφθεὶς ὑπὸ τοῦ μετ' αὐτοῦ πλήθους τῷ ἔν τινι χωρίῳ γενόμενος, ὅπερ ἀνέκαθεν παρὰ τῶν ἐγχωρίων Γοτζέων κατωνομάζετο, συλλαμβάνεται, καὶ τυφλωθεὶς εἰσάγεται εἰς τὴν βασιλεύουσαν· καὶ τοῦτο τέλος τῇ αὐτοῦ τυραννίδι ἐγένετο. Ἀλλὰ μὴν καὶ ἑτέρα ἐπιβουλὴ κατὰ τοῦ βασιλέως συνέστη· νεανίαι γάρ τινες καθῆκαν κατ' αὐτοῦ θηρῶντος, ἵνα αὐτῷ ἐν τῷ θήρᾳ ἐπίθωνται. Ἀλλ' ἐγνώσθη τὸ βούλευμα, καὶ οἱ πρωτουργοὶ ἐκολάσθησαν. Ἐξεβλήθη δὲ τῶν βασιλείων καὶ ἡ τοῦ βασιλέως μήτηρ Ζωὴ, ὡς ἐπιβουλεύουσα δῆθεν τῷ βασιλοπάτορι, καὶ ἀπεκάρη ἐν τῇ τῆς Ἁγίας Εὐφημίας μονῇ. Τῇ δὲ εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀνήχθη ὁ Ῥωμανὸς, καὶ κατὰ τὸν Δεκέμβριον τῷ τῆς βασιλείας διαδήματι τεταινίωτο παρὰ τοῦ πατριάρχου Νικολάου, τοῦ Κωνσταντίνου δῆθεν ἐπιτροπῆ.

ΙΗ'. Καὶ ὁ μὲν Λακαπηνὸς (28) Ῥωμανὸς οὕτω

A Annuntiationis ad regiam in Bucoleonte appulit. Ac patriarcha et Stephanus magister statim ex regia discesserunt. At Romanus cum prius sanctissimo jurejurando adactus promisisset, se nunquam imperatori insidiaturum, neque imperium affectaturum : in regiam ascendit, et cum Constantino Phari ædem ingressus, fide data acceptaque, magnus hetæriarcha designatur. Jussit autem imperator Phocam bono esse animo, neque spem abjicere, sed paulisper exspectare : nam paulo post ejus rationem habitum iri. Romani porro filia Helena imperatori Constantino desponsa, tertia feria Paschatis nuptiæ celebratæ sunt, sacras preces Nicolao patriarcha peragente. Statim igitur Romanus, imperatoris pater, filius ejus Christophorus, magnus hetæriarches est appellatus. Quibus Phocas cognitis, tyrannidem invasit, Constantino cubiculario et aliis proceribus ascitis, se quæ ageret, pro imperatore Constantino agere, affirmans. Romanus autem litteras quæ Phocæ prætextum everterent, subscriptione imperatoris et aureo sigillo munitas, pervulgati corporis mulierculam in Phocæ castra mittit, quas cum ea multis clam ostenderet, effecit ut multi Phoca deserto, se ad imperatorem conferrent. At Phocas Chrysopolim profectus, et a suis destitutus, in fugam convertitur, et in castello quodam, quod ab antiquis temporibus Gocleon ab indigenis vocatur, comprehenditur, cæcatusque Byzantium perducitur. Et hic tyrannidis illius fuit exitus. Enimvero aliæ quoque insidiæ imperatori sunt paratæ. Nam adolescentes per quosdam conducti sunt, qui eum venantem aggrederentur, sed illo consilio cognito, de auctoribus facinoris supplicium sumptum. Est et imperatoris mater Zoe regia ejecta, quasi patri imperatoris insidiaretur scilicet, tonsoque capillo Sanctæ Euphemiæ monasterium ingressa. Romanus vero vicesima **18** quarta die Septembris, ad Cæsaris dignitatem est evectus, et in Decembri, imperii diademate ornatus a patriarcha Nicolao, permissu Constantini scilicet.

βασιλεῖ. Ὁ δὲ Φωκᾶς, ἐν Χρυσοπόλει γενόμενος, καὶ βασιλεῖ προσφυιτήσαντος, ἐτράπετο εἰς φυγήν, καὶ συλλαμβάνεται, καὶ εἰσάγεται εἰς τὴν βασιλεύουσαν· καὶ τοῦτο τέλος τῇ αὐτοῦ τυραννίδι ἐγένετο. Ἀλλὰ μὴν καὶ ἑτέρα ἐπιβουλὴ κατὰ τοῦ βασιλέως συνέστη· νεανίαι γάρ τινες καθῆκαν κατ' αὐτοῦ θηρῶντος, ἵνα αὐτῷ ἐν τῷ θήρᾳ ἐπίθωνται. Ἀλλ' ἐγνώσθη τὸ βούλευμα, καὶ οἱ πρωτουργοὶ ἐκολάσθησαν. Ἐξεβλήθη δὲ τῶν βασιλείων καὶ ἡ τοῦ βασιλέως μήτηρ Ζωὴ, ὡς ἐπιβουλεύουσα δῆθεν τῷ βασιλοπάτορι, καὶ ἀπεκάρη ἐν τῇ τῆς Ἁγίας Εὐφημίας μονῇ. Τῇ δὲ εἰκοστῇ τετάρτῃ τοῦ Σεπτεμβρίου μηνὸς εἰς τὴν τοῦ Καίσαρος ἀξίαν ἀνήχθη ὁ Ῥωμανὸς, καὶ κατὰ τὸν Δεκέμβριον τῷ τῆς βασιλείας διαδήματι τεταινίωτο παρὰ τοῦ πατριάρχου Νικολάου, τοῦ Κωνσταντίνου δῆθεν ἐπιτροπῆ.

XVIII. Romanus Lacapenus iis honoribus non

## Variæ lectiones et notæ.

(28) Λακαπηνός. Constantinus Manasses :

Τὸν γέροντα τὸν Ῥωμανὸν τὸν ἀπὸ τῆς Λα- [κάπης.

An Lacape nomen sit urbis aut regionis, mihi prorsus incertum. Cæterum *senex* seu *senior* hic Romanus dicitur, ad discrimen Porphyrogeniti.

D Michael Psellus in Synopsi legum :

Μαθὲ καὶ τὸν ζητούμενον σήμερον πλέον νομον, Ὃν ὁ πρεσβύτης Ῥωμανὸς εἰσήνεγκε τῷ βίῳ.

Meminit Constantinus Porphyrog. in Novella de fundis Armeniacis τῆς βασιλικῆς τῆς Λακάπης μονῆς, Myrelæi forte ab eo ædificati.

contentus, paulo post uxorem quoque suam Theodoram diademate ornat. Deinde et filium Christophorum, voluntate, ut videri volebat. Constantini, sed revera invito illo et conquerente apud eos, quibus fidebat, et acta illa abominante, quamvis refragari non auderet. Insidiis quas Romano Anastasius sacellarius princeps conjurationis, pro defensione utique Constantini pararat, deprehensis, conscii, arbitratu Romani, puniti sunt, sacellarius tonsus, eaque Romano occasio fuit Constantini infra se collocandi, cum is hactenus in proclamationibus et salutationibus priorem locum tenuisset. Cumque Symeon exercitum contra urbem misisset: Romanus quoque milites illi opposuit, ne suburbana amœnitates ab hoste vastarentur. Quos cum Bulgari aggressi essent, multi etiam ex principibus ceciderunt, milites partim ad prætereuntes triremes festinantes, in mare prolapsi a fluctibus ferebantur, partim ab hostibus interibant, partim vivi capiebantur. Romano exercitu ad Pegas sic accepto, Bulgari regiam illius loci cremarunt, et cætera quæ in eo littore sunt e regione urbis, interjacente freto. Mortua Romani uxore Theodora Augusta [imperatoris Christophori uxor Sophia Augustæ nomen accepit. At Bulgarorum princeps Symeon, denuo Adrianopolim obsedit : neque sane quidquam effecisset, nisi cives commeatu destitutos, et semetipsos et urbem hosti dedere, fames coegisset. Tunc etiam Leo Tripolitanus cum navalibus copiis Romanos invasit : sed triremes Romanæ circa Lemnum insulam eis obviam profectæ, Agarenos pene omnes occiderunt, navesque demerserunt, Tripolita ægre fuga elapso. Symeon vero Macedoniam et Thraciam cum ingenti exercitu devastatus, ad urbem profectus, prope Blachernas castris positis, colloquium Romani imperatoris petiit, qui cum ab eo non abhorreret, cum classe ad Cosmidii littus abiit, eodemque Symeon cum suis copiis venit : **189** et inter se collocuti sunt. Sed quamvis Romanus Symeoni magnifica dedisset, rebus infectis discesserunt, id quod par aquilarum significare videbatur, quas supra eos volitasse ferunt, et cum clangore inter sese congressas, statimque segregatas esse, altera versus urbem volante, altera in Thraciam tendente. Romanus potestate imperii insatiabilis, ac veluti oblitus sacramenti, quo sese astrinxerat, suo et filii natu maximi diademate non contentus; etiam reliquos duos filios, et nepotem ex Christophoro coronavit. Romano imperio quod hactenus penes unum esse consueverat, in multa capita distributo. Filium natu minimum Theophylactum, cui pontificatum urbis imperatoriæ ambiebat, detonsa coma clericum fecit, a patriarcha Syncellum quoque

τῆς ἀναῤῥήσεως ἔτυχεν· οὐκ ἠγάπα δὲ ταύτης τυχὼν αὐτὸς, ἀλλὰ μετὰ βραχὺ καὶ τὴν οἰκείαν ὀμευνέτιν τὴν Θεοδώραν ταινιοῖ· εἶτα καὶ τὸν υἱὸν Χριστοφόρον, προαιρέσει μὲν τῷ δοκεῖν τοῦ Κωνσταντίνου, τῇ δ' ἀληθείᾳ βιαζομένου, ἀσχάλλοντός τε πρὸς οὓς ἐθαῤῥει, καὶ ἐν συμφορᾷ τιθεμένου τὰ πραττόμενα, μὴ θαῤῥοῦντος δὲ ἀντερεῖν. Ἐπιβουλῆς δὲ κατὰ τοῦ Ῥωμανοῦ γενομένης, ἧς ὁ σακελλάριος πρωτουργὸς ἦν Ἀναστάσιος, ὡς τῷ Κωνσταντίνῳ δῆθεν ἀμύνων, ἐγνώσθη τὰ κατ' αὐτὴν, καὶ οἱ μὲν συνίστορες, ὡς ἔδοξε τῷ Ῥωμανῷ, ἐκολάσθησαν, ὁ δὲ σακελλάριος ἀπεκάρη. Ἦν δὴ πρόφασιν ἔσχεν ὁ Ῥωμανὸς τοῦ ὑποβιβάσαι τὸν Κωνσταντῖνον ἑαυτοῦ, μέχρι τότε πρῶτον εὐφημούμενον ἐν ταῖς ἀναῤῥήσεσιν. Ὁ Συμεὼν δὲ κατὰ τῆς πόλεως ἐκπέμπει στρατόν· ἵνα δὲ μὴ ἐλθόντες τὰς πρὸ τῆς πόλεως διαφθείρωσιν ἀγλαΐας, ἔπεμψε καὶ ὁ Ῥωμανὸς τοὺς ἀντιταξομένους αὐτῷ, καὶ τῶν Βουλγάρων ἐπελθόντων αὐτοῖς, πίπτουσι μὲν καὶ τῶν ἀρχόντων πολλοὶ, τῶν δέ γε σταρτιωτῶν οἱ μὲν, εἰς τὰς τριήρεις σπεύδοντες ἐμβῆναι παραπλεούσας, ἐξωλίσθαινον εἰς τὴν θάλασσαν, καὶ ὑπὸ κυμάτων ἐφέροντο, οἱ δὲ ὑπὸ τῶν πολεμίων διώλλυντο, οἱ δὲ καὶ ζῶντες συνελαμβάνοντο. Οὕτω δὲ διατεθείσης τῆς Ῥωμαϊκῆς στρατιᾶς κατὰ τὰς Πηγὰς, τά τε ἐκεῖ ὄντα ἀνάκτορα οἱ Βούλγαροι ἐπυρπόλησαν, καὶ τἆλλα ὅσα ἐν τῷ αἰγιαλῷ τοῦ καταντικρὺ τῆς πόλεως ἦσαν διακειμένου πορθμοῦ. Θανούσης δὲ τῆς τοῦ Ῥωμανοῦ συμβίου τῆς Λὐγούστης Θεοδώρας (29), ἡ τοῦ βασιλέως Χριστοφόρου γυνὴ Σοφία τοῦ τῆς Λὐγούστης ἠξιώθη ὀνόματος. Ὁ τῶν Βουλγάρων δ' ἐξηγούμενος Συμεὼν τῇ Ἀδριανουπόλει προσέβαλε, καὶ ταύτην ἐπολιόρκει. Ἤνυσε δ' ἂν οὐδὲν, εἰ μὴ τοῖς ἔνδον ἐπιλελοίπει τὰ ἐπιτήδεια. Βιαζόμενοι δὲ τῷ λιμῷ καὶ ἑαυτοὺς καὶ τὴν πόλιν τοῖς πολεμίοις παρέδοσαν. Τότε μὲν καὶ ὁ ἐκ Τριπόλεως Λέων μετὰ δυνάμεως ναυτικῆς κατὰ Ῥωμαίων ἐχώρησεν· ἀλλὰ τούτῳ περὶ τὴν νῆσον Λῆμνον τριήρεις ἐπελθοῦσαι Ῥωμαϊκαὶ, τοὺς μὲν Ἀγαρηνοὺς σχεδόν τι ξύμπαντας διεφθάρκασι, τὰς δὲ νῆας αὐτῶν ὑποβρυχίους ἐποίησαν, μόλις τοῦ Τριπολίτου φυγεῖν ἐξισχύσαντος. Καὶ ὁ Βούλγαρος δὲ Συμεὼν τά τε κατὰ Μακεδονίαν καὶ ταπὶ Θρᾴκης σὺν βαρεῖ στρατεύματι ἐληίζετο, καὶ παρὰ τὴν πόλιν ἐλθὼν, ἀγχοῦ τῶν Βλαχερνῶν πεποίητο τὴν παρεμβολὴν, καὶ τῷ βασιλεῖ Ῥωμανῷ ἐζήτησεν ἐντυχεῖν· καὶ τὴν ἔντευξιν καὶ ὁ βασιλεὺς ἠρετίσατο, καὶ κατὰ τὸν τοῦ Κοσμιδίου αἰγιαλὸν, ὁ μὲν βασιλεὺς σὺν τῷ στόλῳ ἀφίκετο, ὁ δέ γε Συμεὼν μετὰ τῆς οἰκείας παρεγένετο στρατιᾶς, καὶ ἀλλήλοις ὡμίλησαν, καὶ ὁ βασιλεὺς μεγαλοπρεπῶς τῷ Συμεὼν ἐδωρήσατο. Ἀσύμβατοι δὲ ἀπ' ἀλλήλων διέστησαν, ὃ καὶ δυὰς ἔδοξε δηλῶσαι ἀετῶν. Φασὶ γὰρ ἄνωθεν αὐτῶν διαπτῆναι τούτους, καὶ ἀλλήλοις

### Variæ lectiones et notæ.

(29) Τῆς Λὐγούστης Θεοδώρας. Istius et Sophiæ, de qua mox meminit Gregorius in Vita S. Basilii Jun. n. 23 : Λύτὴ δὲ ἡ Λὐγουστα Ἑλένη πρώτη τῶν ἄλλων βασιλίδων ἦν· ἡ γὰρ δευτέρα σύμβιος τοῦ πατρὸς αὐτῆς Ῥωμανοῦ Θεοδώρα τελευτήσασα ἦν, ἥ τε Σοφία ἡ τοῦ Χριστοφόρου ἐκείνου τελευτήσαντος κατηνέχθη τῆς βασιλείας.

*putare fore subitam.* His dictis, ab imperatore jussus rem suo arbitratu administrare : statim disciplinæ militari animum intendit, et legiones veteres ordinavit, et novas conscripsit, omnibusque bellicis studiis exercuit. Sic cohortibus expletis, et fossoribus armatis, contrariaque prophetico dicto ratione inita, falcibus in gladios et aratris in jacula conflatis, celebres illos triumphos facile est adeptus. Romanus autem cum triennium et ultra imperio insultasset, ex hac vita decessit, vel, ut quidam tradunt, veneno hausto, vel voluptatibus et libidine viribus corporis exhaustis, imperio utrique filio et matri eorum Theophanoni relicto. Eo mortuo Nicephorus Phocas ab imperatrice **198** Byzantium accersitus, de manubiis Berrœannis triumphavit : unde etiam partem quamdam venerabilis vestis Joannis Baptistæ apportavit. Bringam autem cui de cupiditate imperii suspectus erat, sic lusit, Cum una famulo vesperi ædes ejus ingressus, eoque in secretum locum ducto, jurejurando, et diris exsecrationibus confirmavit, *solitariæ vitæ se longo jam tempore fuisse cupidissimum, eamque jampridem fuisse amplexurum, nisi imperatorum se benevolentia remorata esset. Non igitur frustra suspectum esse debere de regni cupiditate. Se enim jamjam rerum administratione cessurum.* Ea verba confirmabat, ostensa lacerna e pilis contexta, quam nudo corpore cæteris vestibus tectam gestabat. Ea oratione et lucerna effecit, ut cubiculi præfectus pedibus ejus advolutus, veniam peteret. Scephanus porro imperator, Lacapeni filius, qui Methymnæ Lesbi custodiebatur, et ipse suspectus erat, subito nullaque causa mortuus, ab imperatrice Theophanone sublatus esse credebatur. At Petrus Bulgarorum princeps, uxore sua mortua fœdus renovaturus, filios Borisem et Romanum Byzantium obsides misit : quibus post illius obitum, ad sua se recipere est permissum, et patrium

A Φωκᾶς, καὶ τούτῳ κατὰ συστάδην μαχεσάμενος, καὶ ἥττησε περιφανῶς, καὶ τὴν Βέροιαν, ἄτερ τῆς ἀκροπόλεως, ἐξεπόρθησε, καὶ πλοῦτον ἐκεῖθεν πλεῖστον συνήγαγε, καὶ δορυαλώτους ἤλασεν οὐκ εὐαριθμήτους, καὶ πολλοὺς δεσμίους Χριστιανοὺς τῆς αἰχμαλωσίας, ἀπέλυσε. Λέγεται γοῦν ἐν ἀρχῇ τῆς αὐταρχίας οὗτος τοῦ Ῥωμανοῦ, τῶν Ἀγαρηνῶν πᾶσαν χώραν λεηλατούντων, εἰς ἀπορίαν περιστῆναι τὸν αὐτοκράτορα, καὶ τὸν Φωκᾶν Νικηφόρον προσκαλεσάμενον, ἔρεσθαι τοῦτον πῶς εἰς τὸ κατόπιν Ῥωμαίοις περιηνέχθη τὰ πράγματα· τὸν δὲ μηδὲν ὑποστειλάμενον ἐλευθέρῳ φᾶναι φρονήματι, Διότι σὺ μὲν βασιλεύεις, ὁ δ' ἐμὸς πατὴρ στραταρχεῖ, σὺ μὲν τῆς ἀρχῆς, οὐχ ὡς δέον, ἐπειλημμένος, ἐκεῖνος δὲ φιλοχρηματῶν. Εἰ βούλοιο δὲ, μεταβληθήσονται Ῥωμαίοις καὶ τὰ φρονήματα καὶ τὰ πράγματα· πλὴν μὴ ἀθρόαν οἵου γενήσεσθαι τὴν μεταβολήν. Ὁ δὲ βασιλεὺς, τούτων ἀκούσας, ἐπέτρεπεν αὐτῷ μεταχειρίσασθαι τὴν πρᾶξιν ὡς βούλεται, καὶ ὃς αὐτίκα ἐπεμελεῖτο τοῦ ὁπλιτικοῦ, τό τε ὃν διατάσσων, καὶ ἄλλο ἐγκαταλέγων, καὶ γυμνάζων εἰς ἅπαν στρατιωτικὸν ἐπιτήδευμα. Καὶ οὕτω τὰς τάξεις ἀναπληρώσας, καὶ καθοπλίσας τοὺς βωλοκόπους, καὶ τὸ προφητικὸν αὐτοῖς ἀντίῤῥοπον θέμενος, εἰς μαχαίρας αὐτοῖς δηλαδὴ συγκόψας τὰ δρέπανα, καὶ εἰς ζιβύνας τὰ ἄροτρα, σὺν αὐτοῖς τὰ θρυλλούμενα ῥᾳδίως ἔστησε τρόπαια. Τρισὶ δ' ἔτεσι διαπεττεύσας τὴν βασιλείαν ὁ Ῥωμανὸς, καὶ μικρόν τι ἐπέκεινα, μετέστη τῆς ἐνταῦθα ζωῆς, ἢ φαρμάκῳ δηλητηρίῳ, κατά τινας, ἢ φιληδονίαις καὶ μίξεσιν ἑαυτὸν κατατείνας, καὶ ταύταις ἐκδαπανήσας τὴν ἰσχὺν τοῦ σαρκίου, τὴν βασιλείαν λιπὼν τοῖς υἱοῖς ἀμφοῖν καὶ τῇ τούτων μητρὶ τῇ Θεοφανοῖ. Τοῦ δὲ Ῥωμανοῦ θανόντος, ὁ Φωκᾶς Νικηφόρος κελεύσει τῆς βασιλίσσης ἧκεν εἰς τὸ Βυζάντιον, καὶ κατήγαγε θρίαμβον (53*) ἐπὶ τοῖς ἐκ Βεῤῥοίας κεκομισμένοις λαφύροις, ὅθεν καί τι μέρος τῆς τιμίας ἐσθῆτος τοῦ Βαπτιστοῦ (54) Ἰωάννου ἐκόμισε. Τὸν Βρίγγαν δὲ

## Variæ lectiones et notæ.

ὕστερον καθ' ἑτέραν ἑστίαν μεταναστεῦσαι, κατὰ θείαν τινὰ πρόνοιαν λήθης περισχεθέντα κατὰ τὴν προτέραν οἰκίαν παρειληφέναι τινὰ, ὥστε καὶ κατοικεῖν· τῶν δὲ τῶν ὁμορθήσκων αὐτοῦ τινα εἰς τὴν ὑστεραίαν ἡστιακέναι, οὓς τῷ δόμῳ ὑπεισελθόντας, καὶ πρὸς ἐνώπια τὴν τοῦ Σωτῆρος σταύρωσιν ἀνατεθριμμένην ἀθρήσαντας, δεινῶς λοιδορεῖσθαι τὸν Ἰουδαῖον, ὡς ἔκσπονδον τῆς σφῶν θρησκείας, καὶ τὰ τῶν Χριστιανῶν σέβοντα, τὸν δὲ ὅρκοις αὐτοὺς βεβαιοῦσθαι, ἢ μὴν, μὴ τὴν τοιαύτην εἰκόνα ἕως τοῦ παρόντος θεάσασθαι· αὖθις δὲ πρὸς αὐτὸν τοὺς παλαμναίους ἐκείνους εἰπεῖν. Καὶ εἰ μὴ τὰ τῶν Χριστιανῶν ὀργιάζεις, ἔργοις ἡμᾶς πληροφόρησον, καὶ ταύτην τὴν λόγχην ἀνειληφὼς, νύξον τὸ τοῦ Ναζωραίου εἰκόνισμα κατὰ τῆς πλευρᾶς, τὸν τρόπον ὃν οἱ πατέρες ἡμῶν τὸ πάλαι τοῦτον σταυρώσαντες ἐλόγχευσαν· τὸν δὲ τὴν λόγχην μεταχειρισάμενον, ὡς εἶχε θυμοῦ, καὶ μάλιστα πληροφορεῖν ἐκείνους βουλόμενος, καὶ τὸ περιαπτόμενον αὐτῷ ἔγκλημα κατεπειγόμενον ἀποτρέψασθαι, νύξαι τὴν τῆς εἰκόνος πλευράν· ἅμα δὲ τῇ προβολῇ τῆς αἰχμῆς, πλῆθος καττῤῥεῦσαι σὺν ὕδατι αἵματος· τοὺς δὲ δυσμενεῖς Ἰουδαίους πεπηγέναι τῷ φρικτῷ τοῦ θεάματος, καὶ τῆς φήμης διαδοθείσης, τοὺς τὰ Χριστιανῶν σέβοντας εἰσπηδῆσαί τε τῶν Ἑβραίων ἑστίαν, καὶ τιμᾷν μεγαλοπρεπῶς. Ταύτην ὁ βασιλεὺς τὴν θεάνθρωπον μορφὴν ἐκεῖθεν ἀνειληφὼς, τῷ Βυζαντίῳ παρέπεμψεν, ὥς μοι ἤδη δεδήλωται.

(53*) Κατήγαγε θρίαμβον. Ob tot victorias Νικητής, seu *Victor*, appellatus, ut ex Symeone logotheta docemur in Alexandro, n. 1, et ex Anonymo Combefisiano in eodem Alexandro, n. 1 ; in Lecapeno, n. 44, et in Porphyrog. n. 41. Καλλινίκος, apud Scylitzem, p. 643.

(54) Τοῦ Βαπτιστοῦ. Cedrenus pariter μέρος τι τοῦ ἱματίου τοῦ Βαπτιστοῦ Ἰωάννου ὅπερ εὗρεν ἐν τῇ Βεῤῥοίᾳ ἐναποκείμενον, Constantinopolim attulisse Nicephorum Phocam narrat. At scriptor Vitæ Nili Junioris hisce temporibus proximus, pag. 122, in Creta insula, in presbyter, cujusdam domo, a centurione quodam sancti Joannis vestem repertam videtur innuere, a quo ille persoluto quingentorum aureorum pretio postmodum redemerit. Ait quippe centurionem (ἑκατόνταρχον) obtulisse sancto Nilo πεντατοσίους χρυσίνους, insuperque cum jurejurando confirmasse, ὅτι Οὐκ εἰσί μου ταῦτα ἐξ ἀδικίας, ἀλλ' ἀπὸ τοῦ ἐμοῦ σπαθίου. Ἡνίκα γὰρ ἐκρατήσαμεν τῆς Κρήτης, εὑρήκαμεν παρὰ τινι πρε-

δφορώμενον αὐτὸν, ὡς βασιλειῶντα, κατεσοφίσατο οὕτω. Σὸν ἑνὶ τῶν θεραπόντων ἑσπέρας κατέλαβε τὴν κατοικίαν αὐτοῦ, καὶ ἰδιαίτατα τὸν Βρίγγαν παραλαβών, δι' ἔρωτος εἶναι αὐτῷ πρὸ μακροῦ τὴν μοναδικὴν βιοτὴν, ὅρκοις ἐβεβαίου καὶ παλαμναιοτάταις ἀραῖς, καὶ Πάλαι ἂν, ἔλεγε, πρὸς ταύτην ὡρμήκειν, εἰ μή με τῶν βασιλέων ἡ χρηστὴ πρός με ἐπέσχε διάθεσις. Μὴ γοῦν μάτην ὑπόπτευε κατ' ἐμοῦ, ὡς τῆς βασιλείας ἔρωτα στρέφοντος· ἐγὼ γὰρ ὅσον ἤδη καὶ τῶν πραγμάτων κέκτημαι. Καὶ τοῖς λόγοις πίστιν ἐδίδου, δείξας αὐτῷ ῥάκος τι τρίχινον, ὃ ἐν χρῷ περιέκειτο, τῇ δ' ἔξωθεν αὐτοῦ περιβολῇ καταχρωπτόμενον. Τούτοις τοῖς λόγοις, καὶ τῷ τριχίνῳ ἐσθήματι τὸν παρακοιμώμενον συναρπάσας, ἔσχε τῶν ποδῶν αὐτοῦ προκλινδούμενον ὁ Φωκᾶς, καὶ συγγνώμην αἰτοῦντα. Καὶ ὁ βασιλεὺς δὲ Στέφανος ὁ τοῦ Λακαπηνοῦ παῖς ἐν Λέσβῳ τηρούμενος κατὰ Μηθύμναν ὕποπτος ἦν, αἰφνίδιον δὲ καὶ ἐξ οὐδεμιᾶς φανερᾶς αἰτίας θανὼν ὑποψίαν δέδωκε, παρὰ τῆς βασιλίσσης κατεργασθῆναι Θεοφανοῦς. Ὁ μέντοι τῶν Βουλγάρων ἀρχηγετῶν Πέτρος τῆς γυναικὸς αὐτοῦ θανούσης, τὰς πρὸς Ῥωμαίους ἀνακαινίζων σπονδὰς, ὁμήρους παρίσχε δύο οἰκείους υἱοὺς Βορίσην καὶ Ῥωμανὸν, καὶ ὁ μὲν ἀπεδίδρα, οἱ δ' ἐκείνου παῖδες ἀπελθεῖν εἰάθησαν εἰς τὰ οἰκεῖα, καὶ τὴν πατρῴαν ἀρχὴν κατακτήσασθαι. Ἑνὸς γὰρ τῶν κομήτων τῶν ἐν Βουλγάροις τέσσαρες παῖδες, Δαβὶδ, καὶ Μωσῆς, καὶ Ἀαρὼν, καὶ Σαμουὴλ ἀποστατήσαντες, τοὺς Βουλγάρους ἀνέσειον. Τοῦ Φωκᾶ δὲ Νικηφόρου εἰς τὸν οἶκον ἑαυτοῦ τὸν ἐν Καππαδοκίᾳ ἀποδημήσαντος, ὁ παρακοιμώμενος μετεμέλετο ὅτι παρεχώρησεν αὐτῷ τῆς ἐπ' οἴκου ἀποδημίας· καὶ ἦν αὐτῷ διὰ φροντίδος ὅτι πολλῆς τὸν ἄνδρα ἀποσκευάσασθαι. Γράφει τοίνυν πρὸς Ἰωάννην μάγιστρον τὸν Τζιμισκῆν, ἄνδρα γενναῖον καὶ ἐν ἀριστεύμασι διαβόητον, στρατηγοῦντα τότε τοῦ θέματος τῶν Ἀνατολικῶν, καὶ πρὸς τὸν μάγιστρον Ῥωμανὸν τὸν Κουρκούαν, ἐπίσημον ὄντα κἀκεῖνον ἐν στρατηγήμασι, καὶ τῆς Ἀνατολῆς τότε στρατηλατοῦντα, ὡς εἰ τὸν Φωκᾶν κατασχόντες, ἢ μονάχὸν ἀποκείρουσιν, ἢ ἄλλως ἐκ μέσου ποιήσουσι, τὴν μὲν τῶν σχολῶν τῆς Ἀνατολῆς ἀρχὴν λήψεται ὁ Ἰωάννης, καὶ δομέστικος ἔσται τῶν ἑῴων δυνάμεων, ὁ Ῥωμανὸς δὲ τῆς Δύσεως κληθήσεται δομέστικος. Ἐπεὶ δὲ τὰ γράμματα καὶ ἀμφοῖν ἐκομίσθησαν, καὶ ἄμφω ταῦτα δεικνύουσι τῷ Φωκᾷ, καὶ πρὸς ἀποστασίαν τὸν ἄνδρα ἠρέθιζον. Τοῦ δὲ ἀναβουμέπου πρὸς τὴν ἐγχείρησιν, εἴτε πλαττομένου τοῦτο εἴτε καὶ ἀληθεύοντος, ἐκεῖνοι τὰ ξίφη γυμνώσαντες ἀνελεῖν ἠπείλουν αὐτὸν εἰ μὴ πείθοιτο. Καὶ ὃς τῇ βίᾳ τάχα νικώμενος ἐδέξατο τὴν ἀνάῤῥησιν, καὶ ὑπὸ πάντων τῶν ἑῴων ταγμάτων αὐτοκράτωρ εὐφημήθη Ῥωμαίων. Λέγεται δὲ ὅτι οὐ μόνον ἦρα τῆς βασιλείας, ἀλλ' οὐχ ἧκιστα τῆς Θεοφανοῦς, καὶ ὡς ἐνέτυχε ταύτῃ διάγων κατὰ τὴν μεγάλην πόλιν.

A principatum firmare. Nam comitis cujusdam. Bulgaricis quatuor filii, David, Moses, Aaron et Samuel, Bulgares ad defectionem sollicitabant. Cum autem Nicephorus Phocas domum se in Cappadociam contulisset, cubiculi praefectum id ei concessisse poenituit. De eo igitur amovendo sollicitus, scribit ad Joannem Tzimiscem magistrum, et ad Romanum Curcuam magistrum, utrumque illustrem in re militari virum, et Orientis ducem : si Phocam comprehensum, vel monachum totonderint, vel alias e medio sustulerint, Joannem imperio legionum Orientis accepto, domesticum fore Orientalium copiarum : Romanum vero domesticum Occidentis designatum iri. Eas litteras ad se perlatas utrique Phocae ostendit, et ad defectionem virum exstimulant. Tergiversanti, et sive ex animo, sive simulate detrectanti, strictis gladiis necem minitantur, nisi obtemperet. Ea igitur necessitate victus, non repugnavit, quominus ab omnibus Orientalibus copiis imperator Romanorum **199** appellaretur. Fertur autem non imperii duntaxat, sed et Theophonis amore in primis flagrasse, et dum in magna urbe degeret, cum ea consuevisse.

Κδ'. Ἄρτι δὲ τῆς φήμης εἰς τὸ Βυζάντιον κηρυξάσης τὰ κατὰ τὸν Φωκᾶν, ὁ παρακοιμώμενος Ἰωσὴφ ἠγωνία. Ὁ μέντοι τοῦ τυραννοῦντος πατὴρ ὁ Φωκᾶς (55) ὁ Βάρδας τῇ Μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ προσπέφευγεν. Ὁ τοῦ Νικηφόρου δὲ σύγγονος Λέων (56) ἴσχυσεν ἀποδρᾶναι, καὶ ἑνωθῆναι τῷ ἀδελφῷ. Τοῦτο τὸν παρανοιμώμενον εἰς ἀμηχανίαν πολλὴν περιέστησε· δυσέντευκτος δὲ ὢν, πᾶσιν ἦν μισητὸς, ὅθεν ἅπαντες ἔχαιρον, εἰ περισταίη τὰ τῆς βασιλείας εἰς ἕτερον, καὶ περιαιρεθείη οὗτος ἐκ μέσου, διὸ καὶ συνέτρεχον ἅπαντες εἰς τὸ μέγα τέμενος τοῦ Θεοῦ. Ὅπερ μαθὼν ὁ Βρίγγας, δέον ἐπιεικέσι λόγοις τὸ πλῆθος μετελθόντα τὴν τούτου κατασβῆσαι ἐπ' ἀληθείας τὸ ἔνδυμα τοῦ Προδρόμου, ἐκ τριχῶν καμήλου τυγχάνον καὶ περὶ τὸν τράχηλον ἠμαγμένον· ὅπερ λαῷ ὁ μακάριος ἐκεῖνος, ἅπαν τὸ χρυσίον ἐμοὶ παρεχώρησεν.

C XXIV. Phocae rebus in urbe recens nuntiatis. Josephus cubiculi praepositus angebatur. Nicephori pater Phocas Bardas, in Magnam Dei ecclesiam confugit, cujus alter filius Leo fuga elapsus, cum fratre se conjunxit. Haec cubiculi praepositum animi valde dubium reddiderunt, qui ob morositatem omnibus adeo invisus erat, ut optarent eum, alio rerum polito, e medio tolli, eaque de causa omnes in magnum Dei templum concurrerunt. Quo Bringas cognito, cum blandis verbis mulcendus esse multitudinis impetus, eam minis et saevitia magis exasperavit, cum diceret, se motum illum appressurum, qui ordinasset, ut sin-

Variae lectiones et notae.

(55) Ὁ τοῦ τυραννοῦντος πατὴρ ὁ Φωκᾶς. Quem sic describit Liutprandus in Legat. : *Cui* (menses) *pater assedit, homo ut mihi videbatur, natus centum quinquaginta annis : cui itidem ut filio, Graeci laudibus, imo inventis suis, Deus annos ut multiplicet, conclamant.*

(56) Λέων. Postmodum curopalates et logotheta, quem pariter ita depingit idem Liutprandus: *Homo ipse ad personam sat procerus, falso humilis, cui si invisus homo fuerit, manum ejus perforabit.*

guli emdli frumenti pretium, in suum sinum al- A ferrent. Quæ audito, populi furor vehementius exarsit; et Basillius quondam cubiculi præfectus, Bringæ infensus, cum magnum comitatum circum se haberet, ubi advesperasset, ministros suos armatos in diversa urbis loca dimisit, qui urbanæ multitudini conjuncti, adversariorum ædes, et ipsius etiam Bringæ everterunt, multis quoque interfectis. Quæ dum facerent, Nicephorum passim imperatorem proclamabant. Unde fortuna Bardæ et Bringæ commutata est. Nam ille recepto animo ecclesiam egressus, hic supplex et miserabilis ingressus est. At Basilius cubiculi præpositus cum suis classe instructa, ipsa etiam imperatoria nave adducta, Chrysopolim profecti, Nicephorum inde in Hebdomum, ex Hebdomo, B universo populo prosequente, in Magnam ecclesiam perduxerunt, ubi a patriarcha Polyeucto coronatus est. Cæterum Theophano imperatrix statim ex regia pulsa, in Petrium abducitur, et Josephus cubiculi præpositus in Paphlagoniam relegatus, biennio post moritur. Bardas vero Nicephori pater, Cæsar salutatur, et paucis diebus elapsis, Theophane imperatori nubit, qui cum ex eo tempore, quo filius suus Bardas inter colludendum a patrueli Pleuse casu hasta interfectus fuerat, carnibus abstinuisset, tum iis denuo vesci cepit. Cum autem patriarcha **200** in nova palati ecclesia nuptiala sacra perageret, et imperator in sacrarii aditu jam cancellis appropinquaret: non passus cum patriarcha de more secum ingredi, dixit, non debere tam confidentem esse, ut sacrarium C intraret, nisi prius pœnas subiret repetiti matrimonii. Eam rem ægre ferens imperator patriarchæ iratus fuit. Sed deinde rumore vulgato, cum etiam Theophanonis liberos e sacro baptismate suscepisse: ab eodem ecclesiæ liminibus est prohibitus, postulante, ut aut divortium faceret, aut procul a sacris facesseret. Verum ille Theophanone non abstinuit, flagrante adhuc amore, sed quæstionem ad suummos sacerdotes, et senatus principes retulit: qui responderunt, eum canonem qui a Copronymo homine impio constitus esset, valere non oportere, scriptoque ratum ejus matrimonium habuerunt. Sed patriarcha suum propositum urgebat,

μαλάξαι ὁρμήν, ὁ δὲ ἀπειλαῖς μᾶλλον αὐτὸ καὶ τραχύτητι ἐξετράχυνεν, εἰπών, ὡς, Ἐγὼ καταπαύσω αὐτοῖς τὰ ὁρμήματα, οἰκονομήσας ὠνουμένους αὐτοὺς σῖτον εἰς τὸν ἑαυτοῦ κόλπον φέρειν τὸ τοῦ νομίσματος ἕκαστον. Τοῦτο τὸ πλῆθος ἀκουσθὲν ἐξέμηνεν. Ἀπεχθὰς δὲ πρὸς τοῦτο δὴ τὸν Βρίγγαν ἔχων ὁ πρώην παρακοιμώμενος ὁ Βασίλειος, καὶ θεραπείαν ἔχων περὶ ἑαυτὸν δαψιλῆ, ἑσπέρας ἤδη καταλαβούσης, τοὺς ἑαυτοῦ θεράποντας καθοπλίσας, εἰς διάφορα μέρη τῆς πόλεως ἐξαπέστειλε, καὶ πολλὰς οἰκίας ἐκεῖνοι πλήθει ἀστυκῶν ἐνωθέντες, τῶν ἀντιπραττόντων κατέστρεψαν, καὶ αὐτοῦ δῆτα τοῦ Βρίγγα, καὶ ἄνθρωποι δὲ πολλοὶ ἀνῃρέθησαν. Ταῦτα δ' ἐποίουν, καὶ ἅμα Νικηφόρον εὐρήμουν πανταχοῦ αὐτοκράτορα. Ἐντεῦθεν ἀμείβονται τὰ τῆς τύχης τῷ Βάρδᾳ Φωκᾷ καὶ τῷ Βρίγγᾳ. Καὶ ὁ μὲν τεθαρρηκὼς ἐξῄει τῆς ἐκκλησίας, ὁ δὲ Βρίγγας εἰς αὐτὴν ἀντεισῄει ἱκέτης ἐλεεινός. Ὁ δὲ παρακοιμώμενος Βασίλειος καὶ οἱ περὶ αὐτὸν τριήρεις ἑτοιμάσαντες, καὶ αὐτὴν τὴν βασίλειον, καὶ σὺν αὐταῖς ἐν Χρυσοπόλει γενόμενοι, τὸν Νικηφόρον ἐκεῖθεν εἰς τὸ Ἑβδομον ἄγουσι, κἀκεῖθεν σὺν προύδῳ δημοτελεῖ εἰς τὴν Μεγάλην ἐκκλησίαν ἀφίκοντο, καὶ ταινιοῖ τὸν ἄνδρα ὁ πατριάρχης Πολύευκτος. Ἡ δὲ βασιλὶς Θεοφανὼ, αὐτίκα τῶν ἀνακτόρων ἐξωσθεῖσα, εἰς τὸ Πέτριον ἀπάγεται· ὁ δὲ παρακοιμώμενος Ἰωσὴφ εἰς Παφλαγονίαν περιορίζεται καὶ μετὰ δύο ἐνιαυτοὺς ἀπεβίω. Βάρδας δὲ ὁ τοῦ Νικηφόρου πατὴρ Καῖσαρ τετίμητο. Μετ' ὀλίγας δὲ ἡμέρας ἑαυτῷ τὴν Θεοφανὼ συνοικίζει ὁ βασιλεὺς, καὶ χρεῶν ἀπεχόμενος ἑξότου Βάρδας ὁ παῖς αὐτοῦ τῷ οἰκείῳ ἀνεψιῷ τῷ Πλεύσῃ προσπαίζων δόρατι παρ' ἐκείνου βληθεὶς ἄκοντος τέθνηκεν, ἔκτοτε καὶ τούτοις ἐτρέφετο. Ἐν δὲ τῇ κατὰ τὰ βασίλεια νέᾳ ἐκκλησίᾳ τῆς ἱερολογίας τῆς γαμικῆς τελουμένης παρὰ Πολυεύκτου τοῦ πατριάρχου, ἐν τῇ εἰσόδῳ τῇ πρὸς τὸ θυσιαστήριον (57) ἤδη ταῖς κιγκλίσιν ἐγγίσας ὁ βασιλεὺς ἐκωλύθη παρὰ τοῦ πατριάρχου συνεισελθεῖν, ὡς ἔθος αὐτῷ, φήσαντος, Εἰ μὴ πρότερον ἐπιτιμίοις δουλεύσῃ τῶν δευτερογαμούντων, μὴ δεῖν αὐτὸν τῆς πρὸς τὸ Θυσιαστήριον εἰσόδου κατατολμᾷν. Τοῦτο δυσφόρως ἤνεγκεν ὁ κρατῶν, καὶ ἐμηνία τῷ πατριάρχῃ. Ἐγένετο δέ τις μετὰ ταῦτα καὶ λόγος, δι' ὃν οὐδ' ἐπιβῆναι αὐτὸν ὅλως τοῦ ἱεροῦ δαπέδου συνεχώρει ὁ πατριάρχης. Ἐλέγετο γὰρ ἀνάδοχος γενέσθαι (58)

## Variæ lectiones et notæ.

(57) Ἐν τῇ εἰσόδῳ τῇ πρὸς τὸ θυσιαστήριον. Rem etiam narrat, sed paulo aliter, Scylitzes, p. 648. Observavimus in nostra *Constantinopoli Christ.* lib. III, sect. 42, cum solis sacerdotibus bema pervium esset, concessum tamen imperatori, κατά τινα παλαιὰν παράδοσιν, illud ingredi, cum sacra dona oblaturus esset, ex synodo Trull. can. 69. Hic vero imperator Phocas, post peracta nuptialia sacramenta (ἐν ναῷ, ut est in Euchologio, p. 385) cum patriarcha in bema ingressurus, ὡς ἔθος αὐτῷ, ab illo arcetur ab eodem patriarcha: unde conjici daretur, ea tempestate imperatorem in hemate sedem suum habuisse. Certe auctor incertus post Theophanem in Leone Armenio, p. 439, testatur imperatores bema ingredi solitos: Καὶ προελθὼν τῇ Χριστοῦ γεννήσει ἐν τῇ ἐκκλησίᾳ, εἰσῆλθεν ἐν τῷ θυσιαστηρίῳ, κατὰ τὸ ἔθος τῶν βασιλέων, etc. Exstitere tamen aliquot ecclesiæ in quarum bemata quibusvis ingredi fas erat, ex nescio quo incerto ne toleralo abusu. Scholion ad can. 69 synodi Trullanæ: Σημείωσαι τὸν παρόντα κανόνα, καὶ φύλαττε τοῦτον· κἂν ἐγὼ οὐκ ἠδυνήθην κωλῦσαι τοὺς εἰσερχομένους κοσμικοὺς εἰς τὸ ἅγιον βῆμα τῆς ὑπεραγίας μου Θεοτόκου τῆς Ὁδηγητρίας, λέγοντας ἀρχῆθεν κρατῆσαι τὴν τοιαύτην συνήθειαν, ἔν τε τῷ ἁγίῳ οἴκῳ τῆς Θεομήτορος, καὶ ἐν τῷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐν τῇ Χαλκῇ.

(58) Ἐλέγετο γὰρ ἀνάδοχος γενέσθαι, etc. Liutprandus in Legat. de Nicephoro: *Qui non incongrue silvestri asino comparatur ob vanam et inanem glo-*

ὁ Νικηφόρος τῶν τῆς Θεοφανοῦς παίδων ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ ἀπήτει ὁ πατριάρχης, ἢ διαζυγῆναι τῆς βασιλίσσης, ἢ πόρρω εἶναι τῶν ἱερῶν. Ἀλλ' ἐκεῖνος τῆς Θεοφανοῦς οὐκ ἀπείχετο· ἔτι γὰρ ὁ ταύτης ἔρως ἐφλέγμαινε, κοινοῦται δὲ τοῖς παροῦσι τῶν ἀρχιερέων καὶ τοῖς τῆς γερουσίας λογιωτέροις τὸ ζήτημα. Οἱ δὲ τὸν περὶ τούτου κανόνα τῷ Κοπρωνύμῳ ἐπιγραφόμενοι, μὴ δεῖν ἔλεγον ἐνεργὸν λογίζεσθαι τοιοῦδε ἀνδρὸς νομοθέτημα, καὶ πάντες αὐτῷ ἔγγραφον παρέσχον τὴν περὶ τούτου συγχώρησιν. Ὁ δέ γε πατριάρχης ἔτι τῆς οἰκείας ἐνστάσεως εἶχετο, μέχρις οὗ ὁ τοῦ Βασιλέως πατὴρ ὁ Καῖσαρ Βάρδας ἐνόρκους αὐτῷ πίστεις παρέσχετο, ὡς οὐ γίγονεν ὁ βασιλεὺς τῶν τῆς Θεοφανοῦς παίδων ἀνάδοχος. καὶ ὁ πρωτοπαπᾶς δὲ τῶν βασιλείων Στυλειανὸς, ὃς ἐλέγετο πρῶτος κήρυξ τῆς φήμης ταύτης γενέσθαι, ἐπὶ συνόδου μήτ' ἰδεῖν μήτ' εἰπεῖν περὶ τούτου πρός τινας, ἐξωμόσατο. Τούτων δὲ γενομένων ἐδέξατο τὸν Νικηφόρον ὁ πατριάρχης. Τῶν δ' ἐν Σικελίᾳ Σαρακηνῶν δασμὸν πραττόντων ἐκ τῶν Ῥωμαίων ἐκ παλαιῶν συνθηκῶν, ὁ βασιλεὺς οὗτος οὐκ ἀνασχετὸν ἥγετο αὐτοῦ βασιλεύοντος τοῖς Ἀγαρηνοῖς Ῥωμαίους φορολογεῖσθαι. Διὸ κατ' αὐτῶν ἐκπέμπει Μανουὴλ πατρίκιον (59), νόθον ὄντα παῖδα τοῦ πατραδέλφου αὐτοῦ Λέοντος, ὃς δομέστικος γεγονὼς τῶν σχολῶν, ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος τυραννίδι ἐπιχειρήσας ἐπηρώθη τοὺς ὀφθαλμούς. Οὗτος τοίνυν ὁ Μανουὴλ σὺν ναυτικῷ περιφανεῖ τῇ Σικελίᾳ προσορμισάμενος, οὐ μόνον οὐδέν τι κατώρθωσεν, ἀλλὰ καὶ λίαν ἐσφάλη ἐξ ἀπειρίας καὶ νεωτερικῆς ἀγερωχίας, ἢ μᾶλλον ἀτασθαλίας. Αὐτός τε γὰρ διώλετο καὶ ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικὸν, καὶ τὰ μὲν κατὰ Σικελίαν συνέκυρσεν οὕτω. Κατὰ Κιλικίας δὲ (καὶ ταύτης δὲ οἱ Ἀγαρηνοὶ ἐκράτουν) ἐκπέμπει ὁ βασιλεὺς Ἰωάννην μάγιστρον τὸν Τζιμισκῆν, τῆς Ἀνατολῆς προκεχειρισμένον δομέστικον. Ὁ δὲ πρὸς Ἅδαναν ἀφικόμενος, τοῖς ἐν ταύτῃ τε συνεπλάκη Ἀγαρηνοῖς, καὶ κατ' αὐτῶν ἐστήσατο τρόπαιον. Κἀντεῦθεν μέγαν αὐτὸν ἢ πρότερον ἐν στρατηγίαις ἡ φήμη ἐκήρυττεν.

ΚΕ. Ἤδη δὲ δεύτερον ἐνιαυτὸν ἀνύων ὁ Νικηφόρος ἐν τῇ ἀρχῇ, αὐτὸς ἔξεισι κατὰ Κιλικίας μετὰ βαρείας χειρὸς, καὶ τὴν Θεοφανὼ μετὰ τῶν παίδων αὐτῆς ἐπαγόμενος, καὶ τὴν μὲν πρὸ τῆς Κιλικίας κατὰ τὸ Δριζίβιον (φρούριον δὲ τοῦτο) κατέλιπεν, ἐκεῖνος δὲ τῇ Κιλικίᾳ προσβαλὼν, αἱρεῖ τὴν Ἀνάβαρζαν, Ῥωσόν τε καὶ Ἅδαναν (πόλεις δ' αὗται Κιλίκων) ἀλλὰ μέντοι καὶ φρούρια πλείονα. Τῇ δέ γε Ταρσῷ καὶ τῇ Μοψουεστίᾳ (60) οὐκ ἔκρινε προσβαλεῖν διὰ τὸν χειμῶνα, ἢ τοῦ ἔρωτος αὐτὸν τῆς Θεοφανοῦς πρὸς ἐκείνην ἀνθέλκοντος· ἀπῆει γὰρ σὺν αὐτῇ πρὸς Καππαδοκίαν. Κἀκεῖθεν τοῦ ἔαρος ἠργμένου, εἰς Κιλικίαν ἀνθυπενόστησε, καὶ αὐτὸς μὲν τὴν Μοψουεστίαν ἐπολιόρκει, τῇ Ταρσῷ δὲ τὸν ἀδελφὸν ἐπέστησε Λέοντα. Τῆς δὲ Μοψουεστίας μέσον ποταμῷ τῷ Σάρῳ διαιρουμένης, τὸ μὲν ἓν μέ-

Λ donec imperatoris pater Bardas Cæsar jurejurando negavit, Theophanonis liberos ab illo ex baptismate susceptos esse : et Stylianus palatii Protopapa, qui cum rumorem primo vulgasse ferebatur, se ea de re neque scire quidnam, nec dixisse ad quemquam, in concilio juravit. His demum factis patriarcha Nicephorum recepit. Cum autem Silicienses saraceni ex antiquis pactis tributum a Romanis postularent. Nicephorus non ferendum esse ratus. si se imperante Romani illis essent tributarii, Manuelem patricium, patris sui Leonis nothum filium, qui Leo cum sub priore Romano legionum domesticus esset, ob regnum affectatum excatus fuit, contra eos misit. Is cum in Siciliam cum illustri classe appulisset : non modo nihil memorabile gessit, sed, etiam ex imperitia, et juvenii ferocia, vel potius temeritate, gravitor impegit, ipse cum omni exercitu cæsus. Ac in Sicilia res ita actæ sunt. Contra Ciliciam autem, quam et ipsam Agareni tenebant, magistrum Joannem Tzimiscem Orientis domesticum designatum, ablegavit. Qui cum Adanam, venisset, de ejus loci Agarenis triumphavit. Qua victoria celebritas nominis ejus, ut strenui ducis, multum aucta est.

Β

C XXV. Nicephorus porro secundo imperii sui anno, ipse cum magna manu Ciliciam invadit, Theophanone **201** quoque cum liberis ejus adducta, eaque Drizibii, quod est castellum in Ciliciæ aditu collocata, Anabarzam, Rosum et Adanam ejus provinciæ urbes capit, aliaque plura castella. Tarsum vero et Mopsvestiam oppugnare non statuit, sive ob hiemem, sive amore Theophanonis avocatus, cum qua Cappadociam petiit. Unde veris initio in Ciliciam reversus, fratre Leone contra Tarsum misso, ipse Mopsvestiam obsedit, quam cum medium flumen Sarus dividat, altera ejus parte expugnata, Agareni igne injecto, in alteram se receperunt : qua et ipsa capta nemo effugit. Tarsenes quoque audita Mopsestiæ expu-

D gnatione, imperatori accersito urbem tradiderunt.

## Variæ lectiones et notæ.

*riam, incestumque dominæ et commatris suæ conjugium.* Infra : *Nicephorus perjurio atque adulterio regni apicem est adeptus.*

(59) Μανουὴλ πατρίκιον. Annum ejus cladis notat Lupus protospatha : *Anno* 965 *introivit Manuel patricius in Siciliam, et ibi mortuus est.* Liutprandus in Legatione, triennio post obita : *Scribit etiam præfatus Hippolytus Græcos non debere Saracenos, sed Francos conterere, qua lege Saraceni animati ante triennium cum Manuele patricio, Nicephori nepote, juxta Scyllam et Charybdim in mari Siculo bellum parant, cujus immensas copias cum prostravissent, ipsum comprehenderunt, capiteque truncum suspenderunt.*

(60) Τῇ δέ γε Ταρσῷ καὶ τῇ Μοψουεστίᾳ. Mopsuestiæ expugnationem a Nicephoro Phoca fuse narrat Leo Diaconus, lib. IV.

Triduo elapso classis Ægyptia Tarsensibus auxilio missa, ad terram appellendi facultatem non habuit eademque in reditu et ventorum procellis, et Romanorum triremium incursionibus majori ex parte periit. Imperator Constantinopolim reversus, æreas Tarsi et Mopvestiæ portas exquisiti artificii, novis ornamentis additis, partim muro juxta Acropolim orientali, partim occidentali accommodavit, atque etiam Deo quasi primitias expeditionis suæ obtulit : venerandis crucibus, quibus Barbari potiti fuerant, cum Stypotia legionum domesticus, in obsidione Tarsi, re per imprudentiam male gesta, claudem accepisset, Sanctæ Sophiæ templo dedicatis, Cyprum quoque ab Agarenis occupatam, Romano imperio restituit. Deinde Syriam invasit, et urbibus ad Libanum, et juxta mare sitis partim expugnatis, partim vastatis, ad Antiochium venit. Sed Antiochenis acrius resistentibus, accedente etiam commeatus penuria, et solo imbribus inundato, soluta obsidione in urbem principem est reversus, allata Servatoris Christi sacra divinaque effigie, Hierapoli Syriæ in olla reperta, et parte capillorum Joannis Baptistæ sanguine concreta. Ac in rebus bellicis talis fuit hic imperator, Romanique imperii fines longe lateque propagavit. Sed certis de causis, omnium odia suscepit. Ex fuerunt, quod cum ii milites, quos defectionis socios habuerat, obvia quæque vastarent, eos qui damna fecerant, non curabat, et multis ædibus tum 202 illustrium tum plebeorum hominum direptis, sic affectus erat, quasi nihil mali accidisset : sed delectabatur potius injuriis, quibus cives onerabantur, quamvis eorum ope ad imperium pervenisset. Præterea, continentium bellorum prætextu novis tributis instituendis, et veteribus augendis, omnis generis exactionibus subditos premebat, quos milites quocunque venerant nihilo clementius tractabant quam hostes. Ad hæc ob frequentes expeditiones, pecuniæ inopiam causando imperatorias largitiones senatui dari solitas, ex parte imminuebat, et annua dona ab antiquis temporibus templis et aliis piis domibus attributa penitus sustulit. Decreto quoque sanxit, ne fundi ecclesiarum augerentur, quod (ut ipse asserebat) a sacerdotibus non in ecclesiarum utilitatem opes illæ conferrentur. Orta porro inter patriarcham et episcopos de suffragiis contentione, cum hi deceruendi licentiam et approbandi potestatem sibi vindicarent, ille suffragia reprehenderet, ut quæ nec sine affectibus, nec recto judicio ferrentur, operamque darei, ut ab iis judicium faciuris et ipse in consilium adhiberetur : imperator ex hoc sumpta occasione, et omni auctoritate designandi episcopos sibi vindicata, edixit ne quisquam injussu suo in ullam Ecclesiam mitteretur. Morluo igitur episcopo, ex ministris suis in Ecclesiam vacantem mittebat aliquem, quo sumptus necessarios parce facionte, ipse reliqua sibi vindicabat. Neque vero eo imperante in ullis provinciis un-

ρος ταύτης ἐάλω πολιορκούμενον, οἱ δ' ἐν τούτῳ Ἀγαρηνοὶ πρὸς τὸ λοιπὸν μετεχώρησαν, τῷ καταλελειμμένῳ πῦρ ἐμβαλόντες· εἶτα καὶ τὸ ἕτερον ἐκαλώκει, καὶ οὐδεὶς ἐκεῖθεν διέδρα. Τὴν δὲ τῆς Μοψουεστίας ἐκπόρθησιν οἱ ἐν τῇ Ταρσῷ μαθόντες, τὸν βασιλέα ἐπεκαλέσαντο, καὶ τὴν πόλιν παρεδεδώκασιν. Ἡμερῶν δὲ τριῶν διελθουσῶν, στόλος ἐξ Αἰγύπτου τῇ Ταρσῷ βοηθήσων κατέπλευσε, προσοκεῖλαι δὲ τῇ χέρσῳ οὐ συγκεχώρητο· διὸ καὶ αὖθις ἀπέπλευσεν· ἀνέμων δὲ βιαίαις πνοιαῖς περιπεπτωκὼς καὶ τριήρεσι Ῥωμαϊκαῖς ὁ πλείων ἀπώλετο. Ὁ δὲ βασιλεὺς ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου, τὰς τῆς Ταρσοῦ πύλας καὶ τὰς τῆς Μοψουεστίας ἐπαγόμενος, ἐκ χαλκοῦ πεποιημένας, καὶ τέχνης δεικνυούσας ἀκρίβειαν, ἃς κἀκεῖνος ἐπικοσμήσας, τὰς μὲν τῷ κατὰ τὴν Ἀκρόπολιν ἐφῳ τείχει πρυσήρμοσε, τὰς δὲ τῷ τείχει τῷ δυσικῷ. Καὶ τῷ Θεῷ δὲ ἀπαρχὰς οἷον τῆς αὐτοῦ στρατείας ἀποδιδούς, τοὺς τιμίους σταυροὺς, οὓς οἱ Βάρβαροι ἔλαβον, ὁπηνίκα ὁ Στυπειώτης τῶν σχολῶν δομέστικος ὢν, καὶ πολιορκῶν τὴν Ταρσὸν, ἐκ κακοβουλίας ὕστυχήματι περιέπεσε, τῷ θείῳ τεμένει τῆς τοῦ Θεοῦ Λόγου Σοφίας ἀνέθετο. Καὶ τὴν Κύπρον δὲ παρὰ Ἀγαρηνῶν κατεχομένην, δι' αὐτοῦ ἡ Ῥωμαίων ἀρχὴ προσεκτήσατο. Εἶτα τῇ Συρίᾳ ἐπῆλθε, καὶ πόλεις ἐκπορθήσας, καὶ χώρας ἑλὼν πρὸς τῷ Λιβάνῳ καὶ τῇ παραλίᾳ κειμένας, ἦλθεν εἰς Ἀντιόχειαν. Τῶν δ' ἀντικαθισταμένων ἐρρωμενέστερον, ἤδη δὲ καὶ τῶν ἐπιδημίων ἐπιλειπόντων τοῖς στρατιώταις, καὶ τέλματος ἐξ ὑετοῦ γεγονότος πολλοῦ, ἀπέστη τῆς πολιορκίας, καὶ πρὸς τὴν τῶν πόλεων ὑπερκειμένην ἐπανελήλυθεν, ἐπηγμένος καὶ τὸ τοῦ Σωτῆρος Χριστοῦ ἱερὸν καὶ θεῖον ἐκτύπωμα, ὃ ἐν κεράμῳ εὗρε κατὰ τὴν Ἱεράπολιν τὴν τῶν Σύρων, καὶ βόστρυχον τοῦ Βαπτιστοῦ Ἰωάννου αἵματι πεφυρμένον. Ἐν μὲν οὖν στρατηγίαις τοιοῦτος ἐγεγόνει ὁ αὐτοκράτωρ, καὶ ἐπὶ μακρὸν ηὐξήκει Ῥωμαίοις τὰ ὅρια, καὶ τῆς αὐτῶν ἡγεμονίας ἐξέτεινε τὰ σχοινίσματα. Ἀλλὰ δι' αἰτίας τινὰς πᾶσιν ἦν στυγητός. Αἱ δ' αἰτίαι, ὅτι τῶν σὺν αὐτῷ τῇ ἀποστασίᾳ ἐπιχειρησάντων στρατιωτῶν κακῶς διατιθεμένων τοὺς οἷς ἂν ἐντύχοιεν, τῶν κακουμένων οὐκ ἐπιστρέφετο, καὶ οἰκιῶν πολλῶν περιφανῶν τε ἀνδρῶν καὶ δημοτικῶν διαρπαγεισῶν, ὡς οὐδενὸς κακοῦ γεγονότος, διέκειτο, μᾶλλον μὲν οὖν καὶ ἐνετρύφα ταῖς εἰς τοὺς ἀστοὺς παροινίαις, καὶ ταῦτα συναραμένους αὐτῷ πρὸς τῆς βασιλείας τυχεῖν. Καὶ ὅτι προφάσει τῶν συνεχῶν πολέμων, καιναῖς εἰσφοραῖς καὶ τῶν ἀρχαίων αὐξήσεσι, καὶ εἰδῶν εἰσπράξει παντοδαπῶν ἐξέτρυχε τὸ ὑπήκοον, καὶ οὐδὲν ἄμεινον πολεμίων τὸ στρατιωτικὸν διετίθετο πρὸς οὓς ἦν τῶν ὑπηκόων ἐπεχωρίασεν. Ἐπὶ τούτοις διὰ τὰς πυκνὰς ἐκστρατείας ἔνδειαν ἔχειν χρημάτων προφασιζόμενος, τὰς μὲν διανεμομένας τῇ γερουσίᾳ βασιλικὰς δωρεὰς κατὰ μέρος ἠλάττωσε, τὰς δ' ἀπονεμημένας ἀνέκαθεν τεμένεσιν ἱεροῖς καὶ εὐάγεσιν οἴκοις ἐπετείους δόσεις ἐσχύλασε τέλεον. Εἶτα καὶ ψήφισμα βασίλειον ἔθετο, ἐν ἀκινήτοις τὰς Ἐκκλησίας μὴ ἐμπλατύνεσθαι, καὶ ἡ πρόφασις, ὅτι

κατ' κκεῖνον ὑπὸ τῶν ἀρχιερέων οὐκ εἰς δέοντα τῶν Ἐκκλησιῶν ἀναλίσκονται. Εἶτα τῶν τότε ἀρχιερέων καὶ σοῦ ἀρχιποίμενος Πολυεύκτου διαφερομένων περὶ τῶν ψήφων, καὶ τῶν μὲν εἰς ἑαυτοὺς ἑλκόντων τὴν ἄδειαν τοῦ ψηφίζεσθαι οὓς ἂν ἐγκρίνοιεν, τοῦ δὲ τὰς ψήφους αἰτιωμένου, ὡς οὐκ ἀπαθῶς γινομένας οὐδὲ κατὰ γνώμης, εὐθυτάτης, καὶ σπεύδοντος κοινοῦσθαι αὐτῷ τοὺς ἀρχιερεῖς περὶ τῶν μελλόντων ψηφίζεσθαι, ὁ βασιλεὺς ἀφορμῆς ἐκ τούτου ὁραξάμενος, εἰς οἰκείαν ἐξουσίαν τὸ πᾶν τῆς τῶν ἐπισκόπων μετήνεγκε προχειρίσεως, μηδένα κελεύσας γνώμης ἄτερ αὐτοῦ εἰς Ἐκκλησίαν οἵαν δή τινα στέλλεσθαι· ἀλλὰ κἂν ἐτεθνήκει ἐπίσκοπος, βασιλικὰν ὑπηρέτην εἰς τὴν χηρεύουσαν Ἐκκλησίαν ἐξέπεμπε, καὶ γλίσχρως παρ' ἐκείνου τῶν ἀναγκαίων γινομένων ἀναλωμάτων, αὐτὸς ὠκειοῦτο τὰ περιττεύοντα. Οὐ διέλιπον δ' ἐν ταῖς χώραις ἁπάσαις, αὐτοῦ βασιλεύοντος, ἀπογραφεῖς στελλόμενοι, ἐπήπται τε καὶ στρατευτικοί, καὶ οἱ κεκλημένοι πρωτονοτάριοι, οἳ παντοίαις κακώσεσιν ἐξεπίεζον τὸ ὑπήκοον, καὶ εἰς ἐσχάτην ἀπορίαν συνήλασαν, οὐδὲ τῶν παντάπασιν ἀπόρων φειδόμενοι. Ἀλλὰ τούτους μὲν ταῖς δρομικαῖς στρατίαις ἐγγράφοντες, τοὺς δὲ πρώην ταύταις ὑποκειμένους εἰς τὰς πλευστικὰς μεταγράφοντες, τοὺς δὲ πλωΐμους μετατιθέντες εἰς στρατιώτας πεζούς, τοὺς δὲ πρὶν τοιούτους τοῖς ἱππόταις ἐγκαταλέγοντες, καὶ τοὺς ἱππότας εἰς καταφράκτους ἀμείβοντες, καὶ ἑκάστῳ βαρύτερον στρατιωτικὸν ἐπιθέντες λειτούργημα. Ἔφκει γὰρ τὸ πᾶν τῇ στρατιώτιδι μεταχειρίσει ἐπιγραφόμενος (61)· ὅθεν καὶ δόγμα, ὅσον τὸ κατ' ἐκεῖνον, ἐθέσπισε, τοὺς ἐν πολέμοις ἀναιρουμένους στρατιώτας, ἐπίσης τιμᾶσθαι τοῖς μάρτυσι καὶ ὕμνῶν ὁμοίων τυγχάνειν, καὶ παραπλησίως γεραίρεσθαι. Καὶ εἰ μὴ ὁ πατριάρχης καί τινες τῶν ἀρχιερέων, ἀλλὰ μὴν καὶ ἔνιοι τῶν λογάδων τῆς γέρουσίας γενναίως. ἀντέστησαν, λέγοντες. Πῶς ἂν οἱ ἐν πολέμοις ἀναιροῦντες καὶ ἀναιρούμενοι λογίζοιντό τισι μάρτυρες, ἢ τοῖς μάρτυσιν ἰσοστάσιοι, οὓς οἱ θεῖοι κανόνες (62) ὑπὸ ἐπιτίμιον ἄγουσιν, ἐπὶ τριετίαν τῆς φρικώδους καὶ ἱερᾶς αὐτοὺς ἀπείργοντες μεταλήψεως; τάχα ἂν τὸ θεσπέσιον ἐκεῖνον κεκύρωτο θέσπισμα. Ἦν δὲ πρὸς τοῖς ἄλλοις καὶ χρημάτων ἥττων, ὡς ἔοικε· μέχρι γὰρ ἐκείνου παντὸς νομίσματος ἐξαγίου σταθμὸν ἕλκοντος, ἐκεῖνος τὸ Τεταρτηρὸν ἐπενόησε κολοβώσας αὐτὸ κατὰ τὸν σταθμὸν, καὶ τὰς μὲν εἰσπράξεις διὰ τοῦ βαρυτέρου, τὰς δὲ δόσεις καὶ πάντα τὰ ἀναλώματα διὰ τοῦ κεκολυβωμένου πεποίητο. Ἔθους δ' ἐπικρατήσαντος παλαιοῦ, στατῆρα πάντα, βασιλικὸν ἐκτύπωμα φέροντα, ἰσότιμον εἶναι τῷ ἄρτι κοπτομένῳ παρὰ τοῦ βασιλεύοντος, ἐκεῖνος τὸ ἑαυτοῦ προτιμᾶσθαι κεκέλευκε νόμισμα. Ἵνα τί γένηται; Ἵν' ἐκεῖνο μόνον τοῖς ἐμπόροις ζητούμενον, κέρδος αὐτῷ πορίζῃ ὑπὲρ ἑκάστου νομίσματος, ἁδρὰ πραττομένῳ ἀλλάγια. Οὕτω δὲ τούτοις κακουμένων τῶν πολιτῶν, οὐδέ τις παρὰ τῶν ἀγορανόμων ἦν ἐπὶ τοῖς ὠνίοις προμήθεια, ἀλλ' ἕκαστος τῶν ἐμπόρων νόμον εἶχε τὸ ἑαυτοῦ θέλημα, καὶ οἱ ὠνούμενοι τὰ χρειώδη, ἐγίνοντο καθ' ἑκάστην πενέστεροι.

A quam deferunt descriptores, inspectores et militares et protonotarii : qui subditos omni malorum genere oppressos ad summam egestatem redegerunt, ne egentissimorum quidem habita ratione. Nam eos in dromicos exercitus referebant : qui prius in iis fuerant, in nauticos transferebant ; classiarios in pedestres exercitus, pedites in turmas equitum, equites in cataphractos inserebant : singulis gravius militiæ munus assignantes. Nam ad unam rem militarem referebat omnia. Unde, quod in se fuit, decreto sanxit ut milites in bellis interfecti, pari cum martyribus honore colerentur, et similibus hymnis ac veneratione celebrarentur. Quod si patriarcha et quidam ex primariis sacerdotibus 203 et senatus principibus non strenue re-
B stitissent : rogassentque, quo pacto ii qui in bellis et caderent et cæderentur, martyres judicari possent, aut martyribus pares, quos sacrorum canonum censura notaret, triennium a tremenda illa et sancta communione arcens, forsitan egregium illud decretum ratum fuisset. Apparet eumdem avaritiæ quoque sordibus fuisse contaminatum. Nam cum usque adeum quodvis numisma exagium penderet, ille Tetarterum excogitavit pondere imminuto, et exactiones graviore, largitiones et omnes impensas mutilato numismate fecit. Jam cum antiquitus receptum esset, ut omnis vetus stater, imperatoris imagine insignitus, tantumdem valeret, quantum recens ab imperatore excusi : ille suam monetam pluris fieri jussit. Quo fine? ut illam solam mercatoribus expetentibus, e commutationis auctario, quod magnum exigebat, multum sibi lucri accederet. Quibus rebus cum cives vexarentur, Ædiles rerum venalium nullam rationem habebant, sed quisque mercator suo arbitratu pretium statuebat. Unde, qui
C res necessarias emebant, in dies fiebant pauperiores.

XVI. Hæc aliaque plura (nam omnia persequi difficile fuerit) atrox omnium odium Nicephoro concitarunt, ut optarent omnes, ejus tyrannide liberari. Illud tamen vel in primis, hominibus mo-
D

Κζ'. Ταῦτα καὶ πλείονα ἕτερα (πάντα γὰρ ἀπαριθμήσασθαι δυσχερὲς) ἐξήμηνε πάντας κατὰ τοῦ Νικηφόρου, καὶ πᾶσιν ἦν δι' εὐχῆς, τῆς τούτου τυραννίδος ἀπαλλαγῆναι. Οὐχ ἥκιστα δ' ἐλύπησε τοὺς

## Variæ lectiones et notæ.

(61) Ἔφκει γὰρ τὸ πᾶν τῇ στρατιώτιδι μεταχειρίσει ἐπιγραφόμενος. Liutprandus in Legat. sic Græcum loquentem inducit : *Constantinus, inquit, imperator, homo lenis, in palatio manens.... Nicephorus vero Basilius homo* ταχύλεβ, *id est militiæ deditus, palatium ceu pestem adhorret, et vocatur a nobis propre simultatis amator, atque argumentosus, qui non pretio sibi gentes amicas, sed terrore et gladio sibi subditas facit.*

(62) Θεῖοι κανόνες. Vide eumdem Zonaram, ad can. 13, epist. 1 S. Basilii ad Amphilochium.

festum fuit, quod regiam muro circumdedit. Nam cum oraculum accepisset, se in ea interfectum iri, putabat se mœnibus tutum fore. Enimvero sic ei ratiocinandum fuit : Si verum esset oraculum, etiam fatum (ut ita loquar) divinitus ordinatum, esse inevitabile et immutabile ; sin id aliqua solertia prohiberi posset, non utique esse verum, omnemque solertiam supervacaneam. Sed ille nulla harum rerum considerata : magnis sumptibus regiam eo muro, qui etiam nunc cernitur, circumdedit, quem cives Acropolim et castellum tyrannicum contra se exstructum judicabant. Verum munitione perfecta, cum se jam res suas in tuto collocasse putaret, tum demum cum intra eam ipsam cæderetur, intellexit, inventum illud nihil sibi profuisse. Sed hoc in præsentia omisso, res ejus gestas exsequamur. Antiochia, **204** quam flumen Orontes alluit, revertens, castellum in Tauro monte, quem hodie vulgo Maurum vocant, construxit : Michaele Burze, quem patricium fecit, et Tauri montis ducem nominavit, ad infestandos Antiochenos ibi relicto. Petrum vero quemdam ex ministris suis, castratum illum quidem, sed strenuum hominem, constantem, et militum regendorum peritum, stratopedarcham designavit : ut locum exercitui daret ad hibernandum in Cilicia. Imperatore Byzantium reverso, Burzes crebris excursionibus Antiochenos Agarenos infestabat, assidue de capiendæ urbis facultate, parandaque sibi gloria cogitans. Quodam igitur tempore turris cujusdam altitudinem clam mensus, paratis scalis illi paribus, nocte hiberna, illuni et nivosa, tacito mœnibus urbis succedit, affixisque scalis cum recentis (tot enim advertente nemine adduxerant) ascendit, custodes turris et obvios quosque cædit, statimque stratopedarchæ nuntiat quid fiat, et ad opem ferendam accersit. Id ille detrectabat. Ferebatur enim imperator illi mandasse, ne Antiochiam invaderet, quod urbis ejus captivitatem interitum imperatoris consecuturum vulgata fama erat. Antiocheni cum turres occupatas esse cognovissent, eo alacriter convenere, ad Romanos expellendos, stratopedarcha, quamvis anticipiti cura distineretur, et mandati imperatoris, et exitii Burzæ, cum cohorte sua, tamen non committendum esse ratus, ut tot viri perirent, cum omnibus copiis Antiochiam invadit. Quo facto statii et manus et animi Barbarorum conciderunt. Burzes vero cum suis jam desperata salute, revixit, et porta bipenni resecta, liberum ingressum stratopedarchæ præbuit. Tanta facilitate, illustris Antiochia in Romanorum potestatem venit. Id imperatori nuntiatum plus doloris attulit quam voluptatis, et præclarum facinus, iratus stratopedarchæ et Burzæ, contumeliis et

ἀνθρώπους, καὶ ἡ τῶν βασιλείων τῷ τείχει περιβολή. Κεχρησμοδοτημένον γὰρ ἔχων, τὸ ἐν τοῖς βασιλείοις μέλλειν ἀναιρεθήσεσθαι, ἔδοξε· ἑαυτῷ περιποιεῖσθαι διὰ τοῦ τείχους ἀσφάλειαν, δέον λογίσασθαι, ὡς εἰ μὲν ἀληθὲς εἴη τὸ χρησμοδότημα, εἴη ἂν καὶ πεπρωμένον, ἵν' οὕτως εἴποιμι, νὺ ἐκ Θεοῦ ὡρισμένον, ἀφυκτόν τε καὶ ἀμετάθετο. Εἰ δὲ δύναιτο κωλυθῆναι δι' ἐπινοίας τινὸς, οὐ πάντως ἀληθὲς, καὶ τὰ ἐπινοούμενα περιττά. Ὁ δὲ τούτων οὐδὲν λογισάμενος, μεγάλαις δαπάναις τὴν νῦν ὁρωμένῳ τείχει τὰ βασίλεια ἐστεφάνωσεν, Ἀκρόπολιν δ' οἱ πολῖται τοῦτο καὶ τυραννεῖον καθ' ἑαυτῶν γινόμενον ἔκρινον. Ὅτε τοίνυν ἀπήρτισε τὸ ὀχύρωμα, καὶ ἔδοξεν ἑαυτῷ περιποιήσασθαι τὴν φύλακὴν ἀσφαλῆ, τότ' ἔγνω μηδὲν αὐτῷ λυσιτελῆσαν τὸ ἐπινόημα, ὑποστὰς ἐντὸς ἐκείνου τὸν ὄλεθρον. Ἀλλὰ μήπω περὶ τούτου, ἔτι δ' ὁ λόγος πράξεις διεξίτω ἐκείνου. Ὑπονοστῶν ἐξ Ἀντιοχείας (63). τῆς πρὸς Ὀρόντην οὗτος ὁ βασιλεὺς, φρούριον ἐν τῷ ὄρει τοῦ Ταύρου ἐδείματο, Μαῦρον δὲ ὄρος ἐκεῖνο λέγει νῦν ὁ πολὺς ἄνθρωπος, ἐν ᾧ Μιχαὴλ τὸν Βούρτζην κατέλιπε, πατρίκιον τιμήσας, καὶ τοῦ Μαύρου ὄρους στρατηγὸν ὀνομάσας αὐτὸν, τοὺς Ἀντιοχεῖς κακοῦν ἐντειλάμενος. Καὶ Πέτρον δ' ἕνα τῶν ἑαυτοῦ θεραπόντων, ἐκτομίαν μὲν, δραστήριον δέ γε καὶ ἐμβριθῆ, καὶ ἄρχειν εἰδότα στρατιωτῶν, Στρατοπεδάρχην ὀνομάσας κατέλιπεν, ἵν' ἐν Κιλικίᾳ δυοῖν χώραν τῇ στρατιᾷ τὼν χειμῶνα διαγαγεῖν. Καὶ ὁ μὲν βασιλεὺς ᾔκεν εἰς τὸ Βυζάντιον, ὁ δὲ Βούρτζης συνεχῶς ἐξελαύνων ἐκάκου τοὺς ἐν Ἀτιυχείᾳ Ἀγαρηνούς, καὶ διεσκόπει ὅπως ἕλοι τὴν πόλιν εἰ δύναιτοι, καὶ κλέος ἕξει. Ἔλαθεν οὖν ποτε μέτρον τοῦ ὕψους ἑνὸς τῶν πύργων λαθών, καὶ πρὸς τοσοῦτον ὕψος ἀναλογους ἡτοιμάσατο κλίμακας. Φυλάξας οὖν νύκτα μίαν χειμέριον, ἀσέληνόν τε καὶ νιφετώδη, πρόσεισιν ἠρέμα τῷ τείχει τῆς πόλεως, καὶ τὰς κλίμακας ἐρείσας αὐτῷ, ἀνέβη μετὰ τριακοσίων (τοσούτους γὰρ ἐπήγετο, μηδενὸς αἰσθομένους) καὶ τοὺς μὲν τοῦ πύργου ἐκείνου φύλακας ἀνεῖλε, καὶ ἑτέρων πλησιαζόντων, στέλλει δὲ αὐτίκα πρὸς τὸν στρατοπεδάρχην, ὅηλῶν αὐτῷ τὸ γενόμενον, καὶ πρὸς βοήθειαν ἐκκαλούμενος, Ὃ δὲ ἀνεδύετο· λέγεται γὰρ ἐντείλασθαι οἱ τὸν βασιλέα, μὴ προσβαλεῖν τῇ Ἀντιοχείᾳ, ὅτι παρὰ πᾶσι πεφήμιστο, τῇ τῆς Ἀντιοχείας ἁλώσει ἕψεσθαι καὶ τοῦ κρατοῦντος τὸν ὄλεθρον. Οἱ δὲ Ἀντιοχεῖς, γνόντες τῶν πύργων τὴν ἅλωσιν, ἐκεῖ συνηθροίσθησαν, ἐξελάσαι τοὺς Ῥωμαίους αὐτῶν προθυμούμενοι. Πρὸς δύο τοίνυν ἐναντία μαχόμενον ἔχων ὁ στρατοπεδάρχης τὸν λογισμὸν, τήν τε βασιλικὴν ἐντολὴν, καὶ τὸν ὄλεθρον τοῦ Βούρτζη, καὶ τῶν σὺν αὐτῷ τριακοσίων ἀνδρῶν, ἔθετο μὴ ἐᾶσαι τοσούτους ἄνδρας ἀπολέσθαι, καὶ ἅρας σὺν παντὶ τῷ στρατεύματι, προσβάλλει τῇ Ἀντιόχου· καὶ αὐτίκα οἱ μὲν πολέμιοι παρείθησαν καὶ τὰς χεῖρας καὶ τὰς ψυχάς.

## Variæ lectiones et notæ.

(63) Ὑπονοστῶν ἐξ Ἀντιοχείας. Expeditionem hanc in Agarenos, quæ sub anno 968, accidit, attigit Liutprandus in Legat. *Quarta feria ipsius Hebdomadæ Nicephorus Constantinopolim egreditur, in Assyrios profecturus.*

Οἱ δὲ περὶ τὸν Βούρτζην, καὶ αὐτὸς ἐκεῖνος, ἤδη ἀπειρηκότες ἀνεζωώθησαν, καὶ τὰ κλεῖθρα τῶν πυλῶν ὁ Βούρτζης πελέκει διακόψας, ἄνετον παρέσχε τῷ στρατοπεδάρχῃ τὴν εἴσοδον, καὶ ἡ περιφανὴς Ἀντιόχεια ῥᾳδίως οὕτως ὑπὸ Ῥωμαίους ἐγένετο. Ὁ τῷ βασιλεῖ ἀγγελθὲν ἄλγος, ἀλλ' οὐ χαρμονὴν ἐνεποίησεν. Ἐμηνία τε τῷ στρατοπεδάρχῃ, καὶ τῷ Βούρτζῃ τῆς σπουδῆς καὶ τοῦ ἀνδραγαθήματος ἀμοιβὴν παρέσχεν ὕβρεις καὶ ἀπειλάς, ἀφείλετό τε αὐτοῦ τὴν ἀρχήν, καὶ παρὰ τῷ οἴκῳ μένειν ἀπρόϊτον διωρίσατο.

A minis est remuneratus, adempto quo imperio, illum domo exire voluit.

ΚΖ'. Συνέβη δέ τι καὶ ἕτερον ὃ τὸν δῆμον ἐξέμηνε κατὰ τοῦ βασιλέως, καὶ κατὰ δήμου τὸν αὐτοκράτορα. Κατά τι παλαιὸν ἔθος ( ) ἐν μιᾷ τῶν Δεσποτικῶν ἑορτῶν εἰς τὸν ἐν τῇ Πηγῇ θεῖον ναὸν πρόοδον ἐποιεῖτο ὁ βασιλεύς, καὶ συνέβη μέσον Ἀρμενίων καὶ πλωϊμων φιλονεικίαν προβῆναι, κἀκ ταύτης συμβολὴν ἀλλήλων καὶ θροῦν καὶ κρότον πολλὴν, καὶ φόνον ἀνδρῶν ἑκατέρωθεν. Τῆς δὲ φήμης τὸ γεγονὸς τοὺς ἐν τῇ πόλει πρὸ τῆς ἐπανόδου τοῦ βασιλέως καταγγελάσης, οἱ τοῦ δήμου ἀτάσθαλοι κατὰ συμμορίας γενόμενοι πολλαχοῦ, καὶ τοῖς Ἀρμενίοις ἐπανιοῦσιν ὑπαντιάζοντες, ξύλοις ἐκείνους συνέκοπτον. Ὡς δὲ καὶ ὁ βασιλεὺς ἐφθάκει κατὰ τὴν ἀγορὰν τῶν Ἀρτοπρατίων, ὕβρεις κἀκείνου κατέχευν, καὶ θόρυβος ἦρτο, καὶ βοαί τε καὶ συνδρομαὶ, καὶ οἱ μὲν λίθους ἠφίουν κατὰ τοῦ βασιλέως, οἱ δὲ κόνιν ἔπαττον κατ' αὐτοῦ, καὶ ἐδυσφήμουν αὐτὸν μέχρι τῆς ἀγορᾶς, ἤ τις ἔστρωται ταῖς πλαξὶ, καὶ τὸν κίονα φέρει τὸν κυκλοτερῆ τε καὶ πορφυροῦν. Καὶ εἰ μή τινες τῶν ἐντιμοτέρων πολιτῶν ἐκεῖσε τὸν βασιλέα δεξάμενοι, τοὺς μὲν ἑφεπομένους αὐτῷ καὶ δυσφημοῦντας, ἄλλως τε ἀτακτοῦντας, ἀνεχαίτισαν, ἐκεῖνον δὲ κύκλῳ περιλαβόντες, εὐφήμουν, καὶ οὕτως αὐτὸν εἰς τὰ βασίλεια διεσώσαντο, τάχα ἄν τι μέγα συνέβη κακόν. Ἐντεῦθεν διεδέδοτο λόγος, ὡς ἐν ἱπποδρομίᾳ ὁ βασιλεὺς ἐγκοτῶν τῷ δήμῳ, μέλλει αὐτὸν ἀμύνασθαι. Ἀμίλλης οὖν τελουμένης ἵππων μετὰ καιρὸν, στρατιώτας ὁ βασιλεὺς ἐνόπλους προήγαγεν εἰς μέσον τὸ θέατρον, ἐπιδειξομένους ταχα τῷ δήμῳ, ὡς ἐν τύπῳ πολεμίων οἷα τῆς μάχης ἡ συμβολὴ, ὡς δῆθεν αὐτῷ κἀντεῦθεν περιποιούμενος ἡδονὴν, ἢ καὶ φόβον αὐτοῖς ἐπισεῖσαι θέλων. Ὡς οὖν οἱ στρατιῶται τὰ ξίφη ἐγύμνωσαν, ὁ ἐν τῷ θεάτρῳ λαὸς τοῦτ' ἐκεῖνο τὸ φημιζόμενον εἶναι νομίσαντες, ἀποδιδράσκειν τοῦ θεάτρου ὥρμησαν, καὶ περὶ τὰς ἐξόδους στενοχωρούμενοι, ὑπ' ἀλλήλων τε συμπατούμενοι, ἀπώλοντο οὐ βραχεῖς. Τάχα δ' ἂν καὶ πολλῷ πλείους ἐκινδύνευσαν, εἰ μὴ οἱ βασιλεὺς ἀμετακίνητος ἐπὶ τῆς ἰδίας ὤπτο καθέδρας. Ἰδὼν γὰρ ὁ δῆμος ἐκεῖνον μηδόλως τῆς ἕδρας μεταχωρήσαντα, ἔστησαν τῆς φυγῆς. Οἱ δὲ τοῖς θανοῦσι τότε προσήκοντες τοὺς οἰκείους θρηνοῦντες, δημοσίᾳ πρὸς τὸν βασιλέα ἀπέσκωπτον. Διὰ ταῦτα τοίνυν

XXVII. Accidit et aliud quiddam, quod et populum contra imperatorem, et imperatorem contra populum exacerbavit. Quodam festo Dominico imperatore, ex veteri consuetudine, in Peganum templum **205** supplicatum egresso, accidit, ut Armenii et nautæ orta contentione cum magno murmure et tumultu inter se congrederentur, et utrinque viri aliquot caderent. Quo ante reditum imperatoris, civibus nuntiato, temeraria plebs in cohortes divisa, Armenios redeuntes, obviam egressa, fustibus cædebat, et ipsum imperatorem jam in forum Tanarium progressum maledictis insectabatur : ortoque tumultu et concursu facto, et clamor sublato, alii lapidibus imperatorem petunt, alii pulverem in eum spargunt, et maledictis usque in forum tabulis lapideis stratum prosequuntur, in quo columna rotunda porphyretica sita est. Ac nisi quidam ex honoratioribus illius loci civibus imperatore suscepto, insectantes eum et maledicta ingerentes, nulloque ordine tumultuantes, repressissent ac depulissent, illumque corona cinctum cum faustis acclamationibus in regiam usque perduxissent, fortasse magnum ex ea seditione malum exstitisset. Inde rumor emanavit, imperatoris dissimulatam iram ludis equestribus in populi ultionem erupturam. Aliquanto post cum certamen equestre ederetur, imperator milites armatos in medium theatrum produxit, sive ut populo bellici congressus imaginem adumbrarent, jucundam et ipsam futuram scilicet, sive terroris inculiendi causa. Ut autem milites gladios strinxerunt, populus qui in theatro erat, illud esse ratus, quod diu hominum sermonibus jactatum esset : cum impetu fugiebat, inter exeundum autem in angustiis multi invicem conculcati perierunt, ac periculum latius vagatum esset, nisi viso imperatore in sua sede immoto, fugere destitissent. Mortuorum vero propinqui suos lugentes, publice imperatorem dicteriis incesserunt ; ob quæ cum se civibus invisum esse sciret, regiam muro cinxit : quo absoluto, relatis ad se clavibus, tum demum id ei quod timebat, evenit, neque ulla excogitatæ munitionis fuit utilitas. Turcis autem, Ungaris

## Variæ lectiones et notæ.

(64) Κατὰ τὸ παλαιὸν ἔθος, Festum quo hæc fiebat processio, indicat Leo Diaconus, lib. IV Hist. ms. : Πρόκεισον δὲ κατὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν, κατὰ τὸ εἰθισμένον, ἔξω τειχῶν, ἐπὶ τὴν καλουμένην Πηγὴν, ποιησαμένου τοῦ βασιλέως· νεὼς δὲ ταύτῃ περικαλλὴς τῇ Θεοτόκῳ δεδόμηται, etc. Istius præterea imperatoriæ προελεύσεως εἰς Πηγὰς meminit Luitprandus in Legatione, cujus apparatum et pompam ita describit ; *His ergo tribus hebdomadibus habuit Nicephorus extra Constantinopolim metastasim id est stationem. in loco qui dicitur* εἰς Πηγὰς, *id est ad Fontes, eodemque me venire præcepit.* Sed an ea sit cujus hic meminit Zonaras, haud omnino constat. Vide nostram *Constantinoplim*, lib. IV, ubi de hoc templo agimus.

scilicet, Thraciam vastantibus, Bulgariæ principi scripsit, ne illos Istrum transire pateretur, et Romanas provincias infestare. Id ille recusavit, *quod imperator ipsi quoque auxilia negasset, cum ab iisdem invaderetur. Nunc autem postquam pacem cum eis facere coactus sit, postulare* 206 *ut fœdus rumpat, et armis sumptis bellum suscipiat, cujus rationem reddere non possit.* Ibi igitur repulsum passus, Calocyrum, Chersonis principis filium, ad Russiæ principem Sphendosthlavum contra Bulgaros concitandum ablegavit. Itussiousigitur exercitus Bulgariæ agros longe lateque populatus, prædam pene innumerabilem abegit, idque sequenti anno æque factum.

A μισεῖσθαι παρὰ τῶν πολιτῶν ἐπιστάμενος, τείχτει περιέζωσε τὰ βασίλεια· ἀλλ' ὅτε τοῦτο ἀπήρτιστο, καὶ οἱ τῶν πολῶν αἱ κλεῖδες ἀπεκομίσθησαν, τότε, ὃν ἐφοβεῖτο φόβον, ἦλθεν αὐτῷ, καὶ οὐδὲν τῆς ἐπινενοημένης αὐτῷ ἀσφαλείας ἀπώνατο. Τῶν δὲ Τούρκων, τῶν Ὀύγγρων δηλαδή, τὰ Θρᾳκῶα λῃζομένων, τῷ Βουλγαρίας ἔγραψεν ἄρχοντι ὁ βασιλεὺς Νικηφόρος μὴ παραχωρεῖν αὐτοῖς διαβαίνειν τὸν Ἴστρον, καὶ τῇ Ῥωμαίων λυμαίνεσθαι. Ὁ δὲ οὐχ ὑπήκουσε, λέγων ὡς Ὅτε καθ' ἡμῶν οὗτοι ἐστράτευον, παρακαλούμενος συμμαχῆσαι ἡμῖν, οὐκ ἠθέλησας. Καὶ νῦν ὅτε βιασθέντες σπονδὰς ἐθέμεθα πρὸς αὐτούς, ἄξιοῖς ἡμᾶς παρασπονδῆσαι, ὅπλα τε κατ' ἐκείνων ἄρασθαι, καὶ κινῆσαι πόλεμον τῶν ἄνωθεν Ῥωμαίοις τὸν Χερσωνιτῶν (65) διεπρεσβεύσατο, ἐξορμῶν κατὰ τῶν Βουλγάρων αὐτόν, διὸ καὶ τὸν υἱὸν τοῦ ἐν Χερσῶνι πρωτεύοντος τὸ Καλόκυρον (66) πρὸς Ῥωσίαν ἐκπέπομφεν. Ἐπιστρατεύει τοίνυν κατὰ Βουλγάρων σύνταγμα Ῥωσικόν, καὶ χώραν αὐτῶν πολλὴν ἐλῃσατο καὶ λείαν οὐκ εὐαρίθμητον ἐκεῖθεν ἀπήλασε, καὶ τῷ ἐπιόντι δ' ἐνιαυτῷ οὐχ ἧττον τῶν προτέρων οἱ Ῥὼς τὰ Βουλγάρων ἐκάκωσαν.

XXVIII. Phoca regnante fuit terræ motus horrendus, qui etsi Constantinopoli plane innoxius, aliis tamen urbibus plurimum nocuit, et mense Maio spirarunt venti, qui fruges peremerunt. Unde fame laboratum, quam Nicephorus in suum lucrum convertit, in granaria congesto frumento, et esurientibus magno vendito, non reputans, se (ut in proverbiis Salomon ait [1]) publicis exsecrationibus obnoxium esse, sed benignitatem potius suam ergo subditos jactans, quod binos medimnos aureo venderet, quamvis exemplum Basilii Macedonis haberet, qui in tali penuria se, non ita olim, magnifice gesserat. Nam cum aliquando de more in Sanctorum Apostolorum ædem iret, et cives quosdam gravitatis aliquid præ se ferentes, mœstos conspexisset: causam tristitiæ quæsivit. Illi responderunt: *Domine, qui non tristes esse possumus, cum mortem nobis instantem videamus, et bini frumenti medimni aureo nummo sint emendi?* Quibus Ille auditis ingemuit, dataque pecunia tristitiam illorum discussit, civiles magistratus exsecratus, quod ab iis de genuria non factus esset certior, ac statim imperatoriis granariis, apertis, duodenos medimnos uno aureo vendi jussit. Ac ille quidem, ut imperatorem decet, egit; hic pro caupone se gessit, qui populo penaria laboranti,

B ΚΗ΄. Γέγονε δὲ (66*) τοῦ Φωκᾶ βασιλεύοντος καὶ κλόνος τῆς γῆς φρικωδέστατος, ἐξ οὗπερ ἡ μὲν Κωνσταντίνου οὐ πάνυ τι πέπονθε, πόλεις δ' ἕτεραι καὶ σφόδρα πεπόνθασιν. Ἔπνευσαν δέ γε ἄνεμοι κατὰ Μαΐου μῆνα, δι' ὧν ἐφθάρησαν οἱ καρποί, καὶ γέγονε λιμὸς ἰσχυρὸς (67), ὃν εἰς οἰκεῖον κέρδος ὁ Νικηφόρος μετήνεγκε, ταμειουλκῶν τὸν σῖτον, καὶ πολλοῦ τοῦτον ἀποδιδόμενος τοῖς λιμώττουσι, μηδὲ φροντίζων, ὅτι δημοκατάρατος ἦν, κατὰ τὸν Σολομῶντα παροιμιαζόμενον, ἀλλ' αὐχῶν μᾶλλον ὡς εὐεργετῶν τὸ ὑπήκοον, ὅτι δύο μεδίμνους ἐπίπρασκε τῷ νομίσματι· καὶ ταῦτα παράδειγμα ἔχων τὸν Μακεδόνα Βασίλειον, οὗπω πάνυ πρώην μεγαλοπρέπειαν πρὸς τοιαύτην ἐνδειξάμενον εὐδειαν. Ἀπῆλθε γάρ ποτε ὁ αὐτοκράτωρ ἐκεῖνος, συνήθη ποιούμενος πρόοδον, εἰς τὸν τῶν Ἁγίων Ἀποστόλων ναόν, καί τινας τῶν τῆς πόλεως ἄνδρας ὑπόσημον δεικνύντας κατάστημα, θεασάμενος σκυθρωπάζοντας, ἤρετο τὴν αἰτίαν τῆς σκυθρωπότητος. Οἱ δὲ, Καὶ πῶς οὐκ ἂν σκυθρωπάζομεν, ἔφασαν, δέσποτα, ἐπηρτημένον ἡμῖν ὁρῶντες τὸν θάνατον, εἰ δή γε δύο μεδίμνους σίτου εἰς νόμισμα χρυσοῦν ἐξωνούμεθα; Τοῦτο ἀκούσας ἐκεῖνος ἀνώμωξε, καὶ τοῖς μὲν χρήμασι τὴν κατήφειαν ἔλυσε, τοῖς δὲ τὰς πολιτικὰς ἐγκεχειρισμένοις ἀρχὰς ἐλυιδορήσατό τε καὶ ἐπηράτο, ὅτι μὴ αὐτὸν τὰ τῆς ἐνδείας ἐδίδαξαν, καὶ εὐθὺς τοὺς βασιλικοὺς σιτῶνας (68) ἀνοι-

[1] Prov. xx, 28.

Variæ lectiones et notæ.

(65) Σφενδοσθλάβου. Cujus meminit Constantinus Purphyrog. *De. Adm. imp.* cap. 9. *Wenceslaum* ita efforunt Græci scriptores.

(66) Καλόκυρον. Is est, ni fallor, Calocyrus patricius cujus meminit Lupus protospatha, sub an. 982.

(66) Γέγονε δὲ, etc. De hoc terræ motu sub Nicephoro Phoca agunt Excerpta quædam historica ex cod. Reg.: Ὅτι ἐπὶ τοῦ Φωκᾶ τοῦ κυρίου Νικηφόρου τοῦ βασιλέως ἔκλειψις ἡλίου περὶ χειμῶνα ἐγένετο· καὶ πάλιν ἐπὶ τοῦ αὐτοῦ σεισμὸς φοβερώτατος· τῷ δὲ σεισμῷ καὶ ὄμβρος ἄμετρος ἐπηκολούθησεν ἐπὶ ὥρας τρεῖς, καὶ πάλιν ὄμβρος τεθολωμένος σύμμικτός τέφρᾳ.

(81) Τὸν ναὸν τοῦ Σωτῆρὸς Χριστοῦ, etc. In qua quidem æde S. Joannis Baptistæ capillos postmodum deposuit, ut narrat Leo Diaconus, lib. x Hist. ms. de Joanne Tzimisce: Ἐνταῦθα ψρουρίῳ προσβάλλει, τῷ τῇ Συρᾷ φωνῇ καλουμένῳ Μεμπετζέ, ὃ καὶ πολέμῳ, καὶ ταῖς παντοδαπαῖς μηχαναῖς παραστησάμενος, τὰ τοῦ Σωτῆρος Χριστοῦ σανδάλια ἐκεῖσε ἀνευρηκὼς, ἀνείληφεν ὥς τι δῶρον οὐράνιον, καὶ τὰς τοῦ σε ασμίου δὲ Προδρόμου τρίχας, τοῦ Κήρυκος· καὶ τὰ μὲν αὖθις ἐν τῷ περιπόστῳ τῆς Θεομήτορος σηκῷ, τῷ κατὰ τὴν ἀνακτορικὴν ἑστίαν δεδομημένῳ ἀπέθετο, ὡς τινα πολύολβον θησαυρόν· τὰς δὲ ἐν τῷ τοῦ Σωτῆρος ναῷ ὃν αὐτὸς ἐκ βάθρων ἀνήγειρεν. Meminit præterea istius ædis a Tzimisce conditæ Michael Psellus, lib. v Hist. ms.: Ὁ δὲ αὐτοκράτωρ λαμπρὸς πάνυ καὶ ὑψηλὸς προὐκάθητο τῆς οὕτω λεγομένης Χαλκῆς φυλακῆς, μετ' αὐτοῦ δὴ τοῦ θείου τεμένους, ὃ δὴ μέγας ἐν βασιλεῦσιν Ἰωάννης ὁ μετὰ Φωκᾶν Νικηφόρον ἐδείματο. False igitur hæc Nicephoro Phocæ ascribunt excerpta Historica ex cod. Reg.: Ὅτι ἐν τῷ Μεμπιτζὲ εὗρεν ὁ βασιλεὺς Νικηφόρος τὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ σανδάλια, καὶ τὰς σεβασμίας τοῦ Προδρόμου τρίχας· καὶ τὰ μὲν ἐν τῷ ναῷ τῶν Βλαχερνῶν κατέθετο· τὰς δὲ ἐν τῇ τῆς Χαλκῆς ναῷ, τῷ παρ' αὐτοῦ ἐκ βάθρων ἀνεγερθέντι. Alia de hac æde observamus in *Constantinopoli Christ.*

(82) Βασιλείῳ. Qui Νέος dicitur Balsamoni ad can. 1 synodi Constantinopolitanæ sub Photio: aliis vero, Πορφυρογέννητος, ad discrimen Basilii Macedonis imp. Versus inscripti Menæis, quæ illius nomen præferunt:

Ἄναξ ὅλης γῆς, ἥλιος τῆς πορφύρας,
Βασίλειος, τὸ θρέμμα τῆς ἀλουργίδος,
Κράτιστος ἀμφοῖν, καὶ τροπαίοις καὶ λόγοις,

Ita etiam πορφυρογέννητος dicitur Michaeli Psello in Synopsi legum sub finem.

ἀλλ' ἀσυμπαθῶς τοὺς ὀφθαλμοὺς ἐξωρύχθησαν· καὶ τοῦτο τέλος αὐτοῖς τῆς εὐτυχίας καὶ τοῦ περὶ τὴν βασιλείαν ἐγένετο ἔρωτος.

V. Sic Romanorum imperium iis restitutum est ad quos hæreditario juro pertinebat, Basilio et Constantino, quorum ille XX, hic XVII ætatis annum agebat. Qui cum imperii insignia gestarent, omnis penes Basilium præsidem erat auctoritas: idque Basilius nondum sibi ipsi fidens tolerabat, cubiculi præposito tamquam præceptori auscultans, seque ad illius reipublicæ tractationem et administrationem conformans, ut et ipse, cum tempus postularet, in militaribus catalogis et civili æquitate tuenda, rationem **216** eumdem sequeretur. Erat enim alacri et excitato ingenio, non dissolutus, et ignavia mancipatus, ut frater. Cum primum autem hi rerum potiti essent, præses matrem eorum ab exsilio revocatam filiis restituit: et quia Bardam Sclerum magistrum militum, et cui omnes Orientales copiæ parebant, suspectum habebat: ea dignitate eripta, Mesopotamiæ ducem designat. Quam ille rem iniquissimo ferens animo, et alioqui regni cupiditate æstuans, ad defectionem incitatus: initio magistratu illo, arcanoque cum multis communicato, propter res fortiter gestas apud milites gratiosissimus, omnes fere dicto audientes habuit, et filio Romano qui in urbe regia degebat, clam per quemdam accersito, statim regnum affectavit, diademate et calceis puniceis sumptis. Imperator salutatus, pecunias studiose conquirit, et Amidæ, quæ et Emet dicitur, et Martyropolis et Miephercim Amerum et Arabes socios asciscit. His secum conjunctis Constantinopolim properat, spe bona elatus, somnio cujusdam monachi virtutis studiosi aucta, qui sibi visus erat mulierem quamdam in sublimi specula sedentem cernere, quæ illi flagellum imperatorium porrigeret. Quod flagellum cum utique iram Dei et Romanorum ex intestinis bellis interitum significaret: Sclerus, pro imperii omine sua cupiditate visionem æstimans, interpretabatur. Fama de tyrannide Scleri in urbem perlata, imperatores quidquid militum restabat contrahentes, ad resistendum se parabant, misso interim Nicomediæ pontifice ad illum, qui etsi multas pacis conditiones haud aspernandas proponeret, nihil tamen impetravit. Nam Sclerus coccineo calceo ostenso, non fieri posse dixit, ut qui eum semel induisset, temere abjiceret. Quo responso accepto, necessitas imperatoribus imposita est bello decertandi, copiarum duce Petro spadone, Phocæ cujus supra quoque facta est mentio, filio. Exercitibus ad Liparam congressis, quæ et Licandus appellatur, imperatorii aliquantisper strenue restiterunt, sed tandem profligantur multis cæsis **217** castrisque direptis. Tzamandus quoque urbs frequentissima Sclero deditionem fecit, e qua magnam pecuniæ vim coegit. Sic imperatorum copiis superatis, multos inde ad se attraxit, opibus et salute illorum jam desperatis, neque obscurri duntaxat milites, sed multi etiam ex illustribus

Ε'. Ἀποκατέστη τὸ τῶν Ῥωμαίων σκῆπτρον τοῖς τούτῳ κατὰ γένος προσήκουσι, τῷ βασιλείῳ καὶ τῷ Κωνσταντίνῳ, ὧν ὁ μὲν εἰκοστὸν ἦνυε τῆς ἡλικίας ἐνιαυτὸν, ὁ δέ γε Κωνσταντῖνος ἑπταικαιδέκατον. Ἀλλ' οὗτοι μὲν τὰ τῆς βασιλείας περιέκειντο σύμβολα, τὴν δ' ἐξουσίαν ὁ πρωτοπρόεδρος Βασίλειος περιέζωστο ἀτεχνῶς. Ἠνείχετο δὲ ὁ βασιλεὺς Βασίλειος μήπω πεποιθὼς ἑαυτῷ, καὶ οἷον παιδοτρίβῃ τῷ παρακαθημένῳ προσεῖχε, καὶ ἑαυτὸν ἐρρύθμιζε πρὸς τὴν ἐκείνου τῶν δημοσίων πραγμάτων μεταχείρισιν καὶ διοίκησιν, ὡς ἂν, καιροῦ καλοῦντος, οὕτω καὶ αὐτὸς τὰ περὶ τοὺς στρατιωτικοὺς καταλόγους, καὶ τὰ τῆς πολιτικῆς εὐνομίας μεταχειρίσηται. Ἦν γὰρ τὸ ἦθος ἐγρηγορὸς καὶ δραστήριος, ἀλλ' οὐκ ἀνειμένος κατὰ τὸν ἀδελφὸν, καὶ περὶ τὸν ἀργὸν βίον ἐσχολακώς. Ἄρτι γοῦν εἰς τοὺς δαίμονας τούτους περιέστη τὸ κράτος, καὶ αὐτίκα ἐν τῆς ὑπεροπίας κατάγει τὴν τούτους τεκοῦσαν ὁ πρόεδρος, καὶ τοῖς υἱοῖς ἀποδίδωσιν. Ὑποπτεύων δὲ τὸν μάγιστρον Βάρδαν τὸν Σκληρὸν στρατηλάτην ὄντα, καὶ πάσας ὑφ' ἑαυτὸν ἔχοντα τὰς ἑῴας δυνάμεις, ἀφαιρεῖται μὲν αὐτοῦ τὴν στρατηλάτου ἀρχὴν, δοῦκα δὲ Μεσοποταμίας αὐτὸν προχειρίζεται. Τοῦτο σφόδρα ἠνίασε τὸν Σκληρὸν, καὶ ἄλλως ἀεὶ τρέφοντα παρ' ἑαυτῷ τῆς βασιλείας τὸν ἔρωτα, πρὸς ἀποστασίαν ἠρέθισε. Καταλαβὼν οὖν τὴν ἀρχὴν εἰς ἣν προεβέβλητο, πολλοῖς ἀνεκάλυψε τὸ ἀπόῤῥητον. Φιλούμενος δὲ διὰ τὰς ἀριστείας ὑπὸ παντὸς τοῦ στρατεύματος, πειθηνίους εἶχε σχεδὸν ἅπαντας. Ὅτι δ' ἦν ἐν τῇ βασιλίδι τῶν πόλεων ὁ παῖς αὐτοῦ Ῥωμανὸς, ἔσπευσε σχεῖν κἀκεῖνον παρ' ἑαυτῷ, καὶ στείλας λάθρα τινὰ ἠδυνήθη καὶ τὸν υἱὸν λαθόντα ὑπαγαγέσθαι, καὶ αὐτίκα τῇ τυραννίδι ἐπικεχείρηκε, ταινίᾳ τε βασιλείῳ τὴν κεφαλὴν ἀναδεῖται, καὶ φοινικοῖς πεδίλοις τοὺς πόδας ὑποδεῖται, καὶ εὐφημεῖται ὡς βασιλεὺς, καὶ χρήματα συλλέξαι ποιεῖται σπουδὴν, καὶ συμμάχους προσειλήφει, τόν τε τῆς Ἀμίδης Ἀμηρᾶν· οὕτω γὰρ τὸ Ἔμετ καλεῖται, καὶ τὸν τῆς Μαρτυροπόλεως (ἡ δὲ Μιεφερκεὶμ ὀνομάζεται), ἀλλὰ μέντοι καὶ Ἄραβας. Τούτου οὖν συμπεριλαβὼν ἠπείγετο πρὸς τὴν Κωνσταντίνου, ἐλπίσι χρησταῖς αἰωρούμενος, ἃς καὶ ἄλλοθεν ἔθαλπε, μᾶλλον μέντοι ἐξ ὀνείρου τινὸς μοναχοῦ ἀρετὴν μετιόντος. Ἔδοξε γὰρ ἐκεῖνον ὁρᾷν τὸν Σκληρὸν γυναικί τινι ἐφ' ὑψηλῆς καθημένῃ περιωπῆς προσελθεῖν, τὴν δὲ μάστιγα αὐτῷ ἐγχειρίσαι βασιλικήν. Ἡ μάστιξ δ' ὡς ἔοικεν, ἦν σύμβολον τῆς θείας ὀργῆς, καὶ τῆς ἐκ τῶν ἐμφυλίων πολέμων τῶν Ῥωμαίων φθορᾶς, ἣν ὁ Σκληρὸς δηλοῦν τὴν βασιλείαν ἐνόμιζε, πρὸς τὴν οἰκείαν ἔφεσιν κρίνων τὸ ὅραμα. Τῆς δὲ περὶ τῆς τυραννίδος τοῦ Σκληροῦ φήμης φθασάσης πρὸς τοὺς κρατοῦντας, ἡτοιμάζετο τὸ περιλειφθὲν στρατιωτικὸν ἀντικαταστῆναι τῷ ἀποστάτῃ. Ἐν τοσούτῳ δὲ στέλλεται πρὸς ἐκεῖνον ὁ Νικομηδείας ἀρχιερεὺς, πρεσβεύσων, καὶ πολλὰ μὲν ἐπαγωγὰ πρὸς εἰρήνην

διελέχθη αὐτῷ, ἀλλ' οὐκ ἔπεισε. Δείξας γὰρ αὐτῷ ὁ Σληρὸς τὸ κοκκοβαφὲς πέδιλον, ἀδύνατον εἶπε τὸν ἅπαξ τοῦτο ὑποδησάμενον ῥᾴδιον ἀποβαλεῖν. Ταύτην τὴν ἀπόκρισιν ὡς ἔγνων οἱ περὶ τὰ βασίλεια, ἐξ ἀνάγκης πρὸς μάχην ὡρμήκεσαν. Ἦν δὲ τῆς βασιλικῆς δυνάμεως στρατοπεδάρχης ὁ ἐκτομίας Πέτρος, ὁ τοῦ Φωκᾶ, οὗ καὶ πρώην ἐμνήσθημεν. Ὡς οὖν ἀλλήλοις ἀντεστρατοπεδεύσαντο τὰ στρατεύματα, περὶ Λίπαραν, ἢ καὶ Λικανδὸν ὀνομάζετο, πρὸς ἄλληλα συνερράγησαν, καὶ ἐπὶ μέν τινα καιρὸν ἀντεῖχον οἱ βασιλικοὶ γενναίως, ἔπειτα τρέπονται, καὶ ἀναιροῦνται πολλοί, καὶ τὸ στρατόπεδον ὑπὸ τοὺς ἐναντίους γενόμενον διαρπάζεται. Εἶτα καὶ τὴν Τζαμανδὸν πολυπληθῆ πόλιν ἐκ προσελεύσεως τῶν οἰκούντων αὐτὴν εἰληφὼς, χρημάτων ἐσμὸν ἐξ αὐτῆς συνηθροίκει. Οὕτω δὲ περιγενόμενος τοῦ στρατεύματος τοῦ βασιλικοῦ, πολλοὺς ἐκ τούτου πρὸς ἑαυτὸν ἐπεσπάσατο, ἀπεγνωκότας ἤδη τὰς σωζούσας ἐλπίδας παρὰ τοῖς βασιλεῦσι, καὶ αὐτῷ προσερρύησαν οὐ τῶν ἀνωνύμων μόνον στρατιωτῶν, ἀλλὰ καὶ τῶν περιωνύμων πολλοί. Ὡς δὲ ταῦτα τῷ παρακοιμωμένῳ ἠγγέλθησαν, στέλλεται αὖθις Λέων ὁ πρωτοβεστιάριος, ἄκρατον ἐξουσίαν ἐμπιστευθείς, καὶ πάντα πράττειν ὅσα καὶ βασιλεῦσιν ἀνεῖται ἄδειαν εἰληφὼς, εἴποι ἄν τις τῇ Λατίνων φωνῇ τὸν ἄνδρα δικτάτορα, καὶ συνελθὼν τῷ στρατοπεδάρχῃ ὁ πρωτοβεστιάριος, ἐπειράθη μὲν ὑποσχέσεσι καὶ τιμαῖς τοὺς περὶ τὸν Σκληρὸν ἐπισπάσασθαι. Ὡς δ' ἀνηνύτοις ἔγνω ἐπιχειρεῖν, παρελάσας νυκτὸς τὸν Σληρὸν, ἐχώρει. Πρός τ' ἐντεῦθεν δέος τοὺς περὶ τὸν Σληρὸν, εἶλε περὶ τῶν φιλτάτων αὐτῶν, καὶ τῶν ἀποστάτην καταλιμπάνοντες, τῷ πρωτοβεστιαρίῳ προσῆεσαν. Κἀκ τούτου δείσας ὁ Σκληρὸς, τὸν μάγιστρον Μιχαὴλ τὸν Βούρτζην προσκεχωρηκότα αὐτῷ, καὶ Ῥωμανὸν πατρίκιον τὸν Ταρωνίτην μετὰ στρατιᾶς ἔπεμψε κατὰ τοῦ πρωτοβεστιαρίου, οἳ προβαλόντες ἐκείνῳ ἡττήθησαν. Ὡς δ' ἐγνώσθη τῷ Σκληρῷ ἡ τῶν πεμσθέντων ἧττα, αὐτὸς σὺν παντὶ τῷ ὑπ' αὐτὸν στρατεύματι κατὰ τοῦ πρωτοβεστιαρίου χωρεῖ, καὶ συρρήγνυται τῇ μετ' αὐτοῦ στρατιᾷ, καὶ νικᾷ, καὶ ὁ μὲν στρατοπεδάρχης Πέτρος ἀνῄρητο, ὁ δὲ πρωτοβεστιάριος ἑαλώκει. Αὕτη ἡ νίκη ἐπὶ μέγα μὲν ἦρε τὰ τοῦ Σκληροῦ, τὰ δὲ τῶν βασιλέων εἰς ἀπόγνωσιν ἤνεγκε, καὶ μᾶλλον ὅτι καὶ ἐθαλασσοκράτει ὁ ἀποστάτης. Στόλον οὖν ὁ παρακοιμώμενος ἑτοιμάσας, ἐκπέμπει κατὰ τοῦ στόλου τοῦ ἀποστάτου, καὶ ναυμαχίας γενομένης, ὁ στόλος ὁ τοῦ Σκληροῦ κατεναυμαχήθη καὶ διεσκέδαστο. Ὡς οὖν ἠρέμει τὰ κατὰ θάλασσαν, τὰ κατὰ τὴν ἤπειρον ὁ παρακοιμώμενος διετίθετο, καὶ τὸν Ἐρωτικὸν εἰς Νίκαιαν ἔπεμψε τῆς Βιθυνίας μητρόπολιν, ταύτην φρουρήσοντα, ἣ προσβαλὼν ὁ Σκληρὸς, ἀπεκρούσθη, καὶ λιμῷ τοὺς ἐν αὐτῇ προδοῦναι ταύτην ἠλπίκει, καὶ μέντοι καὶ χρονοτριβήσας ἐκεῖ, σιτοδείᾳ τοὺς ἔνδον πιέζεσθαι παρεσκεύασεν. Ἔγνω οὖν ὁ Ἐρωτικὸς ἀπάτῃ καταστρατηγῆσαι τὸν ἐναντίον, καὶ τοὺς σιτῶνας ψάμμου ἐπλήρωσε, καὶ τὴν ψάμμον σίτῳ ἐπέχωσεν, ὡς δοκεεῖν τὸν ὄγκον ἅπαντα σῖτον εἶναι.

A ad eum confluxere. Quæ cum præposito cubiculi nuntiata essent. Leo protovestiarius cum summo imperio et auctoritate, suo arbitratu gerendi omnia quæ imperatori licent, mittitur, quam potestatem Latini dictaturam nominant. Is cum stratopedarcha congressus, pollicitationibus et honoribus frustra tentatis militum animis, noctu prætergressus Sclerum invasit. Quare factum est ut milites suis charissimis timentes, Sclero relicto ad illum se conferrent : et Sclerus territus, Michaelem Burzem magistrum suas secutum partes, et Romanum Taronitem patricium cum exercitu, contra protovestiarium mitteret : quibus prælio superatis, ipse cum omnibus copiis eumdem aggressus vicit, virumque cepit, Petra stra-
B topedarcha interfecto. Ea victoria, ut Scleri opes multum auxit, sic imperatorum rem ad desperationem depressit, præsertim cum tyrannus mare quoque teneret. Quamobrem præpositus cubili classe missa, commisso cum Scleri navibus prælio, classem ejus devicit et dissipavit, idemque mari pacato provinciarum susceptæ curæ, Eroticum ad Niceam Bithyniæ metropolim tuendam misit: quam Sclerus vi expugnare frustra conatus, fame subigi per proditionem posse ratus, obsidionem traxit. Eroticus vero dolo circumvenire hostem statuit, illataque in granaria arena et frumento superne injecto, ut totus acervus frumentum videretur, captivis granaria demonstrat semiplena, et Sclero nuntiare jubet, quamvis a fame nihil sibi periculi
C sit, tamen si tuto cum certis hominibus exire liceat, se urbe tradita partes ejus secuturum. Quo nuntio lætatus Sclerus, cum fidem dedisset, ille cum majori civium et militum suorum parte Constantinopolim abiit. Sclerus autem Niceam **218** ingressus, dolo se circumventum esse intellexit. Cubiculi vero præpositus Sclero inde digresso et urbi appropinquante, quamvis animi dubius hæreret, tamen mutata sententia, Phocam Bardam ab exsilio revocatum, et sanctissimo jurejurando adactum, ut unquam regnum affectare, aut consilia contra imperatores inire vellet, magistrum appellat, et reliquiis copiarum præficit, pecuniaque liberaliter suppeditata contra Sclerum mittit. Quo
D illo cognito, tum demum se parem adversarium habiturum ratus, inde digreditur, et circa Amorium pugna commissa superior evadit, profligatis adversariis. Postridie duces exercituum decrevere singulari certamine congredi, dequo summa rerum decernere. Sclerus prior, ut quidam tradunt, clavam in Phocæ caput impegit : at alii, ensem in eum libravit, qui cum ictum declinasset, extremo ense aurem equi ejus resecuit. At Phocas contra Scleri capiti clavam ita illisit, ut oborta vertigine in equi collum prolapsum et cruentatum satellites eriperent, ac destitutum viribus equo depositum, sanguine absterso ad fontem recrearent. Interea ejus equus, dum illi hac cura occupantur, elapsus ejus manibus a quo tenebatur, sine sessore in ca-

stris juba sanguine manante exsultans, effecit ut Scleri exercitus eo agnito (insignis enim erat nomine Ægyptius) ducem occidisse putans, effuse fugeret. Qua occasione Phocas arrepta, suosque cohortatus, fugientes persequitur, multos cædit, multos capit : plures etiam a se invicem conculcati pericrunt. Tum demum Sclerus desperatis rebus cum reliquiis ad Chosroen Babylonium confugit, a quo imperator per legatos petit, ne tyrannum admittat domini sui oppugnatorem : alioqui malum exemplum ipsi fraudi futurum.Cum autem Babylonius cognovisset, eumdem Sclero quoque et militibus ejus afferre litteras illius manu subscriptas, quibus eis impunitas promitteretur, modo cœptis desisterent, seque imperatori 219 submitterent, tam legatos quam Sclerum cum suis in carcerem compegit. Et hic fuit exitus defectionis illius.

Ἔχων οὖν τινὰς ἁλωτοὺς ἐκ τοῦ στρατοπέδου τῶν ἐναντίων, αὐτοῖς τοὺς σιτῶνας ἡμιδεεῖς ὄντας ὑπέδειξε, καὶ δι' αὐτῶν ἐβόησε τῷ Σκληρῷ μὴ δεδιέναι τὴν πολιορκίαν τὴν ἐκ λιμοῦ. Εἰ δέ μοι, ἔφη, πίστεις δοίης, μεθ' ὧν βούλομαι παραχωρῆσαί μοι ἀπελθεῖν, ὑπεκστήσομαί σοι τῆς πόλεως τὰ σὰ φρονῶν. Περιχαρῶς τούτων ἤκουσεν ὁ Σκληρὸς, καὶ πίστεις αὐτῷ παρέσχε, κἀκεῖνος τούς τε πλείους τῆς πόλεως καὶ τοὺς σὺν αὐτῷ στρατιώτας παρειληφὼς, τῆς πόλεως ἔξεισι, καὶ πρὸς τὴν μεγάλην πόλιν ἄπεισι, καὶ ὁ Σκληρὸς εἴσεισιν εἰς τὴν Νίκαιαν, τότε ἔγνω καταστρατηγηθείς. Ὁ δέ γε παρακοιμώμενος, τοῦ Σκληροῦ ἐκεῖθεν ἀπάραντος, καὶ τῇ βασιλευούσῃ τῶν πύλεων πλησιάζοντος, ἀμηχανῶν ἦν. Γνωσιμαχήσας οὖν τὸν Φωκᾶν Βάρδαν ἐκ τῆς ὑπερορίας ἀνεκαλέσατο, καὶ ὅρκοις αὐτὸν φρικώδεσιν ἐνδησάμενος καὶ παλαμναιοτάταις ἀραῖς, μὴ ἄν ποτε τῇ βασιλείᾳ ἐπιθέσθαι, μηδὲ κατὰ τῶν βασιλευόντων βουλεύσασθαι, ταῖς περιλοίποις δυνάμεσι τὸν ἄνδρα ἐφίστησι, μάγιστρόν τε τιμήσας, καὶ χρήματα δαψιλῆ παρασχόμενος, καὶ τὴν κατὰ τοῦ Σκληροῦ μάχην αὐτῷ ἀναθέμενος· ἄπεισιν οὖν ὁ Φωκᾶς. Καὶ ὁ Σκληρὸς δὲ τοῦτο μαθὼν τότ' ἔγνω μέλλων μαχέσασθαι πρὸς ἀνταγωνιστὴν ἀξιόμαχον, καὶ ἄρας ἀπῆει, καὶ περὶ τὸ Ἀμόριον συμπλέκεται τῷ Φωκᾷ, καὶ γίνεται μάχη τῶν στρατευμάτων, καὶ ἦσαν ὑπερτεροῦντες οἱ τοῦ Σκληροῦ, οἱ δὲ περὶ τὸν Φωκᾶν τὰ νῶτα ἐτρέψαντο, καὶ οὕτω μὲν τὰ τῆς μάχης ταύτης συμβέβηκε. Τῇ δ' ἑξῆς οἱ τῶν στρατευμάτων ἐξάρχοντες αὐτοὶ πρὸς ἀλλήλους μαχέσασθαι εἵλοντο, καὶ τὸν ἀγῶνα τὸν ὑπὲρ τοῦ παντὸς ἀναδέξασθαι. Ἐπῆλθον οὖν ἀλλήλοις καὶ πρῶτος ἔφθη παίσας τὸν Φωκᾶν ὁ Σκληρὸς, ὡς μὲν ἔνιοι λέγουσι, κορύνῃ κατὰ τῆς κεφαλῆς, ὡς δ' ἕτεροι, ξίφος ἐπανετείνατο κατ' αὐτοῦ, τοῦ δὲ κλιθέντος πρὸς θάτερον μέρος, καὶ τὴν πληγὴν ἐκκλίναντος, ἔφθασε τὸ τοῦ ξίφους ἄκρον τὸ οὖς ἐκτεμεῖν τοῦ ἵππου τοῦ Φωκᾶ. Ὁ δέ γε Φωκᾶς ἀντέπληξε τὸν Σκληρὸν κορύνῃ κατὰ τῆς κεφαλῆς, καὶ ὁ πληγεὶς σκοτοδινιάσας τῷ τοῦ ἵππου τραχήλῳ ἐπέπεσεν, ὃν οἱ περὶ αὐτὸν κακῶς ἔχοντα θεασάμενοι, καὶ τῷ ἐκ τῆς πληγῆς αἵματι πεφυρμένον περιστάντες συνέσχον, καὶ ἀπήγαγον εἰς πηγὴν, ἀνακτησόμενοί τε λειποψυχοῦντα τὸν ἄνδρα τῷ ὕδατι, καὶ τὸ καταῤῥεῦσαν τοῦ αἵματος ἀποῤῥύψαντες, καὶ τοῦ ἵππου ἐκεῖνον ἀποβιβάσαντες, ἐποίουν τὰ εἰρημένα. Ἐν τούτῳ δ' ὁ ἵππος ὁ τοῦ Σκληροῦ τὸν κατέχοντα ἐκφυγὼν καὶ ἀποσκιρτήσας ἐπιβάτου χωρὶς, ἐκράνεν, ἀνὰ τὸ στρατόπεδον αἵματι τὴν χαίτην διάβροχος. ὃν ἰδόντα τὰ τοῦ Σκληροῦ στρατεύματα (ἐπίσημος γὰρ ἦν ὁ ἵππος, κεκλημένους Λιγύπτιος) καὶ οἰηθέντα πεσεῖν τὸν αὐτῶν ἡγεμόνα, ἀκρατῶς ὡρμήκεσαν πρὸς φυγήν. Κατανοήσας δὲ τὸ γινόμενον ὁ Φωκᾶς, ἔπεισι τοῖς φεύγουσι τοὺς οἰκείους παραθαῤῥύνας, καὶ πολλοὶ μὲν ἀνῄρηντο ἀπὸ τῶν ἀντιπολέμων, πολλοὶ δὲ καὶ ἡλίσκοντο, πλείους δι' ὑπ' ἀλλήλων ἐκτείνοντο συμπατούμενοι. Ἐντεῦθεν ὁ Σκληρὸς ἐξαπορηθεὶς μετὰ τῶν περιλειφθέντων καταφεύγει πρὸς Χοσρόην τὸν Βαβυλώνιον. Καὶ τοῦτο μαθὼν ὁ βασιλεὺς ἔπεμψε πρὸς Χοσρόην, ἀξιῶν, μὴ προσδέξασθαι τὸν τυραννήσαντα τὸν τυραννήσαντα, καὶ κατὰ τοῦ οἰκείου δεσπότου γενόμενον, ἵνα μὴ καὶ καθ' ἑαυτοῦ ὑπόδειγμα δοίη οὐκ ἀγαθόν. Ἤνεγκε δ' ὁ πεμφθεὶς καὶ πρὸς τὸν Σκληρὸν καὶ τοὺς μετ' ἐκείνου ἔγγραφα, τῇ βασιλικῇ βεβαιωθέντα χειρὶ, ἀμνηστείαν αὐτοῖς τῶν πεπραγμένων βραβεύοντα, εἰ ἀποσταῖεν τῆς ἐγχειρήσεως, καὶ τῷ βασιλεῖ ὑποκύψαιεν. Ταῦτα τὰ πρὸς τὸν Σκληρὸν καὶ τοὺς μετ' ἐκείνου βασίλεια γράμματα ὡς ἔγνω ὁ Βαβυλώνιος, αὐτόν τε τὴν πρεσβείαν πληροῦντα, καὶ τὸν Σκληρὸν, καὶ τοὺς μετ' αὐτοῦ στρατιώτας κατείργνυσιν. Ἐνταῦθα μὲν οὖν τότε τὰ τῆς ἀποστασίας ἔληξε τῷ Σκληρῷ.

VI. Antonius porro patriarcha, cum sacerdotio renuntiasset, quod per sex annos tenuerat, ac paulo post obiisset, et Ecclesia annis IV cum dimidio vacasset, Nicolaus Chrysoberges est designatus Interea Bulgari cognito Tzimiscæ interitu, tumultuantur, et quatuor fratribus Davidi, Mosi, Aaroni et Samueli deferunt imperium, qui Comitopoli appellabantur, quod filii essent viri apud illos illustris, et ex iis quos comites vocant. Nam stirps regia defecerat, uno Petri filio Romano superstite, qui eunuchus erat. Ex iis quatuor David statim mortem obiit, Moses in oppugnatione Serræ la-

ζ'. Ἀντωνίου δὲ τοῦ πατριάρχου τὴν ἱερωσύνην ἀπειπαμένου, ἣν ἐπὶ ἔτη ἤνυσεν ἓξ, καὶ μετὰ μικρὸν τελευτήσαντος, τέτσαρσι πρὸς τῷ ἡμίσει ἐνιαυτοὺς ἀρχιερέως ἡ Ἐκκλησία ἐχήρευσεν, εἶτα ὁ Χρυσοβέργης Νικόλαος προσεκειρίστο. Τὰ δὲ τῶν Βουλγάρων αὖθις κεκίνητο· ὡς γὰρ ἡ τοῦ Τζιμισκῆ κατήγγελτο τελευτὴ, τέσσαρσιν ἀδελφοῖς ἀνατιθέασι τὴν σφετέραν ἀρχὴν, Δαβὶδ, Μωσῆ, Ἀαρών τε καὶ Σαμουὴλ, οἱ Κομητόπωλοι ὠνομάζοντο, ὅτι υἱοὶ γεγόνασιν ἑνὸς τῶν παρ' αὐτοῖς ἐπισήμων, καὶ λεγομένων κομήτων. Οἱ γὰρ ἐκ τοῦ βασιλείου γένους σφίσιν ἐπιλελοίπασι, μόνου περιλειφθέντος ἑνὸς τῶν

παίδων τοῦ Πέτρου, φημὶ δὴ τὰ τοῦ Ῥωμανοῦ, ὅστις ἐκτομίας ἦν, τῶν δὲ τεσσάρων συγγόνων τῶν Κομητοπούλων, ὁ μὲν Δαβὶδ τάχιστα τὴν ζωὴν ἐξεμέτρησεν, ὁ δέ γε Μωϋσῆς τὰς Σέρβας πολιορκῶν, λίθῳ βάλλεται, καὶ θνήσκει εὐθύς. Τὸν δὲ Ἀαρὼν παγγενῆ τοῦ βίου ἐξήγαγεν ὁ ἀδελφὸς Σαμουήλ, ἢ τὴν ἀρχὴν ἑαυτῷ μόνῳ περιποιούμενον, ἢ τὰ Ῥωμαίων αἱρούμενον (λέγεται γὰρ καὶ ἀμφότερα) ἑνὸς μόνου τῶν παίδων ἐκείνου περισωθέντος, ὃς Σφενδόσθλαβος καὶ Ἰωάννης διωνύμως ἐκέκλητο. Καὶ ἡ τῆς Βουλγαρίας ἀρχὴ εἰς μόνον περιέστη τὸν Σαμουήλ, ὃς, τῶν Ῥωμαϊκῶν στρατευμάτων τοῖς ἐμφυλίοις πολέμοις ἀσχολουμένων, ἄδειαν εὑρηκὼς, τὰ τῆς Ῥωμαϊκῆς ἡγεμονίας Ἑσπέρια ξύμπαντα περιῄει, οὐ λῃζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα καὶ τὰς πόλεις περιποιούμενος ἑαυτῷ. Ἐπεὶ δὲ, ὡς ἱστόρηται, τὴν τοῦ Σκληροῦ τυραννίδα ὁ βασιλεὺς ἀπεσείσατο, ὤργα πρὸς ἄμυναν τοῦ βορβάρου, καὶ δι' ἑαυτοῦ ἔδοξεν αὐτῷ τὴν ἐκστρατείαν ποιήσασθαι. Ἔξεισιν οὖν μήτε τῷ μαγίστρῳ Ἤρδᾳ τῷ Φωκᾷ, καίτοι δομεστίκῳ ὄντι τῶν σχολῶν τῆς Ἀνατολῆς, περὶ τῆς πράξεως κοινωσάμενος, μήτε μὴν ἑτέρῳ τῶν Ἑῴων στραταρχούντων δυνάμεων. Ἤδη δὲ πρὸς τὰ Βουλγάρων εἴπιων, τὸν μάγιστρον Λέοντα τὸν Μελισσηνὸν κατόπιν ἐκέλευσεν εἶναι, καὶ τὰς δυσχωρίας τηρεῖν· αὐτὸς δ' εἰσελθὼν τῇ πολιορκίᾳ τῆς Σαρδικῆς (αὕτη δ' ἐστὶν ἡ Τριαδίτζα (83) ἐπιχειρεῖν ἡτοιμάζετο. Τῶν δυτικῶν δὲ ταγμάτων δομέστικος ὢν ὁ Κοντοστέφανος, καὶ λογισάμενος, ὡς εἰ εὐτυχηθείη τὰ τῆς στρατείας τῷ βασιλεῖ, οὐκ ἄν ποτε παύσαιτο δι' ἑαυτοῦ τοὺς πολέμους διατιθέμενος, καὶ οὔτ' αὐτὸς οὔθ' οἱ λοιποὶ στρατάρχαι ἔτι αὐτῷ λόγου πολλοῦ νομισθήσονται ἄξιοι, σφῆλαί οἱ διεμελέτησε τὴν ἐπιχείρησιν, καὶ τὴν ὁρμὴν ἀνακόψαι. Προσελθὼν οὖν φησὶ τὸν Μελισσηνὸν τυραννίδι ἐπιχειρεῖν, καὶ ἀπιέναι σὺν ταχυτῆτι πρὸς τὸ Βυζάντιον, τὴν βασιλείαν καθίξοντα, καὶ ἧξίου μὴ μέλλειν, ἀναζευγνύειν δὲ καὶ μὴ ὑπερτίθεσθαι. Τοῦτο τὸν βασιλέα ἐτάραξε, καὶ ἐπάνοδον ἰσήμανε τῷ λαῷ. Ὁ δέ γε Σαμουὴλ ταῖς τῶν ὀρέων ἐμφιλοχωρῶν κορυφαῖς (οὐ γὰρ ἐθάρρει κατασυστάδην μαχέσασθαι) καὶ τὴν ἀθρόαν ἀναζυγὴν ἰδὼν, δειλίαν ἔκρινε τὸ πραττόμενον, καὶ ἔπεισι τοῖς Ῥωμαίοις, καὶ τῷ ἀνελπίστῳ ἅπαντας κατεθρόησε, καὶ εἰς φυγὴν ἔτρεψε, καὶ τῆς τε παρεμβολῆς ἐκράτησε, καὶ τῆς σκηνῆς τῆς βασιλικῆς, καὶ τῶν παρασήμων τῆς βασιλείας. Ὁ δὲ βασιλεὺς μόλις εἰς Φιλιππούπολιν διασέσωστο, κἀκεῖ τὸν Μελισσηνὸν εὑρηκὼς, κατὰ τοῦ Κοντοστεφάνου ἐξώργιστο, καὶ ὕβρεις κατέχες τοῦ ἀνδρός. Ὁ δὲ δυσαναστέτων ἐτραχύνετο, καὶ ἀναζέσας ὁ βασιλεὺς τῷ θυμῷ ἐνέθορέ τε τοῦ θρόνου, καὶ τῆς κόμης τοῦ Κοντοστεφάνου δραξάμενος καὶ τοῦ πώγωνος προσέρρηξε τὸν ἄνδρα τῇ γῇ. Ἐντεῦθεν οἱ τῶν δυνάμεων τῶν Ῥωμαϊκῶν πρωτεξάρχοντες μη-

A pide ictus moritur statim. Fratrem Aaronem cum omni familia, uno illius filio conservato, qui duplici nomine Joannes Sphandosthlavus dicebatur, Samuel interficit, sive quod summam rerum sibi soli vendicaret, sive quod Romanis studere visus erat : nam utrumque fertur. Is igitur Samuel Bulgarorum principatum solus adeptus dum Romani bellis civilibus distinentur, Occidentales eorum provincias omnes impune circuit : nec populatur tantum, sed et regiones et urbes suæ ditionis facit. Qua de causa imperator, depulsa Scleri tyrannide, ulciscendi barbari cupiditate flagrans, suis auspiciis bellum ei inferre statuit. Egreditur igitur consilio suo, neque cum magistro Barda, Orientalium legionum domestico, neque cum ullo alio ducum Orientalium communicato. Bulgarorum fines jam B ingressus, magistro Leone Melisseno pone sequi jusso, ad locorum angustias tutandas : ipse Sardicam, quæ et Triaditza dicitur, obsidere instituit. Verum Occidentalium legionum domesticus Contostephanus, cogitans re bene gesta imperatorem nunquam non suopte ductu atque auspiciis bella administraturum, se cæterisque ducibus parvi æstimatis : operam dedit, ut conatus illius labefactaret, atque impetum retardaret. Accedit igitur, et Melissenum tyrannidem affectantem festinanter ire Byzantium ad regnum occupandum ait, non cunctandum esse monens, sed citra moram reducendum exercitum. Id imperatorem ita perturbavit, ut exercitui reditum denuntiaret. **220** At Samuel cacumina montium insidens (neque enim acie decernere audebat) subito discessu viso, Romanos C aggreditur, quos metu illud facere arbitrabatur, et inexspectata impressione in fugam compellit, nec castris tantum, sed et tabernaculo, atque insignibus imperatoris politur, qui quidem vix Philippopolium evasit : ubi cum Melissenum invenisset, Contostephanum iratus contumeliosis dictis insectatur, quæ ille iniquo animo ferens exasperatur, effervescente bile solio exsiliens, Contostephanum coma et barba prehensum terræ illidit. Ex hoc Romanarum legionum principes imperatori irati, Phocas quod spe frustraretur et res suæ, ut proverbio dicitur, Mandraboli more procederent : alii, quod se contemni putabant, non communicatis consiliis : alii, aliis de causis in Char- D siano congressi, Phocam Bardam diademate ornatum imperatorem appellant, defectione, ut ipsi putabant, probe administrata. Sclerus autem qui Babylone custodiebatur, præter spem custodia educitur. Nam Persarum imperio a Sarracenis everso, vir quidam Persa, nomine Inargus, verbis concitat populares, suadens ut rupto servitutis jugo arma contra Sarracenos se duce sumant Chosroes porro quamvis sæpe cum illis congres-

## Variæ lectiones et notæ.

(83) Αὕτη δ' ἐστὶν ἡ Τριαδίτζα. Leo Diaconus, lib. x Hist. nondum editæ : Κατὰ τὴν Σαρδικὴν ἐπεχωρίασεν, ἣν καὶ Τραλίτζαν ἡ Σκυθικὴ συνήθεια κέκληκεν. Infra Τριαδίτζαν vocat.

sus, tamen nunquam non discessit inferior, desperataque victoria ad Romanos qui in custodiis erant confugit: quibus carcere eductis, cum Sclero de ratione gerendi belli agit, petita venia malæ tractationis, qui principio bello recusato, tandem illo urgente annuit: sed ea conditione, ut solos Romanos in aciem educat. Carceribus igitur perquisitis, ad tria millia Romanorum sunt inventa, et arma eis data, qui cum Scleri ductu et auspiciis Persas vicissent, nec ipsi, nec ille ad Chosroen redeundum esse statuerunt, veriti ne denuo a Barbaro in carcerem compingerentur, præsertim tanto virtutis suæ specimine edito. At Chosroes dum in fugam intenti sunt, magnam turbam ad eos persequendos mittit: qui etsi numero longe superiores, commisso prælio, pauciores evaserunt iis quos persequebantur, cæteris ibi Romanorum manibus interfectis.

A νιῶντες τῷ βασιλεῖ, ὁ μὲν Φωκᾶς ὅτι αὐτῷ αἱ ἐλπίδες ὑπέρρεον, καὶ τὸ τῆς παροιμίας, ἐπὶ τὰ Μανδραβόλου (84) ἐχώρουν· οἱ δὲ ὅτι ὑπερηφάνως αὐτοῖς προσεφέρετο, καὶ οὐκ ἐκοινώνει σφίσι τῶν βουλευμάτων, οἱ δὲ καὶ δι' ἑτεράττα, ἐν τῷ Χαρσιανῷ συναθροίζονται, καὶ τῷ Φωκᾷ Βάρδᾳ διάδημα περιέθεντο, καὶ τῆς βασιλείας ἠξίωσαν, καὶ ὁ μὲν τὸ τῆς ἀποστασίας, ὡς αὐτοῖς ἐδόκει, οὐ διετίθεντο. Ὁ δέ γε Σκληρὸς ἐν Βαβυλῶνι φρουρούμενος, ἀνελπίστως ἐξάγεται τῆς φρουρᾶς. Τῆς γὰρ τῶν Περσῶν ἀρχῆς καταλυθείσης ὑπὸ τῶν Σαρακηνῶν ἀνήρ τις Πέρσης, Ἴναργος ὄνομα, λόγοις παρακινήσας τὸ Περσικὸν, πείθει ἀποστατῆσαι τῆς τῶν Σαρακηνῶν δουλείας, καὶ ὅπλα ἄρασθαι κατ' αὐτῶν, αὐτοῦ τοῦ Ἰνάργου στρατηγοῦντος αὐτῶν. Πολλάκις μὲν οὖν ὁ Χοσρόης τοῖς Πέρσαις ἀντηγωνίσατο, τοσαυτάκις δ' ἡττήθη, ὑσάκις σφίσι προσέμιξε, καὶ ἀπογνοὺς πρὸς τοὺς ἐμφρούρους καταφεύγει Ῥωμαίους, καὶ ἀνίησι μὲν αὐτοὺς τῆς εἱρκτῆς, διαλέγεται δὲ τῷ Σκληρῷ περὶ τοῦ πολέμου, καὶ μὴ μνησικακῆσαι τῆς κακώσεως αὐτῷ ἀξιοῖ. Ὁ δὲ πρότερον μὲν παρητεῖτο τὸν πόλεμον, εἶτ' ἐγκειμένου τοῦ Βαβυλωνίου, κατανεύει μὲν, σὺν μόνοις δὲ τοῖς Ῥωμαίοις ὑπέσχετο τὸν πόλεμον ὑπελθεῖν. Ἐρευνῶντο τοίνυν τὰ δεσμωτήρια, καὶ ὅσοι εὑρηντο ἐν αὐτοῖς Ῥωμαῖοι, ἐξήγοντο καὶ ὡπλίζοντο, καὶ ὡσεὶ τρισχίλιοι συνηθροίσθησαν, οὓς παρειληφὼς ὁ Σκληρὸς ἐχώρησε κατὰ τῶν Περσῶν, καὶ συμβαλὼν νικᾷ· ἀναζεῦξαι δὲ πρὸς τὸν Χοσρόην οὐκέτ' ἔκρινεν οὔτ' αὐτὸς οὔθ' οἱ μετ αὐτοῦ. Ἐδεδοίκεσαν γὰρ μὴ καὶ αὖθις αὐτοὺς καθείρξει ὁ βάρβαρος, καὶ μᾶλλον ὅτι ἐν πείρᾳ γέγονε τῆς αὐτῶν γενναιότητος. Εἶχοντο γοῦν τῆς φυγῆς, καὶ ὁ Χοσρόης πλῆθος εἰς αὐτῶν ἐπιδίωξιν ἔστειλε, καὶ οἱ σταλέντες κατειληφότες τοὺς φεύγοντας, ἐκείνων ὑπάρχοντες πολλαπλάσιοι, μείους τῶν φευγόντων ἀποδρᾶναι δεδύνηντο, τῶν ἄλλων ἐκεῖ πεσόντων, καὶ Ῥωμαϊκαῖς δαμέντων χερσίν.

VII. Sclerus igitur cum suis Romanorum fines ingressus, ad Phocam **221** se confert, quem regnum speculare ac tyrannidem jam affectasse cognorat, et belli et imperiis socius futurus. Ille societatem amplexus, si votorum compotes fierent, sibi urbem imperatoriam et plurimum gentium ac provinciarum imperium vindicat: Sclero Antiochiam, Cœlesyriam, Phœniciam, Palæstinam, Mesopotamiam et Ægyptum attribuit, eaque pacta jurejurando sancit. Quo Sclerus fretus, cum ad illum se contulisset, ac jam intra cassos esset, primum habitu regio privatur, deinde in carcerem conjecto custodia adhibetur: et copiis illius ascitis, Phocas tyrannidem suam firmat. Enimvero Sclerus priusquam ab illo comprehenderetur, ut si res male cessisset, receptum aliquem haberet ac spem salutis, curarat ut filius suus Romanus, clam arrepta fuga, ad imperatorem deficeret, a quo cum gaudio exceptus est, et statim magister designatus, Phocas autem Delphina patricio cum parte copiarum Chrysopolim, quæ est e regione urbis regiæ, misso, ipse cum reliquo exercitu Abydum proficiscitur. Imperato vero Delphinam ad Chrysopolim castrametatum, subito cum Russico exercitu adortus (nam cum Uladimero ducem eorum, sorore Anna ducta, affinitatem junxerat, atque auxilia inde accersierat), hostibus facile superatis,

Γ΄. Ὁ μὲν οὖν Σκληρὸς καὶ οἱ σὺν αὐτῷ εἰς τὰ Ῥωμαίων ἐπανεληλύθεσαν ὅρια. Μαθὼν δὲ καὶ τὸν Φωκᾶν ἤδη βασιλεύοντα καὶ τυραννίδος ἀρξάμενον, ἀπονενεύκει πρὸς τὸν Φωκᾶν, κοινωνὸς ἀξιῶν εἶναι καὶ τοῦ πολέμου καὶ τῆς βασιλείας αὐτῆς. Ὁ δὲ τὴν κοινοπραγίαν ἐδέξατο, καὶ εἰ τῶν ἐφέσεων τύχοιεν, ἑαυτῷ μὲν τὴν βασιλίδα τῶν πόλεων ἀπένειμε καὶ τῶν πλειόνων ἐθνῶν καὶ χωρῶν τὸ κράτος· τῷ δὲ Σκληρῷ προσεκλήρου τὴν Ἀντιόχειαν, τήν τε Κοίλην Συρίαν, καὶ Φοινίκην, καὶ Παλαιστίνην, καὶ Μεσοποταμίαν, καὶ Αἴγυπτον, καὶ τὰς συνθήκας ὅρκοις καθιερῶν ἐμπεπέδωκεν. Ἐπὶ τούτοις τεθαρρηκὼς ὁ Σκληρὸς, πρύσεισι τῷ Φωκᾷ. Ὁ δ' ἐντὸς ἀρκύων τοῦτον λαβὼν, ἀφαιρεῖται μὲν αὐτοῦ τὸ σχῆμα δὴ τὸ βασίλειον, καθείργνυσι δὲ, καὶ φρουρὰν αὐτῷ περιίστησιν. Ὑφ' ἑαυτὸν δὲ καὶ τὴν σὺν ἐκείνῳ στρατιὰν ποιησάμενος, τοῦ τυραννεύειν εἶχετο κρατιστέρου. Ὁ μέντοι Σκληρὸς, προμηθευόμενος ἑαυτῷ πρὸς τὸ μέλλον ἐξ ἀποτυχίας σωτηρίαν τινὰ, πρὸ τοῦ κατασχεθῆναι πρὸς τοῦ Φωκᾶ, τὸν υἱὸν Ῥωμανὸν λάθρα φυγεῖν παρεσκεύασεν, ὡς αὐτομολοῦντο τῷ βασιλεῖ, ὃς καὶ περιχαρῶς παρὰ τοῦ κρατοῦντος ἐδέχθη, καὶ μάγιστρος ἐτιμήθη εὐθύς. Ὁ Φωκᾶς δὲ, ἀπόμοιράν τινα τῆς στρατιᾶς ὑπὸ τὸν πατρίκιον τάξας τὸν Δελφινᾶν, εἰς τὴν ἀντικρὺ τῆς βασιλίδος ἐκπέμπει Χρυσόπολιν, αὐτὸς δὲ σὺν τῇ λοιπῇ δυνάμει ἀφίκετο πρὸς τὴν Ἄβυδον. Τῷ μέντοι Δελφινᾷ

## Variæ lectiones et notæ.

(84) Ἐπὶ τὰ Μανδραβόλου. Vide Apostolium, centuria 8, n. 95, et Maussacum ad Harpocrationem, p. 148.

ἐστρατοπεδευκότι κατὰ Χρυσόπολιν αἰφνίδιον ἐπῆλθεν ὁ βασιλεὺς μετὰ λαοῦ Ῥωσικοῦ (κῆδος γὰρ πρὸς Βλαδιμηρὸν τὸν ἄρχοντα τούτων ἐπὶ Ἄννῃ τῇ ἀδελφῇ αὐτοῦ θέμενος, συμμαχικὸν ἐκεῖθεν ἐδέξατο), καὶ ῥᾳον τῶν ἐναντίων ἐκράτησε, καὶ αὐτὸν τὸν Δελφινᾶν χειρωσάμενος ἀνεσκολόπισεν. Εἶτα πρὸς τὴν Ἄβυδον ἅπεισι μετὰ τοῦ ἀδελφοῦ Κωνσταντίνου· καὶ ἤδη ἀντιμέτωπα ἔστησαν τὰ ἐναντία στρατεύματα, καὶ τοῦ μὲν οἰκείου προετέτακτο ὁ Ψωκᾶς, τὸ δ' ἀντίμαχον ὁ βασιλεὺς Βασίλειος ἔφιππος περιιὼν παρεθάῤῥυνεν, ὃν ὁ Ψωκᾶς θεασάμενος, κατ' αὐτοῦ τὸν ἵππον ἐλαύνει, ὅλην ἐκείνῳ τὴν ἡνίαν ἐνδεδιωκὼς· κρίνας ὡς, εἰ ἐκεῖνον καταβαλεῖ, ἔσεται τὸν ἀγῶνα νενικηκώς. Ἀλλ' οὔπω τῶν οἰκείων προεληλύθει πολύ, καὶ οἱ μὲν αὐτὸν ἐκκυλισθῆναι τοῦ ἵππου φασίν, οἱ δὲ εἴς τινα λόφον ἐκκλῖναι, καὶ ἀποβάντα τοῦ ἵππου ἐκταθῆναι κατὰ τῆς γῆς, καὶ εὐθὺς αὐτὸν τὸ πνεῦμα λιπεῖν. Οἱ μὲν οὖν πληγῆναι παρά του καιρίαν τὸν ἄνδρα ἔλεγον. Καὶ ὁ βασιλεὺς δὲ Κωνσταντῖνος ἑαυτῷ τὴν ἐκείνου ἀναίρεσιν ἐπεφήμιζε· τοῦτο δ' ἦν λόγος ἄλλως, οὐδὲ γὰρ τετρωμένον αὐτοῦ τὸ σῶμα εὑρητο μηδαμῆ. Οἱ δὲ φαρμάκῳ δηλητηρίῳ ἐδόξαζον κατεργασθῆναι αὐτόν, ὃ καὶ μᾶλλον ἔδοξε πιθανώτερον. Τὸ μέντοι φάρμακον ἡτοιμάσατο μὲν ὁ Βασίλειος, προσέφερε δὲ τῷ Ψωκᾷ ὁ τούτῳ οἰνοχοεύων, παρὰ τοῦ βασιλέως ὑποκλαπείς. Πεσόντος δὲ τοῦ Βάρδα, τὸ μετ' αὐτοῦ στράτευμα διεσκέδαστο, καὶ οἱ μὲν ἐκτείνοντο καταλαμβανόμενοι, οἱ δ' ἐζωγροῦντο, καὶ συσχεθέντες κατὰ τὸ δόξαν τῷ βασιλεῖ ἐκολάσθησαν. Ὁ δὲ ἀγριώτερος ἦν ἢ τὸ πρότερον· σοβαρός τε γὰρ ἐγεγόνει, καὶ τὸ ἦθος ὑποκαθήμενος, καὶ πάντας ὑπώπτευε, καὶ τὴν ὀργὴν ἐτύγχανεν ἀπαραίτητος, καὶ οὐ τοῖς ἄλλοις μόνον τὸ σοβαρὸν ἐπεδείκνυτο, ἀλλὰ μὴν καὶ τῷ παρακοιμωμένῳ αὐτῷ, ἤχθετό τε τῷ ἀνδρὶ, καὶ εἰς ἑαυτὸν ἔσπευδε μετενεγκεῖν τὴν τῶν πραγμάτων διοίκησιν, καὶ μέντοι καὶ μεθίστησι τῆς τῶν κοινῶν οἰκονομίας αὐτὸν, οἷκοι μένειν ἀπρόϊτον ἐπιστείλας, αὐτῷ, εἶτα μετὰ μικρὸν ὑπερόριον τίθησι, καὶ τῶν ἐκείνῳ πεπραγμένων ἕκαστον ἀνακρίνων, ἀπραξίαν τῶν πλειόνων κατεψηφίσατο, καὶ τοῦ παρ' ἐκείνῳ δομηθέντος σεμνείου (85) τὰ πλείω ἀφείλετο, καὶ οὐκ ἀγρῶν ἥψατο μόνον ἢ χωρίων καὶ οἰκιῶν, ἀλλὰ καὶ ἀναθημάτων τε καὶ πλακῶν, καὶ κιόνων πολυτελῶν. Ὅθεν ἐκεῖνος, διὰ ταῦτα νέφει περισχεθεὶς ἀθυμίας, παρεῖτο τὰ μέλη, καὶ ἔμπνους ὢπτο νεκρὸς, καὶ βραχύ τι διαλιπών, οἰκτρῶς τὸν βίον ἐξέλιπεν. Ὁ δὲ τότε πρῶτον γέγονεν αὐτοκράτωρ ὡς ἀληθῶς, καὶ γνοὺς πηλίκων δεῖται φροντίδων ἡ τῆς βασιλείας διοίκησις, τῆς τε

A ipsum Delphinam captum palo affixit. Deinde Abydum cum fratre Constantino proficiscitur. Cum exercitus utrique in procinctu starent, et Phocas suas copias antecedens, Basilium equo circumvectum legiones cohortari vidisset, totis habenis laxatis, equo concitato, in illum fertur, eo prostrato se toto discrimine fore defunctum ratus: sed antequam suos multum antecessisset, alii eum equo devolutum ferunt, alii cum in tumulum quemdam declinasset, equoque descendisset, humi extentum statim exspirasse: alii a quodam lethali vulnere affectum esse. Constantinus quidem imperator cædem ejus sibi arrogabat, falso utique, cum ejus cadaver nusquam vulneratum fuerit: alii, quod quidem probabilius est, pulavere, loxicum ei a Basilio præparatum, a pincerna corrupto largitionibus imperatoriis fuisse propinatum. Barda strato, illius exercitus dissipatus est, aliis cæsis, aliis captis, in quos imperator suo arbitratu 222 animadvertit, mutatus ab illo qui dudum fuerat, et factus arrogans, demisso ingenio, suspicax in omnes, iracundia inexorabili: nec in alios duntaxat, sed in ipsum etiam præpositum cubiculi talem se præbuit. Quem cum odisset, atque ipse rerum administrationem capessere vellet, tum a reipublicæ negotiis removit, tum domo egredi vetuit, nec multo post relegavit, tum actis ejus omnibus perquisitis, pleraque rescidit, tum monasterium ab eo exstructum maxima ex parte spoliavit, nec agros duntaxat aut fundos invasit et ædes, sed etiam donaria, tabulas, columnas pretiosas. Quas ille ob res animi ægritudine oppressus, membrisque resolutis, nihil aliud nisi spirans cadaver, brevi miserabiliter est exstinctus. Basilius vero tum demum vere imperator factus, cum intellexisset, quantam solliciludinem regni administratio postularet, delicias regias sprevit, splendidis vestibus abstinuit, omnemque suavitatem repudiavit: cum prius haud ita vixisset, sed et amoribus indulsisset, commessationibus et voluptatibus deditus, regioque luxu delectatus: et omni auctoritate sibi vindicata, fratri nihil nisi nomen et colorem insignem impertiit, custodia illi quidem attributa, cæterum exigua et non magnifica. Quæ ille, ut homo remissioris ac mollioris ingenii et voluptarius, venationibus et æqualium suorum consuetudine gaudens, æquo ferebat animo, neque fratri adversabatur. Ac illorum hic status erat. Sclerus autem, Barda mortuo, vinculis solutus, a

B

C

D

## Variæ lectiones et notæ.

(85) Καὶ τοῦ παρ' ἐκείνῳ δομηθέντος σεμνείου, etc. Istius monasterii meminit Michael Psellus, lib. I Hist. ms. ubi de eodem Basilio: Καὶ πάντα τρόπον ὁπόσα εἰς κάκωσιν ἐκείνῳ καὶ συμφορὰν ἐμηχανᾶτο ποιεῖν· ἀμέλει καὶ ἣν ἐκεῖνος ἐδείματο λαμπροτάτην μονὴν, Βασιλείῳ τῷ πάνυ ἀναθέμενος, ἐπώνυμον τῆς ἑαυτοῦ κλήσεως, μεγαλοπρεπῶς μὲν κατεσκευασμένην, καὶ πολλῇ δαπάνῃ χειρὸς τὸ ποικίλον μετὰ τοῦ καλοῦ ἔχουσαν, ἀφθόνοις δὲ χορηγίαις τὸ πλέον τοῦ αὐταρκοῦς ἀποκλη- ρωσαμένην, ἐβούλετο μὲν ἐκ θεμελίων καθαιρῆσειν τὸ δὲ τῆς πράξεως ἀναιδὲς εὐλαβούμενος, τὸ μὲν ἐκεῖθεν ἀφῄρει, τὸ δὲ κατασείει, τὰ ἔπιπλα, τὰς ὑφηρμοσμένας λίθους· τὸ δ' ἄλλο τι ποιῶν τοιουτότροπον, οὐκ ἀνίει, ἄχρις οὗ φροντιστήριον εἰ δεῖ χαριεντισάμενον εἰπεῖν, τὸ μοναστήριον δέδρακε, διὰ φροντίδος τιθεμένων τῶν ἐν αὐτῷ, ὅπως ἂν ἑαυτοῖς τὰ ἀναγκαῖα πορίσαιτο. Atque illud est monasterium S. Basilii, de quo egimus in nostra *Constantinopoli*.

priore instituto non recedebat, regnum propere affectaturus. Sed ab imperator per litteras monitus, ut tandem omissa desperatione, continentium bellorum auctor esse desineret, neque terram sanguine polluceret, eoque Christianorum : cum et senectute jam affligeretur, et spem non optimam foveret, per pactiones ad illum se confert : qui cum in regio tabernaculo sedens Scelerum peditem accedere videret, utrinque suffultum, cum ob senium, tum ob molem corporis (grandis enim erat) celebratum illud dixisse fertur : *Quem timueram, is ad me manu ducitur*. Alii Scelerum in illo accessu ad imperatorem visum amisisse ferunt, eaque de causa ductoribus fuisse usum. Cum prope tabernaculum venisset, imperator **223** animadversis puniceis in eo calceis (nam cætera insignia regia deposuerat, calceis solis sive per oblivionem, sive per incogitantiam retentis) statim avertit oculos, neque cum eo nisi habitu privati colloqui sustinuit. Cum igitur ante tabernaculum invidiosos illos calceos abjecisset, ingresso imperator assurrexit, porrectaque dextera, collocutus, et eadem uterque mensa usus est, atque ex eodem calice biberunt. Hoc modo sopita Scleri tyrannide, ipse curopalata est designatus, et quem quisque adjutorum ejus dignitatis et potestatis gradum, quasve possessiones ab illo regnante acceperat, ea retinere licuit. Imperator curis defectionum levatus, in Thraciam abiit, et Thessalonicam accessit, ut celebri martyri gratias ageret, ibique viro illustri cum magnis copiis duce relicto ad excursiones Samuelis coercendas, Byzantium regreditur. Inde in Iberiam proficiscitur, Davide curopalata mortuo, a quo ejus ditionis hæres institutus fuerat, quam ille tenuerat. Ibi relicta sibi ditione occupata, cum Georgium Davidis fratrem interioris Iberiæ principem compescuisset, ut suis finibus contentus esset, filio ejus obside accepto : Phœniciam adiit, et principem Tripolitanum, Damascenum, Tyrium et Berytium, qui conspiratione inita, Daphnæ Antiochiæ agrum incursionibus vexabant, coercuit, et Romanis servire coegit, acceptisque ab his etiam obsidibus, domum rediit. Et hoc quidem ita se habuerunt.

A βασιλικῆς ἀδρότητος κατεφρόνησε, καὶ τῶν λαμπρῶν ἐπιβλημάτων ἀπέσχετο, καὶ γλυκυθυμίαν ἅπασαν ἀπεσείσατο, καί τοι πρώην μὴ οὕτω βιοὺς, ἀλλὰ καὶ ἐρώτων ἡττώμενος, καὶ κώμοις καὶ τρυφαῖς ἑαυτὸν ἐκδιδοὺς καὶ βασιλείας περιττότησιν ἐνηδόμενος. Ἑαυτῷ δὲ μόνῳ προσκληρώσας τὴν ἐξουσίαν, τοῦ ὀνόματος μόνον τῆς βατιλείας καὶ τοῦ ἐπισήμου χρώματος μετεδίδου τῷ ἀδελφῷ, καί τινα δορυφορίαν ἐκείνῳ ἀπέταξε, βραχεῖαν μέντοι καὶ οὐχ ὑπέρογκον. Ὃ δὲ ἔφερε, καὶ οὐκ ἠμφισβήτει τῷ ἀδελφῷ, ἤθους ἀνειμένου τυχὼν, οἶμαι, καὶ χαίρων ὑγροτέρᾳ ζωῇ καὶ διαγωγῇ τρυφερᾷ, καὶ θήραις καὶ ἡλικιωτῶν συνουσίᾳ τῶν οἷς συνετρέφετο. Τὼ μὲν οὖν ἀδελφῷ καὶ ἄμφω εἶχέτην οὕτως. Ὁ δέ γε Σκληρὸς, τοῦ Φωκᾶ θανόντος, λυθεὶς τῆς εἱρκτῆς, εἶχετο καὶ αὖθις τοῦ πρὶν ἐγχειρήματος, καὶ τυραννεῖν καὶ πάλιν οὐκ ἀνεβάλλετο. Ὁ δὲ βατιλεὺς γράμμασι πρὸς αὐτὸν ἐγχαράττειν παρήνει τὸν ἄνδρα παύσασθαι τῆς ἀπονοίας ποτὲ, καὶ μὴ ἀεὶ βούλεσθαι αἴτιον εἶναι πολέμων ὁμογενέσι, καὶ τὴν γῆν αἵμασι χραίνειν, καὶ τούτοις Χριστιανῶν. Ὁ δὲ τῷ τε γήρᾳ τρυχόμενος ἤδη, καὶ πρὸς τὸ μέλλον ἰλιγγιάσας, σπένδεται, καὶ πρόσεισι τῷ κρατοῦντι· κἀκεῖνος ὑπὸ σκηνὴν καθῆστο βασίλειον, καὶ ὁ Σκληρὸς βάδην ἦει πρὸς τὴν σκηνὴν, ὑπερερειδόμενος ἑκατέρωθεν, τὸ μέντοι διὰ τὸ γῆρας, τὸ δὲ διὰ τὸν ὄγκον τοῦ σώματος (ἦν γὰρ εὐμεγέθης) ὅτε καὶ τὸ ᾀδόμενον εἰπεῖν ὁ βασιλεὺς Βασίλειος λέγεται· Ὃν ἐδεδοίκειν, προσάγεταί μοι χειραγωγούμενος. Οἱ δὲ ἀορασίᾳ πληγῆναί φασι τὸν Σκληρὸν ἐν τῷ ἀπιέναι πρὸς τὸν αὐτοκράτορα, καὶ διὰ τοῦτο χειραγωγεῖσθαι. Ἐγγίσαντος δὲ τοῦ ἀνδρὸς τῇ σκηνῇ, κατανοήσας ὁ βασιλεὺς ἔτι τοὺς πόδας αὐτοῦ ὑποδουμένους ὑποδήμασι φοινικοῖς (τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας γνωρίσματα ὁ Σκληρὸς ἀπεδύσατο, τὰ δέ γε πέδιλα οὐκ ἀπέβετο, ἢ γὰρ λάθετ' ἢ οὐκ ἐνόησεν (86) ἀπέστειψε τὰς ὄψεις εὐθὺς, μὴ ἄλλως αὐτῷ ἐντυχεῖν ἀνεχόμενος εἰ μὴ ἐν ἰδιώτου στολῇ. Ὁ δὲ, πρὸ τῆς σκηνῆς ἀποῤῥίψας τὰ ἐπίφθονα πέδιλα, οὕτως ὑπέδυ αὐτὴν, καὶ ὁ βασιλεὺς ἐξανέστη, καὶ τὸν ἄνδρα ἐδεξιώσατο, καὶ ὡμιλησάτην ἀλλήλοιν, καὶ ἐκοινώσατο τραπέζης, καὶ ἐπιέτην ἐκ τῆς αὐτῆς κύλικος. Τοῦτον μὲν οὖν τὸν τρόπον καὶ ἡ τοῦ Σκληροῦ τυραννὶς καταλέλυται, αὐτοῦ μὲν κουροπαλάτου τιμηθέντος, τῶν δὲ συναραμένων αὐτῷ παραχωρηθέντων ἔχειν ὃ ἂν ἕκαστος ἐξ ἐκείνου τυραννοῦντος εἰλήφει, εἴτ' ἐν ἀξίαις ἦν, εἴτ' ἐν ἀρχαῖς, εἴτε μέντοι ἐν κτήσεσιν. Ὁ δὲ βασιλεὺς, τὰς τῶν ἀποστασιῶν φροντίδας ἀποφορτισάμενος, ἐπὶ τὴν Θρᾴκην ἐξῄει, καὶ εἰς Θεσσαλονίκην ἐφοίτησε, τῷ περιωνύμῳ μάρτυρι ἀνθομολογούμενος. Καταλείψας δ' ἐκεῖ στρατάρχην τῶν ἐπισήμων μετὰ βαρείας δυνάμεως, ἵνα κωλύῃ τὰς τοῦ Σαμουὴλ ἐκδρομὰς, ἐπάνεισι πρὸς τὴν Βύζαντος, καὶ εἰς Ἰβηρίαν ἀπῄει, κληρονόμος καταλειφθεὶς παρὰ τοῦ κουροπαλάτου Δαβὶδ θανόντος τῆς ἐκείνῳ διαφερούσης ἀρχῆς. Ἔνθαπερ γεγονὼς, καὶ τῆς καταλειφθείσης αὐτῷ χώρας ἐπιλαβόμενος, καὶ τὸν τοῦ Δαβὶδ ἀδελφὸν τὸν Γεώργιον τῆς ἐνδοτέρας Ἰβηρίας ἡγεμονεύοντα παρασκευάσας ἡσυχίαν ἄγειν, καὶ τοῖς ἰδίοις ἀρκεῖσθαι, καὶ ὅμηρον τὸν ἐκείνου παῖδα λαβὼν, ἐπὶ Φοινίκην ἐχώρησε, καὶ τόν τε τῆς Ἰριπόλεως ἄρχοντα καὶ τὸν τῆς Δαμασκοῦ, καὶ τὸν τῆς Τύρου καὶ Βηρυτοῦ, κατὰ συνθήκας τῇ πρὸς τῇ Δάφνῃ Ἀντιοχείᾳ ἐπιόντας, καὶ κακοῦντας τὰ ὑπ' αὐτὴν, ἀνέστειλε, καὶ δούλωσιν Ῥωμαίοις τηρεῖν ἀνέπεισε, καὶ ὁμήρους κἀκ τούτων λαβὼν, ἐπανέζευξεν. Ἀλλὰ ταῦτα μὲν εἶχον οὕτω.

## Variæ lectiones et notæ.

(86) Ἢ γὰρ λάθετ' ἢ οὐκ ἐνόησεν. Hemistichium Homericum ex *Iliad.* I, vers. 533.

Η'. Τοῦ δὲ πατριάρχου Νικολάου τοῦ Χρυσοβέργη ἐπ' ἔτεσι δυοκαίδεκα καὶ μησὶν ὀκτὼ τῇ Ἀρχιερωσύνῃ ἐνδιαπρέψαντος, εἶτα τὸν βίον ἐκλελοιπότος, ὁ μάγιστρος Σισίννιος, ἀνὴρ λόγοις ἐντεθραμμένος, προχειρίζεται πατριάρχης. Καὶ τούτου δὲ ἐπὶ τρεῖς ἐνιαυτοὺς τὴν Ἐκκλησίαν ἰθύναντος καὶ θανόντος, Σέργιος κεχειροτόνηται πατριάρχης, ὃς καθηγεῖτο μὲν τῆς τοῦ Μανουὴλ μονῆς, τῷ πατριάρχῃ δὲ Φωτίῳ κατὰ γένος προσήκων ἐτύγχανεν. Τοῦ Σαμουὴλ δὲ τοῦ τῶν Βουλγάρων ἐξάρχοντος οὐ τὰ Θρᾳκῶν οὐδὲ τὰ Μακεδόνων μόνα λῃζομένου, ἀλλὰ καὶ τὴν Ἑλλάδα καὶ αὐτὴν δέ γε τὴν Πελοπόννησον, τὸν μάγιστρον Νικηφόρον τὸν Οὐρανὸν ἐκπέμπει ὁ βασιλεύς, τῆς δύσεως ἄρχοντα, ὃς παρὰ τῷ Σπερχειῷ ποταμῷ τοῦ Σαμουὴλ κατεσκηνωμένου, παρὰ τῇ ἄντικρυς ἠπείρῳ ηὐλίσατο. Ὅτι δ' ὅσε τότε πολλὰ καὶ ὁ ποταμὸς ἐντεῦθεν ἄπλωτος ἦν, ἀνέλπιστος ἐδόκει τῷ Σαμουὴλ ἡ κατ' αὐτοῦ τῶν Ῥωμαίων ἐπίλευσις. Ὁ Οὐρανὸς δὲ, νυκτὸς ἀνερευνήσας, καὶ κατά τινα τόπον βατὸν κατανοήσας τὸν ποταμὸν, διαβαίνει τοῦτον ἡσύχως μετὰ τῆς στρατιᾶς, καὶ ἀφροντιστοῦσιν αἰφνίδιον ἐμβάλλει τοῖς περὶ τὸν Σαμουὴλ, καὶ τῷ ἀδοκήτῳ καταπλαγέντες οἱ Βάρβαροι ἔπιπτον, μηδὲ χεῖρας ἀνταίροντες καὶ τῷ Σαμουὴλ δὲ καὶ τῷ ἐκείνου υἱῷ Ῥωμανῷ πληγαὶ ἐπηνέχθησαν, καὶ ἐάλωσαν ἂν, εἰ μὴ τοῖς νεκροῖς συνανεμίχθησαν σώμασι, καὶ οὕτω λαθόντες διέφυγον. Εἶτα καὶ ὁ βασιλεὺς ἐξεστράτευσε κατὰ τῶν Βουλγάρων, καὶ τῶν ἐν Σαρδικῇ φρουρίων καταστρεψάμενος ἕνια, ἐπανῆλθεν εἰς Μοσυνούπολιν. Εἶλε δὲ καὶ τὴν μεγάλην Περσθλάβαν, καὶ τὴν μικρὰν, καὶ τὴν Πλίσκοβαν διὰ στρατηγῶν. Καὶ ἡ Βέρροια δὲ παρεδόθη αὐτῷ παρὰ τοῦ Δοβρομηροῦ, προσχωρήσαντος τοῖς Ῥωμαίοις. Τὰ μέντοι Σέρβια πολιορκίᾳ ἑάλω, καὶ ὁ τὴν αὐτῶν φυλακὴν ἐμπεπιστευμένος Νικόλαος, ὃν Νικολιτζᾶν ὑποκορίζοντες ὡς βραχὺν τὴν ἡλικίαν ὠνόμαζον, ὃς, καίτοι πατρίκιος τιμηθείς, ἀπέδρα πάλιν, καὶ πρὸς τὸν Σαμουὴλ ἀπελήλυθεν. Εἶτ' αὖθις κατὰ Βιδίνης ὁ βασιλεὺς ἐξεστράτευσε, καὶ τὴν πόλιν αἱρεῖ. Ἐν ὅσῳ δὲ ταύτην ἐπολιόρκει ὁ βασιλεὺς, ἔπεισιν ὁ Σαμουὴλ τῇ Ἀδριανουπόλει ἀῤῥόον, καὶ πανηγύρεως ἐκτὸς τελουμένης, τάς τε ἐμπορίας λείαν πεποίητο, καὶ αἰχμαλώτων πλῆθος λαβών, ὑπενόστησε. Τὴν Βιδίνην δὲ ὑφ' ἑαυτὸν ὁ βασιλεὺς ποιησάμενος καὶ ἐπανερχόμενος κατέλαβε παρὰ τῷ Ἀξίῳ ποταμῷ (87) τὸν Σαμουὴλ αὐλιζόμενον· ὃς Βαρδάριος (88) οὕτω παρὰ τοῖς παλαιοῖς ὠνομάζετο. Πολλοῦ δὲ τοῦ ποταμοῦ ῥέοντος, ἀμελῶς οἱ Βάρβαροι κατεσκήνωντο· οὐ γὰρ ἄν ποτε δυνηθῆναι διαβῆναι τὸν ποταμὸν ἤλπιζον τὸ Ῥωμαϊκὸν σύνταγμα. Πόρου δὲ γνωσθέντος, δι' αὐτοῦ ὁ βασιλεὺς διέβη καὶ τὸ στρατόπεδον, καὶ πολλοὶ μὲν

VIII. Interea Nicolao Chrysoberge, cum pontificatum annos XII et VIII menses ornasset, defuncto, Sisinnius magister, vir ab incunte ætate in litteris versatus, patriarcha designatur: quo et ipso cum triennium Ecclesiam rexisset, mortuo, Sergius patriarcha eligitur, qui Manuelis monasterio præerat, patriarchæ Photio genere conjunctus. Cum autem Samuel Bulgarorum princeps non Thraciam tantum et Macedoniam, sed Græciam ipsamque Peloponesum popularetur, imperator Nicephorum Uranum magistrum prætorem Occidentis ablegat, qui cum Samuel ad Sperchium fluvium tentoria fixisset, in opposita continente castra posuit. Quia vero flumen ob crebras pluvias navigari non poterat. Samuel Romanorum agressionem minime verebatur. **244** Cum autem Uranus noctu quodam in loco vadum pervestigasset, eo tacite traducto exercitu Samuelem securum subito invadit, ac Barbari re inexspectata attoniti, ne armis quidem contra illatis, cadunt. Vulneratus est et Samuel una cum filio, et ambo capti essent, nisi inter cadavera occultati, ciam aufugissent. Post hæc ipse imperator bellum intulit Bulgaris, et quibusdam Sardicæ castellis expugnatis, Mosynopolim rediit. Sed et magnam et parvam Persthlavam et Pliscovam per duces cepit. Est ei et Berrœa per Dobromerum, qui ad Romanos se contulerat, tradita. Servia vero expugnata sunt, et Nicolaus, quem per diminutionem ob staturæ brevitatem Nicolitzam vocabant, cujus ea custodiæ tradita erant, captus: qui quamvis patricii dignitate ornatus esset, tamen aufugit, atque ad Samuelem rediit. Deinde imperator Bidinam expugnat, quam dum obsidet, Samuel Adrianopolim subito invadit, cum nundinarum celebritas extra mœnia agitaretur, mercibusque direptis, ac plurimis captis recedit: quem imperator Bidina capta rediens ad Axium fluvium (Bardarius olim sic dictus est) stativa habentem deprehendit. Is cum exundaret, Barbari castra negligenter tuebantur. Neque enim Romanas legiones cum transituras putabant. Sed vado ab imperatore indagato, traductoque exercitu, multis Bulgaris cæsis, Samuelis tentorium et castra universa direpta sunt, Samuel ipse aufugit. Sed et Scopiorum urbem accepit imperator, a Romano Petri Bulgarorum olim principio filio traditam, cui ejus custodia a Samuele commissa fuerat. Posthæc Constantinopolim reversus, decrevit tributum pauperum, qui periissent, a locupletibus exigendum esse, quod allelengyum vocabatur. Etsi autem multi atque ipse patriarcha Sergius deprecabantur, ut iniqua illa et inusitata exactio tolleretur, tamen

**Variæ lectiones et notæ.**

(87) Ἀξίῳ ποταμῷ. Joannes Tzetzes, chil. x, cap. 316, Ἄξειον quosdam perperam scribere observat:

Παίονες δὲ οἱ Βούλγαροι, μὴ πείθου τοῖς βουβάλοις,
Ἄλλους τινὰς τοὺς Παίονας νομίζειν, παρὰ τούτους,
Οἱ Ἄξιον νομίζουσιν ἕτερον τῷ Βαρδάρῃ.
Καὶ Ἄξειον, οὐκ Ἀξιόν φασι, γραφῇ διῳθόγγῳ.

Ique Homeri auctoritate probat. De Alexio et Bardario diximus in Notis ad Historiam Comnenicam.

(88) Βαρδάριος. Vide idem Gloss. in Βαρδαριῶται.

imperator a proposito non recedebat. Nam tempore ac tot victoriis elatus, insolentem se erga omnes præbuit: ac subditis formidabilis quam charus esse maluit: neque cives neque milites pro recepta consuetudine, quam et legumlatores instar legis habere pronuntiant, sed suo judicio et arbitratu tractare voluit. Proinde nullam 225 doctorum virorum rationem habuit, ipsamque doctrinam rem inutilem et supervacaneam judicans: viros neque genere nec eruditione claros et ab epistolis et a consiliis habuit, quibus litteras simpliciter, nullaque cum cura dictavit. Sed et fiscum obstructis foribus pecunia refersit. Fertur enim ducenta millia talentum auri in thesauris habuisse. Nam alterius pecuniæ nullus iniri numerus potest, adeo et conclavibus repletis, eam terræ mandarit, anfractibus instar fabyrinthorum effossis: sed et cistellæ plenæ erant gemmis cum aliis tum candidis illis, quæ peculiari nomine margaritæ dicuntur. Neque vero iis utebatur, paucis exceptis ad insignia purpuræ exornanda, qua, cum prodibat, aut legatis respondebat, aut alias publicas festivitates celebrabat, utebatur, Reliquæ in conclavibus inutile pondus jacebant, Belli temporibus ingenio fuit vario et multiplici, rebus tranquillis et pacatis vehementior. Iram dissimulabat, apud sese sup pressam per occasionem proferens, delinquentibus vicem reddebat: cumque pertinaci esset ingenio, decreta sua non facile immutabat, Quare si quibus iratus erat, iis non facile placabatur. Atque hæc ad declarandos imperatoris mores dicta sint. Nunc ad res sub eo gestas ordine referendas oratio redeat.

IX. Ægypti princeps, soluto Romano fœdere, et Hierosolymitanum templum, in quo Christi sepulcrum est, et illius loci monasteria destruxit. At imperator Bulgariam crebris impressionibus vastabat et urebat, cui cum Samuel acie resistere non posset, operam dabat ut aditus regni occluderet, et angustias locorum castellis et præsidiis occuparet. Imperator autem reversus, magnaque vi penetrare aggressus, etsi virtute præsidiariorum repulsus: tamen cæptis non destitit, sed permansit, subinde castellum tentans, uno ex ducibus cum sua legione misso, an uspiam alibi per ambages ingressum aperire posset. Is per montes multasque difficultates Bulgaris deceptis ingressus, a tergo in præsidiarios irruit, qui re subita perterriti, non

Α τῶν Βουλγάρων ἀπώλοντο. Ὁ δὲ Σαμουὴλ διέδρα, τῆς τούτου σκηνῆς καὶ τῆς παρεμβολῆς ἁπάσης διαρπαγείσης. Καὶ τὴν πόλιν δὲ τῶν Σκοπίων ὁ βασιλεὺς παρειλήφει, δοθεῖσαν αὐτῷ παρὰ Ῥωμανοῦ τοῦ υἱοῦ Πέτρου τοῦ ἄρξαντος τῶν Βουλγάρων, ᾧ ἡ ταύτης φυλακὴ παρὰ τοῦ Σαμουὴλ ἐμπεπίστευτο. Εἶτα εἰς τὴν Κωνσταντίνου ἐπανελθών, ἐδογμάτισε τὰς τῶν ἀπολωλότων ταπεινῶν συντελείας εἰσπράττεσθαι ἐκ τῶν δυνατῶν· τοῦτο δὲ ἐκλήθη Ἀλληλέγγυον. Πολλῶν δὲ περὶ τούτου διηθέντων καὶ αὐτοῦ τοῦ Πατριάρχου Σεργίου, ὡς ἂν ἡ ἄδικος αὕτη σχολάσῃ καὶ παράλογος εἴσπραξις, ἣν ὁ βασιλεὺς ἀμετάπειστος. Τῷ χρόνῳ γὰρ καὶ ταῖς νίκαις ἀπάντων κατεπαρθείς, ὑπεροπτικὸς πρὸς πάντας ἐδείκνυτο, καὶ οὐκ εὐνοεῖν αὐτῷ, φοβεῖσθαι δ' ἐβούλετο

Β τὸ ὑπήκουν, καὶ τό τε στρατιωτικὸν τό τε πολιτικόν, οὐ πρὸς τὸ κρατῆσαν ἔθος, ὃ καὶ νόμων δοκεῖν τοῖς νομοθέταις τεθέσπισται, διεξάγειν ἤθελεν, ἀλλὰ πρὸς τὴν οἰκείαν κρίσιν καὶ τὸ θέλημα ἑαυτοῦ. Διὸ οὐδὲ τῶν λογίων ἀνδρῶν ἐπεστρέφετο, ἀλλὰ καὶ τοὺς λόγους ἤγητο περιττόν τι χρῆμα καὶ οὐκ ὀνήσιμον ὅθεν ἄνδρας ἀπολεξάμενος ἑαυτῷ, οὔτε τῷ γένει, οὔτε μέντοι ἐν λόγῳ τὸ ἐπίσημον ἔχοντας, ἐκείνοις τάς τε βασιλείους ἐπιστολὰς ἐνεχείρισε, καὶ ἐκοινώνει τῶν βουλευμάτων, καὶ αὐτὸς ἐκείνοις ἀφελῶς τὰς γραφὰς ὡς ἔτυχεν ὑπηγόρευεν. Ἀλλὰ καὶ τοῖς ταμείοις ἀποφράξας τὰς διεξόδους, χρημάτων ταῦτα πλήρη πεποίηκε. Φασὶ γοῦν ἐς εἴκοσι μυριάδας ταλάντων χρυσοῦ ἐναποτεθησαυρίσθαι αὐτῷ. Τὸν γὰρ ἄλλον χρηματισμὸν οὐκ ἄν τις ὑπ' ἀριθμὸν δύναιτο ἀγαγεῖν, ὃς, τῶν ταμείων αὐτῷ πληρωθέντων, ὑπὸ γῆν τὰ λοιπὰ ἐθησαύρισεν, ἕλικας ὀρύξας λαβυρινθώδεις. Καὶ ὑπερχειλῆ μὲν ἦσαν λίθων πολυτελῶν, τῶν τε ἄλλων καὶ τῶν λευκῶν, οἷς ἰδιάζουσα κλῆσις οἱ Μάργαροι (87) τὰ κιβώτια. Τῷ δὲ εἰς χρῆσιν οὐκ ἦσαν, ἀλλὰ βραχεῖς τινες αὐτῷ τὴν πορφύραν ἀνεκόσμουν, ἵ' ἔχῃ τοὐπίσημον ἥπερ ἐν προόδοις ἐκέχρηντο, καὶ ὅτ' ἐχρημάτιζε πρέσβεσι, καὶ ὅτε τινὰ ἄλλην δημοτελῆ ἐτέλει πανήγυριν. Οἱ δ' ἄλλοι τοῖς ταμείοις ἐναποκείμενοι ἄχθος ἦσαν ἐτώσιον Ἦν δ' ἐν μὲν πολέμου καιροῖς ποικίλος τις, καὶ τὴν γνώμην πρὸς τοὺς ὑπὸ χεῖρα πολυειδής· ἐν δὲ ἠρεμίαις καὶ εἰρηνικαῖς καταστάσεσιν ἀρχικώτερος, καὶ τὰς ὀργὰς ἐταμίευε, καὶ ταύτας συνέχων παρ' ἑαυτῷ, ἐδημοσίευεν ἐν καιροῖς, καὶ ἀνταπεδίδου τοῖς ἁμαρτήσασιν. Ἦν δὲ τὴν γνώμην στερρὸς, οὐ ῥᾳδίως ἠλλοίου τὰ δόξαντα. Διὸ καὶ πρὸς οὓς ἂν ἔτυχε μήνιμά τι τρέφων, οὐ ταχὺ μετήλλαττε τὸ ἦθος αὐτοῖς. Ἀλλὰ ταῦτα μὲν παραστατικὰ τοῦ ἤθους τούτου τοῦ αὐτοκράτορος, ἡ δ' ἱστορία ἐχέσθω τῶν ἐπ' αὐτοῦ πεπραγμένων, καὶ διηγείσθω τὰ ἑφεξῆς.

Θ'. Ὁ τῆς Αἰγύπτου κατάρχων, τὰς πρὸς Ῥωμαίους λύσας σπονδὰς, τόν τε ἐν Ἱεροσολύμοις ναὸν, ἐν ᾧ τὸ τοῦ Κυρίου μνῆμα, κατηρείπωσε, καὶ τὰ ἐκεῖ μοναστήρια. Ὁ δὲ Βασιλεὺς, συνεχῶς τῇ Βουλγαρίᾳ προσβάλλων, ἐκάκου ταύτην καὶ ἐκεράιζε. Μὴ δυνάμενος δέ γε ὁ Σαμουὴλ ἀντιπαρατάξασθαι τῷ τῶν Ῥωμαίων στρατεύματι, τάφροις τὰς εἰσόδους ἀποκλεῖσαι αὐτῷ ἐπεχείρησε, τὰς δυσχωρίας ἀποφράξας οἰκοδομαῖς, καὶ φύλακας ἐπιστήσας αὐταῖς. Ἦκεν οὖν ὁ βασιλεὺς αὖθις, καὶ ἐβιάσατο μὲν τὴν πάροδον, ἀπεκρούσθη δὲ τῶν φυλάκων ἀνθισταμένων ἐρρωμενέστερον, πλὴν οὐκ ἀπέστη τῆς ἐγχειρήσεως, ἀλλ' αὐτὸς μὲν προσέμενεν, ἔτι περῶμενος τοῦ ἐρύματος· ἐκπέμπει δὲ τῶν στρατηγῶν ἕνα μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος ἑτερωθίπου-

## Variæ lectiones et notæ.

(87) Οἱ μάργαροι. Vide idem Gloss. in Μάργαρος.

θεν, εἰ δύναιτο περιελθεῖν, καὶ μηχανήσασθαί τι πρὸς τὴν διελευσιν. Ὁ δὲ, δι' ὀρῶν καὶ δυσχωριῶν πολλῶν διελθών, καὶ λαθὼν τοὺς Βουλγάρους, ἐμπίπτει κατὰ νώτου τοῖς τοῦ ἐρύματος φύλαξιν, οἳ, τῷ ἀθρόῳ περιδεῖς γεγονότες, οὐκέτι τῆς φυλακῆς ἐφρόντιζον τοῦ ρφαγμοῦ, ἀλλ' ὅπως αὐτοὶ τὸν ὕλεθρον φυλάξωνται περὶ πλείστου ἐτίθεντο. Τότε δὴ ἀδείας τὸ Ῥωμαϊκὸν δραξάμενον στράτευμα, ῥήγνυσι τὸν φραγμὸν, καὶ δίεισι καὶ διώκει, καὶ πολλοὺς μὲν ἀναιρεῖ, πλείονας δέ γε ζωγρεῖ μόλις διαδράντος τοῦ Σαμουήλ. Ὁ γε μὴν βασιλεὺς τοῖς δορυαλώτοις εἰς πεντεκαίδεκα χιλιάδας ἀριθμουμένοις ἐξέκοψε πᾶσι τὰ ὄμματα, ἑφ' ἑκάστῃ ἑτατοστῷ ἕνα καταλιπὼν ἑτερόφθαλμον, ἵν εἴη τούτοις χειραγωγὸς, καὶ οὕτως αὐτοὺς ἀπιέναι κελεύει πρὸς τὸν σφέτερον ἀρχηγόν. Οὓς ἐκεῖνος ἰδὼν, καὶ τὸ πάθος μὴ ἐνεγκὼν, ἰλλγγιᾷ τε καὶ εἰς γῆν λειποθυμῶν καταβάλλεται· μικρὸν δέ τι ἀνενεγκὼν, καρδιωγμῷ περιπίπτει καὶ θνήσκει (90), Ἡ δὲ τῶν Βουλγάρων ἡγεμονία τῷ υἱῷ αὐτῷ Γαβριὴλ τῷ καὶ Ῥωμανῷ παριῄλθεν, ὃν οὔπω ἐνιαυτὸν ἄρξαντα ὁ υἱὸς τοῦ πατραδελφου αὐτοῦ Ἀαρὼν ὁ Βλαδίσθλαβος Ἰωάννης (διώνυμος γὰρ καὶ οὗτος ἦν) ἀπέκτεινε. Διελθὼν δὲ τὸ ἐν ταῖς δυσχωρίαις ἔρυμα ὁ αὐτοκράτωρ, ὡς εἴρηται, ἄλλα τε φρούρια ἐχειρώσατο ἐρυμνά καὶ τοὺς ἐν αὐτοῖς Βουλγάρους, καὶ ἦκεν εἰς Μοσυνόπολιν, ὅπου αὐτῷ ἡ τοῦ Σαμοὴλ τελευτὴ ἀπηγγέλη, Ἆρας οὖν αὐτίκα προσβάλλει τῇ Βουλγαρίᾳ, καὶ πόλεις τε αὐτῆς αἱρεῖ καὶ φρούρια. Ὁ δέ γε τοῦ Σαμουὴλ υἱὸς ὁ Ῥωμανός τε καὶ Γαβριὴλ (οὔπω γὰρ ἀνῄρητο), πέμψας πρὸς τὸν βασιλέα δούλωσιν ὑπισχνεῖτο· μετὰ δὲ τινα καιρὸν τοῦ τὸν Γαβριὴλ ἀνελόντος Ἰωάννου τοῦ Βλαδισθλάβου ἐεράπων ἀφίκετο, εὐαγγελιζόμενος τὴν ἀναίρεσιν τοῦ υἱοῦ τοῦ Σαμουὴλ καὶ γράμματα κομίζων, ἐπαγγελλόμενα τῷ βασιλεῖ δούλωσιν προσερρύησαν δὲ αὐτῷ καὶ πολλοὶ τῶν ἐπισήμων παρὰ Βουλγάροις. Γνοὺς μέντοι τὸν Βλαδίσθλαβον ὁ βασιλεὺς οὐ κατὰ τὰς ἐπαγγελίας διανούμενον, ἐπῆλθεν αὖθις τῇ Βουλγαρίᾳ καὶ πολλὰς μὲν αὐτῆς ἐλῄσατο χώρας, τὴν δὲ τῆς Ἀχρίδος πόλιν, ᾗ τὰ βασίλεια τοῖς τῶν Βουλγάρων ἀρχηγοῖς ᾠκοδόμηντο, πολιορκίᾳ λαβὼν, καὶ ἕτερα φρούρια διὰ στρατηγῶν, ἐπανέζευξεν εἰς τὴν Κωνσταντίνου. Καὶ οὕτω δὲ κατὰ Βουλγάρων ἐστράτευσε, καὶ αὖθις φρούριά τε καὶ πολλοὺς τῶν Βαρβάρων τοὺς μὲν διέφθειρε, τοὺς δὲ συνέσχε ζωούς. Ὁ δὲ τῶν Βουλγάρων ἄρχων ὁ Ἰωάννης καὶ Βλαδίσυλαβος κατὰ τοῦ Δυρραχίου ἐξώρμησε, καὶ πολιορκῶν αὐτὸ πίπτει, ἄρξας ἔτη δύο καὶ μῆνας πέντε. Ὁ μαθὼν ὁ βασιλεὺς εὐθὺς ἔξεισι, καὶ περὶ τὴν Ἀδριανούπολιν γενομένῳ προσίασιν αὐτῷ τῶν Βουλγάρων ἐπιφανεῖς τινὲς, παραδιδόντες αὐτῷ τὸν Πέρνικον, καὶ ἕτερα φρούρια τριάκοντα ἐπὶ πέντε· καὶ ἄλλοι δὲ τῶν Βαρβάρων τούτων αὐτῷ προσερρύησαν. Καὶ

A jam de munitione luenda, sed de interitu vitando laborabant. Ibi Romanus exercitus nemine prohibente rupta munitione transit, hostesque persequens **226** multos occidit, plures capit, Samuele vix elapso, imperator captivis omnibus qui circiter quindecim millia erant, oculos effodit, singulis centuriis uno monoculo duce redlicto, eosque sic ad suum ducem abire jubet. Quibus ille visis, atrocitatem rei non ferens, oborta vertigine viribusque destitutus humi procidit, ac parum recreatus, ex cardiogmo interit, principatu Bulgarorum in Gabrielem filium, qui et Romanus dicebatur, translato : quem nondum anno elapso frater patruelis, Aaronis filius Uladisthlavus Joannes (binominis enim et hic erat) occidit. Imperator vero castello
B angustiarum, ut diximus, superato, cum alia firma præsidia una cum defensoribus cepisset, Mosynopolim pergit: ubi nuntio de Samuelis interitu accepto, Bulgarica oppida et præsidia expugnat. At Samuelis filius Romanus Gabriel (necdum enim casus erat) per legatos imperatori servitutem pollicebatur, et tempore aliquanto interposito, Joannis Uladisthlavi minister adest, eædem Gabrielis ab hero suo factam nuntians, aliique multi ex illustribus Bulgaris ad imperatorem confluunt : qui cum intellexisset aliud agitare animo Uladisthlavum quam promisisset, iterum impressionem in Bulgariam facta, longa lateque prædas egit, et Achrida urbe regia Bulgarorum expugnata, aliisque castellis per duces suos captis, Constantinopolim regreditur. Sed rursus bello illato Barbaris
C illis et castellis occupatis, Bulgaros complures partim interfecit, partim cepit. Quorum princeps Joannes Uladisthlavus, dum Dyrrhinum obsidet, cadit, cum genti biennium et quinque menses præfuisset. Quo imperator intellecto statim egreditur, cui ad Adrianopolim quidam illustres Bulgari se dedunt, tradito Pernico et aliis triginta quinque castellis. Sed et alii multi ex his Barbaris ad eum confluxerunt. Maria quoque Joannis Uladisthlavi uxor, Davide Bulgariæ archiepiscopo cum litteris ad illum misso, se illi Bulgaria cessuram pollicita, si ea quæ vellet impetrasset, paulo post ipsa cum tribus filiis et sex filiabus advenit. Sunt et tres ejus alii filii, Prusianus cum duobus fratribus qui in montes profugerant præsidiis occupatos,
D coacti ad imperatoris fidem se conferre : e quibus Prusianum magistrum, **227** cæteros patricios fecit. Universa Bulgaria subacta, et castellis aliis eversis, aliis, munitis, justisque præsidiis impositis, Athenas ad exsolvenda Deiparæ vota est profectus, ac dedicatis in æde ejus multis pretiosis donariis, in principem urbem reversus triumphum duxit, recta tiara ornatus, quam vulgus tuphan vocat a

## Variæ lectiones et notæ.

(90) Καὶ θνήσκει. Lupus protospata : *Anno* 1015, *apparuit cometa mense februarii, et Samuel rex obiit, et filius ejus regnavit.* Mox : *Anno* 1016, *occisus est filius prædicti Samuelis ab ejus consobrino filio Aroni, et regnavit ipse.* Ubi cod. al. *a Vierada ejus consobrino filio Arronii.* Consule *Familias* nostras *Dalmaticas.*

typho nimirum et superbia, quam in animis gestantium excitat: et sic usque ad Sanctæ Sophiæ ædem pervenit, ibi quoque vota Domino exsoluturus. Quo cum venisset, patriarcha multum eum obtestatus ut allelengyum aboleret, nihil impetravit, quamvis pollicitus fuisset se id Bulgaris subactis facturum, is patriarcha Sergius cum Ecclesiam ad annos viginti rexisset, mortem obiit ac in ejus locum suffectus est Eustathius, sacerdotum ædis palatinæ princeps. Bulgaria domita etiam Gravatarum genus, et Sirmium Romano imperio se submiserunt. Deinde in Abasgiam expeditionem suscipit, cujus princeps pacta violarat. Quo cum venisset, a Iergo defecerunt Xiphias et Nicephorus Bardæ Phocæ filius, patricii: sed motus ille celeriter est compressus, Phoca a Xiphia interempto, et Xiphia capto et Byzantium perducto. Qua cura imperator defunctus, cum Abasgis congreditur, validaque pugna commissa, et multis utrinque cæsis, æquo marte discessum est. Sed altero prælio Romani vicerunt, Abasgorumque princeps Georgius in Iberiæ interiora profugit, nec multo post tantum agri cessit imperatori, quantum is postulavit, filio Pancratio obside dato. His prospere gestis castra movit, et cum in animo haberet ire in Siciliam, consilium ejus fatalis morbus interrupit. Sed paulo ante ejus obitum Eustathius patriarcha moritur, cum orthodoxorum Ecclesiæ annos octo præfuisset. Cum autem monasterii Studii abbas Alexius imperatori ægrotanti sacrum caput Præcursoris attulisset, illo statim patriarcha designato, eodem vespere mortuus est. Vixit et regnavit annos septuaginta duos, solus rerum potitus est annis quinquaginta et amplius: Reliquo tempore collega fuit primum patris, deinde Phocæ, ac post illum Tzimisces.

A ἡ γυνὴ δὲ τοῦ Ἰωάννου καὶ Βλαδισθλάδου Μαρία ἐπεμψε πρὸς τὸν βασιλέα τὸν ἀρχιεπίσκοπον Βουλγαρίας Δαβὶδ μετὰ γραμμάτων ὑπισχνουμένη ἐκστῆναι τῆς Βουλγαρίας, εἰ ὥνπερ βούλεται τεύξεται. Καὶ μετὰ μικρὸν ἦκεν ἡ γυνὴ πρὸς τὸν αὐτοκράτορα, υἱοὺς ἐπαγομένη τρεῖς καὶ θυγάτρας ἕξ. Καὶ ἕτεροι δὲ τρεῖς ταύτης υἱοὶ φυγάδες ἐγένοντο ἐν τοῖς ὄρεσιν· ἀλλὰ κἀκεῖνοι τῶν ὀρῶν φυλαττομένων βιασθέντες προσῆλθον τῷ βασιλεῖ ἦσαν δ' οὗτοι ὁ Προυσιᾶνος, καὶ ἄμφω οἱ ἀδελφοὶ αὐτοῦ, ὧν τὸν μὲν Προυσιᾶνον ἐτίμησε μάγιστρον, πατρικίους δὲ τοὺς λοιπούς. Ὑφ' ἑαυτὸν οὖν τὴν ἅπασαν Βουλγαρίαν (91) πεποιηκὼς, καὶ τὰ μὲν τῶν φρουρίων καταστρεψάμενος, τὰ δὲ κατοχυρώσας, καὶ φρουρὰς αὐτοῖς ἀρκούσας καταλιπών, αὐτὸς εἰς Ἀθήνας ἀφίκετο θύσων τῇ Θεοτόκῳ τὰ χαριστήρια, καὶ ἀναθέμενος τῷ ναῷ πολλὰ καὶ πολυτελῆ, ἐπανέζευξεν εἰς τὴν ὑπερκειμένην τῶν πόλεων, καὶ κατήγαγε θριαμβον, τριάρᾳ ταινιωθεὶς ὀρθίᾳ, ἣν Τούφαν καλεῖ ὁ δημώδης καὶ πολὺς ἄνθρωπος, τῦφον οἶμαι ὠνομασμένην, ὡς τετυφῶσθαι ποιοῦσαν τοὺς ταύτῃ ἀναδουμένους, καὶ οὕτως ἄχρι τῆς τοῦ Θεοῦ Λόγου Σοφίας ἀφίκετο, ἀποδοὺς ἐν ταύτῃ τῷ Κυρίῳ τὰ χαριστήρια. Ἐνθα γενόμενον ὁ πατριάρχης πολλὰ ἱκετεύσας ἐκκύψαι τὸ ἀλληλέγγυον, οὐ κατεδυσώπησε, καὶ ταῦτα ὑποσχόμενον τοῦτο ποιήσειν, εἰ τῶν Βουλγαρων κρατήσειεν. Οὗτος ὁ πατριάρχης Σέργως τὴν Ἐκκλησίαν ἐπὶ εἴκοσι ποιμάνας ἔτη, μετέθετο τὴν ζωὴν, καὶ προεχειρίσθη τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας ἀρχιερεὺς Εὐστάθιος, ὃς τῶν ἐν τῷ παλατίῳ ναοῦ ἱερέων ἐπρώτευε (92). Τῆς Βουλγαρίας δὲ δουλωθείσης, τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ καὶ τὰ τῶν Κραβάτων ἔθνη (93) ἀπέκυψαν, ἀλλὰ μὴν καὶ τὸ Σίρμιον. Εἶτα κατὰ Ἀβασγίας ἐκστρατεύει ὁ βασιλεὺς, τοῦ τεύτης κρατοῦντος παρασπονδήσαντος. Ἐκεῖ δὲ τούτου γεγονότος, ὕπισθεν ἀποστατοῦσιν ὅτε Ξιφίας (94) καὶ Νικηφόρος ὁ υἱὸς Βάρδα τοῦ Φωκᾶ, οἱ πατρίκιοι· ἀλλὰ ταλέως ἡ τούτων ἐσβέσθη ἀποστασία, τοῦ μὲν Ξιφία τὸν Φωκᾶν ἀνελόντος, αὐτοῦ δὲ συλληφθέντος, καὶ δεσμίου ἀπαχθέντος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν. Ἄρτι δὲ τὰς περὶ τῆς τυραννίδος ταύτης φροντίδας ὁ βασιλεὺς ἀποσκευασάμενος, συρρήγνυται τοῖς Ἀβασγοῖς, καὶ μάχης ἰσχυρᾶς γενομένης, ἔπεσον πολλοὶ ἀμφοτέρωθεν, καὶ ἦν ἰσόρροπος ὁ ἀγὼν, εἶτ' αὖθις κρουσθέντος πολέμου νικῶσι Ῥωμαῖοι, καὶ ὁ τῶν Ἀβασγῶν ἡγεμὼν ὁ Γεώργιος (95) εἰς τὰ τῆς Ἰβηρίας ἀπέβα βαθύτερα, καὶ μετὰ βραχὺ σπονδὰς αἰτήσας, ἐξέστη τῷ βασιλεῖ χώρας ὁπόσης ὁ αὐτοκράτωρ ἐβούλετο, εἰς ὁμηρείαν παρασχὼν Παγκράτιον τὸν υἱὸν αὐτοῦ. Καὶ ταῦτα διανύσας ὁ βασιλεὺς ἐπανέζευξεν. Ἦν δὲ διὰ μελέτης αὐτῷ καὶ πρὸς Σικελίαν (96) ἀπᾶραι. Ἀλλ' οὐκ εἰς ἔργον αὐνῷ προέβη τὸ βούλευμα· ἤδη γὰρ αὐτῷ πρὸς τέλος κα-

B

C

## Variæ lectiones et notæ.

(91) Τὴν ἅπασαν Βουλγαρίαν. Joannes Tzetzes chil. x, cap. 316.

(92) Ἐπρώτευε. Protopapas Palatii. Vide *Gloss. med. Græcit.* in Πρωτοπαπᾶς.

(93) Τὰ τῶν Κραβάτων ἔθνη. Ut Croatia et Sirmium in Græcorum potestatem venerint, et ut cæso per insignem perfidiam Sermone, Sirmii domino, a Constantino Diogene, qui missus a Basilio fuerat ad debellandos Croatas, illiusque uxor in urbem sit adducta, narrat pluribus Scylitzes, p. 717. At quod Diogeni ille, Lupus protospatha Bugiano, seu Βοιοδάννῃ tribuit, sub an. 1024. *Et transfretavit Bugianis in Curbatia, et comprehendit ipsam principissam uxorem Cosmici.* Al. *Cisigni.*

(94) Ξιφίας. Alius a Xiphia Italiæ Catapano, cujus ille fortasse filius fuerit. Lupus protospathæ, an. 1006: *Descendit Xiphea Catapanus in civitate Bari.* Nam is obiit anno sequenti in Italia. Idem an. 1007: *Defunctus est prædictus Catapanus in civitate Bari*, Xiphias vero, cujus hic meminit Zonaras defectio cadit in annum 1022, ut est apud Scylitzem.

(95) Ὁ τῶν Ἀβάσγων ἡγεμὼν ὁ Γεώργιος. Vide Constantinum, *De adm. Imp.* cap. 46.

(96) Καὶ πρὸς Σικελίαν. Scribit Scylitzes Basilium molitum expeditionem in Siciliam, Orestam quemdam de fidissimis suis eunuchis præmisisse cum magnis copiis: deinde post exstinctum Basilium revocatum e Sicilia ob imperitiam in re militari, et missum in Italiam cum imperio: quod

τήντησε τὸ βιῶσιμον καὶ ἐνοσηλεύετο. Πρὸ βραχέως δὲ τοῦ αὐτὸν ἐκλιπεῖν ὁ πατριάρχης Εὐστάθιος θνήσκει, προστὰς τῆς Ἐκκλησίας τῶν ὀρθοδόξων ἐπ' ἔτεσιν ὀκτώ (97). Τοῦ βασιλέως δὲ νοσοῦντος Ἀλέξιος ὁ τότε τὴν προστασίαν ἔχων τῆς τοῦ Στουδίου μονῆς πρὸς τὸν βασιλέα ἀφίκετο, τὴν ἱερὰν κάραν τοῦ τιμίου Προδρόμου κομίζων αὐτῷ, καὶ αὐτίκα τοῦτον ὁ βασιλεὺς πατριάρχην προεχειρίσατο, κατὰ τὴν ἑσπέραν ἐκείνην καὶ τὴν ζωὴν ἐκλιπών, ζήσας μὲν καὶ βασιλεύσας χρόνους ἑβδομήκοντα ἐπὶ δυσὶν, αὐταρχήσας δὲ ἐπὶ πεντήκοντα καὶ πρὸς ἔτεσι· τοὺς γὰρ ἄλλους συνεβασίλευσε τῷ πατρὶ, εἶτα τῷ Φωκᾷ, καὶ μετ' ἐκεῖνον τῷ Τζιμισκῇ (98).

Γ. Τέθνηκε μὲν οὖν γηραιὸς ὁ Βασίλειος, τῆς δ' A ἐξουσίας εὐθὺς ὁ ἐκείνου σύγγονος ἐπελάβετο, τὸν Κωνσταντῖνόν φημι, μικρόν τι ἐκείνου κατὰ τὸν χρόνον τῆς ζωῆς ἐλαττούμενος. Ῥᾳθύμου δὲ πεφυκὼς ἤθους καὶ ἀνειμένου, ἥ καὶ εἰς ἕξιν ἐλθὼν βίου ἐρράστωνευμένου τε καὶ ἀργοῦ (οὐδὲ γὰρ ἐκοινώνει αὐτῷ βασιλείου τινὸς ὁ σύγγονος πράξεως), καὶ αὐταρχήσας τοιαύτην εἶχε διαγωγὴν, ὑπ' ἄλλοις μὲν τὴν τῶν κοινῶν διοίκησιν θέμενος, καὶ τούτοις οὐ τοῖς ἑαυτῶν ἤδη παρασχομένοις δοκίμιον, ἀλλ' ἀνδράσιν οὐχ ὅτι τῶν εὖ γεγονότων, ἀλλ' οὐδ' ἐλευθέρας τύχης τυγχάνουσιν, ἐθνικοῖς δὲ καὶ μὴ δυναμένοις ὀρθοεπεῖν, ἀλλ' ἀκριβῶς βαρβαρίζουσιν. Ἐκεῖνος δὲ τρυφαῖς ἐξέδωκεν ἑαυτόν· ἥττητο γὰρ γαστρὸς καὶ ἀφροδισίων, καὶ ἐμεμήνει περὶ τοὺς κύβους τε καὶ τὰ θέατρα, ἀλλὰ μέντοι καὶ περὶ τὰ κυνηγέσια. Ἦν δ' εὐμεγέθης μὲν τὸν ὄγκον τοῦ σώματος, καὶ τὴν ἀλκὴν γενναιότατος, δειλὸς δὲ τὴν ἕξιν τὴν ψυχικὴν, ὅθεν οὐδὲ πολέμοις κατευνάζειν ἔκρινε τὰς τῶν Βαρβάρων ὁρμὰς, δωρεαῖς δὲ μᾶλλον καὶ ἀξιώμασι. Τοὺς δ' ὑπηκόους καὶ ἐκ ψιλῆς ὑπονοίας ἐκόλαζε, καὶ διαβολαῖς ῥᾳδίως ὑπεῖχε τὸ οὖς, καὶ πρὸς θυμὸν ὑπῆρχεν ὀξύῤῥοπος, οὐ κατὰ τὸν ἀδελφὸν δ' ἐμηνίκα, οὐδ' ἐδέμενε τῇ ὀργῇ, ἀλλὰ ῥᾷον εἰς τὴν ἀντίῤῥοπον διάθεσιν μετετίθετο, καὶ ἠνιᾶτο κακῶς τινα διαθέμενος. Πολλοὺς δὲ τιμωρούμενος, τοῦ φωτὸς ἐστέρει τοὺς πλείονας, ἐκκόπτων σφίσι τὰ ὄμματα, καὶ ἰκουροτέραν τῶν ἄλλων ταύτην τὴν κόλασιν ἔκρινε, καὶ ταύτῃ ἐκέχρητο μᾶλλον, ὡς ἀπράκτους ποιούσῃ τοὺς καταδικαζομένους αὐτῇ. Γυναικὶ δὲ νέος ὢν συζυγεὶς Ἑλένῃ (99) τῇ θυγατρὶ Ἀλυπίου, ἀνδρὸς τῶν ὑπερλίαν τότε τυγχάνοντος, τρία ἐξ C

X. Basilio jam sene mortuo, frater Constantinus siatim suscepit imperium, illo non multo natu 228 minor : qui cum esset socors et dissolutus, vitæque otiosæ et ignavæ assuevisset (neque enim frater quidquam cum eo communi sententia gesserat), etiam rerum potitus eamdem vitæ rationem tenuit, et administratione aliis mandata, iisque qui nullum suæ industriæ specimen præbuerant, hominibus non modo ignobilibus, sed ne ingenuæ quidem conditionis, gentilibus, indisertis, ac plane barbaris : ipse voluptatibus indulsit, ventris et veneris mancipium, insanoque studio aleæ, theatri, venationis occupatus. Et quamvis corpore procero et robustissimo esset, tamen præ animi ignavia barbarorum motus, non bellis, sed muneribus et honoribus compescendos statuebat. Subditos autem ob nudam suspicionem puniebat ; calumniis faciles præbebat aures : iracundus, sed iræ non ita tenax ut frater, ac placabilior, et si quem male tractasset, facti pœnitens. Cum autem multos puniret, plerisque oculos effodiebat : id supplicium ut cæteris levius, quodque condemnatos quiescere cogeret, magis usurpans. Ex Helena uxore, Alypii viri illis temporibus potentissimi filia, tres filiolas adolescens susceperat, quas illa mortua in regia educabat. Cæterum Eudocia natu maxima ultro se Deo consecrarat, ob formam pestilenti morbo læsam. Reliquas nulla patria cura imperator factus complectebatur. Erat ille quidem manu ad largiendum prompta, sed cum benignitate non recte uteretur, in opposita liberalitati vitia impingebat. Nam in barbaros familiares suos,

## Variæ lectiones et notæ.

et attigit Lupus protospatha : *Anno* 1028, *descendit Oresti Cheloniti mense Aprilis.* Idem anno seq. *Venit Eustachius cum Basilico et Mandatora, et elegit Catapanum Christophorum : et Orestes prædictus ascendit in Constantinopolim cum Bugiano*, etc., ubi *cheloniti* idem valet ac Gr. Κοιτωνίτης, *cubicularius, præfectus sacri cubiculi*, quæ dignitas spectabat potissimum eunuchos. Revocatus est rursum ex Italia, et ei subrogatus Deo Opus, cui concreditæ pedestres copiæ, quod ad an. mundi 6542, Chr. 1034, refert idem Scylitzes. At Lupus protospatha Leonem in Italiam venisse anno 1027, auctor est : *Anno* 1027 *Despotus* (leg. *Leo Opus*) *Nicus in Italia descendit cum ingentibus copiis Russorum, Wandalorum, Turcarum, Bulgarorum, Blachorum, Polonorum, Macedonum, aliarumque nationum, ad Siciliam capiendam. Captum est autem Rhegium, et ob civium peccata destructum est a Vulcano Catapano, et Basilius imperator obiit anno secundo. Itaque Græci recesserunt die S. Martini. Jam vero Basilius vivens renuntiavit imperio, sibi substituens Romanum, cui uxorem dedit Zoam filium suam.*

(97) Ἐπ' ἔτεσιν ὀκτώ. Alius cod. τέσσαρσι.

(98) Τῷ Τζιμισκῇ. Sepultus porro fuit Basilius imp. in æde seu monasterio S. Joannis evangelistæ in Hebdomo, unde illius corpus translatum postmodum Selybriam a Michaele Palæologo imp. ut narrat Pachymeres, lib. II, cap. 21, et lib. VII, cap. ult. qui priore loco meminit versuum illius tumulo ascriptorum, quos ex cod. Reg. 3130 hic damus :

Ἄλλοι μὲν ἄλλοι τῶν πάλαι βασιλέων
Τόπους προηυτρέπισαν εἰς ταφὴν ξένους
Ἐγὼ δὲ Βασίλειος, πορφύρας γόνος,
Κεῖσαι μόνον ἐν μέσῳ γῆς Ἑβδόμου,
Καὶ σαββατίζω τοὺς ἀμετρήτους πόνους,
Οὓς ἐν μάχαις ἔστεγον, οὓς ἐκαρτέρουν.
Ἀφ' οὗ γὰρ βασιλέα θεὸς κέκληκέ με,
Οὐ γάρ τις εἶδεν ἠρεμοῦν ἐγὼν ὄρη,
Καὶ μαρτυροῦσι τοῦτο Σκῦθαι καὶ Πέρσαι,
Σὺν οἷς Ἰσμαὴλ, Ἄβασγος, Ἰὸὴρ, Ἀραψ.

D

(99) Γυναικὶ δὲ νέος ὢν συζυγεὶς Ἑλένῃ, etc. Michael Psellus in epist. inedita ad Constantinum Monomachum imper. de Constantino Basilii fra-

mancipia quæ ipse empta castrarat, cubiculoque curando et somno conciliando præfecerat, summos honores et magistratus conferebat, eisdemque tota plaustra pecuniarum largiebatur : cæteris parce admodum manum porrigebat. Ac hi mores ejus fuerunt. Nunc qua fortuna fuerit exponamus. Patzinacæ, quam Scythicam esse gentem supra diximus, trajecto Istro, Bulgariæ non parva detrimenta inferebant. Verum eos Constantinus Diogenes Sirmii præfectus, qui et Bulgariæ dux appellatus est, ultra Istrum profligatos quiescere coegit. Cum autem Basilio mortuo (is enim tributariis clementer spatium dabat) biennii vectigalia deberentur : et ea et ejus triennii, quo ipse imperavit, tributa **229** immisericorditer exegit, quamvis toto tempore imperii ejus pauperes ex magna siccitate inopia premerentur. Classem Agarenorum contra Cycladas insulas missam Sami dux devicit, duodecim navibus una cum vectoribus captis, reliquis dissipatis. Imperator porro jam provectæ ætatis, præter senectutis tabem etiam alio morbo affectus, de successore imperii deligendo deliberans, in animo habebat Constantinum Dalassenum patricium, desponsa filia, et generum asciscere, et imperatorem creare. Mittit igitur, qui eum ex Armeniaca provincia, ubi vitam agebat, accerserent: sed ante adventum ejus, mutata sententia, quemdam virum primarium, nobilique genere ortum, et ad præfecti dignitatem evectum, tam successorem imperii quam filiæ maritum eligit. Sed cum res difficultatem haberet, propterea quod illustris ille vir Romanus Argyrus uxorem habebat : quid machinatur ? Iram gravissimam et præcipitem contra hominem simulat, et satellites mittit qui eum ad supplicium ducerent, et uxorem ejus, coma tonsa, ad aliud vitæ genus transferrent. Illa simulationis ignara, mutationem eam alacri animo admittit, resectoque capillo nigrum vestitum sumit. At illi in regiam traducto altera filia imperatoris nubit ; nam tertia, quod prior illius uxor invita ab eo segregata esset, conjugium ejus recusasse ferebatur. Sic ille Cæsar declaratus Zoen duxit. Constantinus vero triduo post nuptias debitum naturæ persolvit, septuagenario major, cum imperio tres annos, uno mense dempto, insullasset.

τὴν διαδοχὴν καὶ πρὸς κῆδος τῶν θυγατέρων μιᾶς. γυναικὶ γὰρ ὁ λαμπρὸς ἐκεῖνος συνεδίω ἀνήρ, ἣν δ' πρὸς τοῦτο μηχανᾶται ὁ βασιλεύς ; Σκήπτεται κατὰ βίαιον, καὶ στέλλει τοὺς ἐκεῖνον μὲν ἐπὶ κολάσει

τρε (a) : Γήμας δὲ πρεσβυτέραν θυγατέρα τινὸς τῶν ἐν τέλει, κάλλει διαπρεπῆ καὶ καλλιτεχνότητος ἐξ αὐτῆς γεγονυίας, οὐ Σκιπίωνα τεκνούσης, Φάωνον, οὐδὲ Τερτίαν τινὰ Πυθικοῦ ἔμπλεων πνεύματος, ἀλλὰ Χάριτας ὡς ἀληθῶς ταῖς θρυλλουμέναις ἐκείναις ἰσαρίθμους καὶ ἀνθαμίλλους, καὶ τῷ θείῳ τούτῳ ἀριθμῷ τὸ τῆς γονῆς περιορίσας φιλότιμον, etc.

(1) Ὧν ἡ μὲν πρεσβυτέρα Εὐδοκία. Idem Psellus : Καὶ τούτων τὴν πρεσβυτέραν, ἀρρενωποτέραν δὲ ἢ μᾶλλον θειότερόν τι φρονήσασαν, καὶ ἀγγέλων ἐντεῦθεν συναριθμηθῆναι ἐθελήσασαν τάγματι, τὴν βασιλικὴν ὄντως στολὴν ἀμφιέννυσι, καὶ τῷ θείῳ νυμφίῳ νύμφην εἰσάγει ἀκήρατον, καὶ ταῖς παστάσι ἐγκαθιδρύει ταῖς κρείττοσι.

A ἐκείνης ἔσχε θυγάτρια, καὶ τὴν μὲν ταύτας τεκοῦσαν θανάτῳ ἀπέβαλεν, αἱ δὲ παῖδες αὐτῷ ἐν τοῖς βασιλείοις ἦσαν τρεφόμεναι Ὧν ἡ μὲν πρεσβυτέρα Εὐδοκία (1), λοιμῷ τὸ κάλλος λωβηθεῖσα νοσήματι, θελήματι τῷ Θεῷ καθιερώθη· αἱ δέ γε λοιπαὶ ἦσαν παρὰ τῷ πατρὶ αὐταρχήσαντι, μηδέν τι περὶ αὐτῶν πατρὶ προσῆκον λογισαμένῳ. Τὴν χεῖρα δ' ὧν ἐλευθέριος, οὐκ ὀρθῶς ἐχρῆτο τῇ ἀρετῇ, ὅθεν καὶ εἰς τὰς ἀντιθέτους κακίας ἐξέπιπτε. Τοῖς μὲν γὰρ περὶ αὐτὸν οἳ Βάρβαροι ἦσαν ἀνδράποδα, ἅπερ αὐτὸς ἐκτήσατο καὶ ἐζέτεμε, καὶ θαλαμηπόλους καὶ κατευναστῆρας ἐκέκτητο, οὓς καὶ τιμῶν καὶ ἀρχῶν τῶν πρώτων ἠξίωσεν, ἁμάξαις ὅλαις ἐχορήγει τὰ χρήματα, τοῖς δ' ἄλλοις περισιμένως ἄγαν τὴν χεῖρα προέτεινε. Τὰ μὲν οὖν τῆς γνώμης οὕτως εἶχε τούτῳ τῷ αὐτοκράτορι. Τὰ δ' ἐκτὸς συμπεσόντα διεξίτω ὁ

B λόγος. Οἱ Πατζινάκαι (Σκῦθαι δ' οὗτοι, ὡς καὶ ἔμπροσθεν εἴρηται), διαβάντες τὸν Ἴστρον, τῇ χώρᾳ τῆς Βουλγαρίας οὐ μικρῶς ἐλυμήναντο. Ἀλλὰ τούτοις ἀντεπελθὼν Κωνσταντῖνος ὁ Διογένης ὁ τοῦ Σιρμίου κρατῶν, ὃς καὶ δοὺξ ὠνομάσθη τῆς Βουλγαρίας, ἐτρέψατό τε αὐτοὺς, καὶ ἠρεμεῖν ἠνάγκασε, τὸν Ἴστρον διαπεράσαντας. Τοῦ βασιλέως δὲ Βασιλείου θανόντος, δύο ἐνιαυτῶν ἦσαν φόροι ἀνείσπρακτοι (ἐδίδου γὰρ ἐκεῖνος ὑπόθεσιν ταῖς εἰσπράξεσι, φειδόμενος τῶν ὑποτελῶν), οὗτος δὲ καὶ τὰ τῶν παρελθόντων ἐνιαυτῶν καὶ τὰ τῶν ἐφ' οἷς αὐτὸς ἦρξε τριῶν ὄντων ἀσυμπαθῶς εἰσεπράξατο, καὶ ταῦτα αὐχμοῦ συμβάντος πολλοῦ ἐφ' ὅλῳ τῷ χρόνῳ σῆς βασιλείας αὐτοῦ, ὅθεν οἱ πένητες ἐξεστρίβησαν. Στόλον δὲ τῶν

C Ἀγαρηνῶν κατὰ τῶν λεγομένων Κυκλάδων νήσων ἐκπεπλευκότα ὁ τῆς Σάμου στρατηγὸς κατηγωνίσατο, δώδεκα μὲν νῆας αὐτάνδρους ἑλών, τὰς δὲ λοιπὰς σκεδασθῆναι πεποιηκώς. Ἤδη δ' ἐς γῆρας ἐλάσας ὁ αὐτοκράτωρ βαθὺ, καὶ τῷ ἐκ τούτου μαρασμῷ καὶ νόσον τινὰ συνεισπεσοῦσαν τῷ σώματι ἐσχηκὼς, περὶ τοῦ διαδεξομένου τὸ κράτος ἐσκέπτετο. Ἔγνω τοίνυν τὸν πατρίκιον Κωνσταντῖνον τὸν Δαλασσηνὸν ἐπὶ μιᾷ τῶν θυγατέρων κηδεστὴν ποιήσασθαι, καὶ τῆς βασιλείας διάδοχον, καὶ στέλλει τὸν αὐτὸν ἄξοντα, ἐν τῷ τῶν Ἀρμενιακῶν θέματι τὴν κατοικίαν ποιούμενον. Ἀλλὰ μήπω τοῦ ἀνδρὸς ἐκείνου ἀφικομένου, ἑτέρας γίνεται γνώμης ὁ Κωνσταντῖνος, καί τινα τῶν ἐν τέλει ἄνδρα εὐγενῆ τε τὰ ἐξ αἵματος καὶ ἀνηγμένον εἰς τὴν τοῦ ἐπάρχου ἀρχὴν, αἱρεῖται πρὸς Ἀλλ' εἶχέ τι πρὸς ἔκβασιν ἡ αἵρεσις πρόσαντες· οὗτος ὁ κατὰ τοὺς Ἀργυροὺς Ῥωμανός· τί γοῦν τοῦ ἀνθρώπου χόλον, καὶ τοῦτον ἐπαχθῆ τε καὶ ἀπάξοντας, τῇ δ' αὐτῷ συνοικούσῃ κεροῦντας τὴν

## Variæ lectiones et notæ.

(a) Hic in margine exemplaris nostri manu docti Boissonadii, cujus olim fuit, notantur variæ lectiones, ex collatione locorum Pselli hic adductorum cum codice ms. Paris. 1182 ; hanc collationem vir doctus instituerat cum Psselli epistolarum editionem prelo pararet, quæ Norimbergæ prodiit cum aliis Psellii opusculi anno 1838. Vide *Patrologiæ* tom. CXXII.

τρίχα, καὶ ἐφ' ἑτέραν ζωὴν μεταστήσεντας. Ἡ δὲ, τὸ σκηνουργούμενον ἀγνοήσασα, ἑτοίμως ἑαυτὴν παρέσχε πρὸς τὴν τοῦ βίου ἀπαλλαγήν. Ἡ μὲν οὖν τὴν κόμην τε ἀπετμήθη, καὶ μέλανα μετημφίαστο. Ὁ δὲ μετήχθη πρὸς τὰ βασίλεια, καὶ ἡ δευτέρα τῶν θυγατέρων τοῦ Κωνσταντίνου συζεύγνυται αὐτῷ πρὸς συμβίωσιν· ἡ γὰρ τρίτη, διὰ τὸ τὴν ἐκείνου εὐνέτειραν ἄκουσαν διαζυγῆναι αὐτοῦ, παραιτήσασθαι τὴν μετ' αὐτοῦ συμβίωσιν λέγεται. Καὶ ὁ μὲν Καῖσαρ ἀναῤῥηθεὶς συνήρμοστο τῇ Ζωῇ (2). Ὁ δὲ βασιλεὺς Κωνσταντῖνος, τρεῖς ἐπιβιοὺς ἡμέρας τῇ συνοικήσει αὐτῶν, ἀπέτισε τὸ χρεὼν, ἑβδομηκοντούτης καὶ πρὸς γεγονὼς, ἐνιαυτοὺς δὲ τρεῖς ἑνὸς ἐνδέοντος μηνὸς, τῆς βασιλείας κατοργήσάμενος.

ΙΑ'. Ῥωμανὸς δὲ λοιπὸν, ὃς Ἀργυρόπωλος ἐκαλεῖτο, τῶν σκήπτρων ἐπιλαμβάνεται, καὶ αὐτίκα τὸ Ἀλληλέγγυον φορολόγημα ῥιζόθεν ἐξέκοψε, καὶ τοῖς τοῦ Θεοῦ ὑμνῳδοῖς, τοῖς τῇ Μεγάλῃ ἐκκλησίᾳ κεκληρωμένοις, τὴν ἐκ τῶν βασιλείων ταμείων χορηγουμένην τῶν χρυσίνων διανομὴν προσθήκῃ ἐπηύξησεν, εἰδὼς ἐνδεῶς αὐτοῖς ἔχειν τὰ χορηγούμενα. Γέγονε γάρ ποτε τῆς τοῦ Θεοῦ Λόγου ἐπωνύμου Σοφίας μέγας οἰκονόμος, ἐπεὶ καὶ τῷ βασιλεῖ ἀνεῖτο πρόσθεν οἰκονόμους (3) τῆς ἐκκλησίας ταυτησὶ προχειρίζεσθαι, καὶ τοὺς διὰ χρέα δημόσια καθειργμένους ἢ καὶ ἰδιωτικὰ ἠλευθέρωσε, τὰ μὲν ἀποτινυὺς, τὰ δὲ δημόσια ἀφιεὶς, καὶ χρημάτων πολλῶν διάδοσιν ἐποιήσατο ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ πενθεροῦ αὐτοῦ, καὶ αἰχμαλώτους πλείστους ἐπρίατο, καὶ ὅσοι τῶν ἐπισκόπων ἐκ τοῦ Ἀλληλεγγύου φορολογήματος εἰς ἔνδειαν συνηλάθησαν, παρ' αὐτοῦ ἀνεκτήθησαν, καὶ τοὺς κακωθέντας παρὰ τοῦ τελευτήσαντος βασιλάως ἢ ἐν πηρώσει μαλῶε, ἢ ἐν δημεύσεσιν οὐσιῶν, ἢ ἀλλοίως παρεμυθήσατο, Ὑποπτευθεὶς δὲ ὁ μάγιστρος Παονσιάνος ὁ Βούλγαρος λάθρα τῇ τῆς Λὐγούστης Ζωῆς ἀδελφῇ τῇ Θεοδώρᾳ κοινολογεῖσθαι, καὶ τῇ βασιλείᾳ ἐποφθαλμεῖν, συλλαμβάνεται καὶ φρουρεῖται, εἶτα καὶ πηροῦται τοὺς ὀφθαλμοὺς, καὶ ἡ Θεοδώρα εἰς τὸ Πέτριον περιορίζεται, καὶ ὁ ἐπ' ἀδελφιδῇ δὲ τοῦ βασιλέως γαμβρὸς Κωνσταντῖνος ὁ Διογένης, ὡς τυραννίδα μελετῶν κατηγορηθεὶς, δεσμευθεὶς ἐν πύργῳ καθείργνυται. Τοῦ μέντοι τῆς Ἀβασγίας ἡγεμονεύοντος Δεωγρίου θανόντος, ἡ τούτου σύζυγος σπονδὰς ἐζήτησε, καὶ σύνοικον τῷ υἱῷ. Καὶ ὁ βασιλεὺς τάς τε σπονδὰς ἀνεκαίνισε, καὶ τὴν παῖδα Βασιλείου τοῦ ἀδελφοῦ αὐτοῦ τὴν Ἑλένην νύμφην εἰς Ἀβασγίαν ἀπέστειλε, τὸν νυμφίον Παγκράτιν κουροπαλάτην τετιμηκώς. Ὁ δὲ βασιλεὺς κακὰ τοῦ Χάλεπ ὁρμῆσαι, ὃ καὶ Βέῤῥοια λέγεται, ἠβούλετό τε καὶ ἡτοιμάζετο. Ἁλλὰς γὰρ τῶν πόλεων τῆς τε Φοινίκης καὶ τῆς Σύρίας τοῦ Νικηφόρου καὶ τοῦ Ἰωάννου τῶν βασιλέων ὑπαγαγόντων τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ, ὁ μετ' ἐκείνους Βασίλειος, ταῖς μετὰ Βουλγάρων σχολάζων μάχαις, καιρὸν οὐκ ἔσχε τὰς ἐαλωκυίας ἀσφαλίζεσθαι πόλεις· αἴδ' ὅμως, μέχρι μὲν περιῆν ἐκεῖνος, οὐκ ἐτόλμων εἰς προῦπτον τὸν τῆς δουλείας ζυγὸν ἀποσείσασθαι. Τοῦ δὲ Κωνσταντίνου τῶν σκήπτρων ἐπειλημμένου, καὶ ἀνειμένως τὴν βασιλείαν ἰθύνοντος, οἱ τῆς Ἄγαρ ἀπόγονοι, τοῦτον εἶναι τὸν καιρὸν γνόντες πρὸς τὸ μελετώμενον αὐτοῖς ἐπιτήδειον, τοῖς τῶν πόλεων φρουροῖς ἐπιτίθενται, καὶ τούτους διαχειρι-

Λ XI. Romanus deinceps, qui Argyropolus vocatur, sceptris potitus, tributum allelengyum statim funditus exstirpavit: Dei cantoribus Magnæ Ecclesiæ attributis, imperatorium aureorum largitionem e fisco tribui solitam adauxit: cum ex eo sciret id stipendium eis non sufficere, quod aliquando ædis Sanctæ Sophiæ œconomus fuerat, dum id munus ab imperatore tribui solebat. Ob æs alienum sive publicum sive privatum nexos liberavit, illo abolito, hoc soluto: pro Constantino socero maximam pecuniam distribuit: plurimo captivos redemit; 230 episcopos per allelengyum ad egestatem redactos, refocillavit; a defuncto imperatore sive mutilatione corporis, sive bonorum publicatione, sive aliis modis afflictos consolatus est. Sed Prusianum magistrum, Bulgarum, B suspectum quasi clandestina cum Theodora Zoes Augustæ sorore consilia tractaret, regnoque inhiaret, comprehensum in custodiam dedit, ac postea cæcavit; Theodoram in Petrium relegavit; Constantinum Diogenem neptis ex sorore maritum, ob affectatæ tyrannidis crimen, vinctum in turrem, conjecit. Mortuo Georgio Albasgiæ principe, viduam ejus, renovationem fœderis, et filio uxorem potentem, utriusque voti compotem fecit, renovato fœdere, et Helena ex fratre Basilio nepte, in Abasgiam missa, cujus sponsum Pancratium curopalatam designavit. Chalepum urbem, quæ et Berrœa dicitur, oppugnare instituit, ad eamque rem se paravit. Nam cum Nicephorus et Joannes imperatores multas urbes Phœniciæ et Syriæ Romanorum imperio subjecissent, Basilius qui secutus est, C Bulgaricis expeditionibus occupatus, eas firmandi otium non habuit: neque tamen, quoad is vixit, illæ ausæ fuerunt jugum servitutis aperte excutere. Cæterum Constantino rerum potito, et dissolute imperium administrante, Agareni tempus id exsequendi ea quæ animis agitarant, commodum esse rati, cæsis præsidiis urbes occupant. Chalepi vero princeps continentibus excursionibus et populationibus ipsam Antiochiam, aliasque finitimas Syriæ gentes Romanæ ditionis vexabat: a quo dux Antiochenus, Constantino adhuc superstite, turpiter victus, plerisque suorum amissis, vix effugerat: cui Romanus successore dato, ipse quoque ad bellum ivit. Cum autem in itinere D Chalepitæ legati cum muneribus multis ei occurrissent, veniam petentes, ac servitutis renovatio-

## Variæ lectiones et notæ.

(2) Συνήρμοστο τῇ Ζωῇ. Lupus protospatha: *Anno* 1029 *mortuus est Constantinus imp. in vigilia S. Martini, et se vivente imposuit in sede sua Romanum, et dedit ei uxorem Zoan filiam suam.*

(3) Οἰκονόμους. Vide *Gloss. med. Græcit.* in Οἰκονόμος.

nem et pensionem non solutorum tributorum, quæ in posterum etiam citra tergiversationem daturi essent, polliccntes : quamvis multis illustribus ducibus ab ulteriore progressu tanquam inutili deterrentibus, pacemque suadentibus, tamen coptis non destitit, Agarenos facile se victurum opinatus, 235 et re bene gesta magnum et memorabile nomen consecuturum. Progressus igitur in Syriam vallum communit. Sed Arabes, homines audaces atque expediti in celeribus equis, et nudi, ab utraque valli parte collocatis insidiis, si qui pabulatum aut aquatum exibant, eos impetu facto cædebant aut capiebant, qua re fiebat, ut et milites et equi præ siti deficerent. Deinde incursionibus illis magis assuefacti, et Romanos ignaviæ damnantes, subito ex montibus decurrere, et clamore barbarico sublato, speciem multitudinis ingerentes, quod non densata acie, sed laxata excurrerent, citraque ordinem vallum invaderent, omnem exercitum territum in fugam verterunt, atque ipse imperator captus esset, a turbata custodia incustoditus relictus, nisi quidam eum in equum sublatum ad fugam cohortatus esset metu pene exanimatum. Romani igitur nullo ordine temereque fugiebant : Barbari vero inexspectata fuga stupefacti, fugientes non sunt persecuti, sed vallum ingressi, paucis illustribus captis, direptoque imperatorio tabernaculo, variarum opum et regiæ magnificentiæ plena, cæterisque impedimentis in equos suos impositis recesserunt.

Σάμενοι, αὐτοὶ τῶν πόλεων γεγόνασιν ἐγκρατεῖς. Ὁ δὲ τοῦ Χάλεπ ἀρχηγὸς, καὶ ἐκδρομὰς ποιούμενος συνεχεῖς, αὐτήν τε τὴν Ἀντιόχειαν, καὶ ὅσα πρόσοικα ἔθνη τῇ Σύρων γῇ, καὶ τοῖς Ῥωμαίοις ὑπήκοα, ἐληίζετο. Ὧι ἀντιπαραταξάμενος ὁ τῆς Ἀντιοχείας δοὺξ, ἔτι περιόντος τοῦ αὐτοκράτορος Κωνσταντίνου, αἰσχρῶς ἡττήθη, καὶ τοὺς πλείους τῶν σὺν αὐτῷ ἀλοβεβληκὼς, μόλις ἠδυνήθη φυγεῖν ἐκεῖνος. Τοῦτον ὁ Ῥωμανὸς ἀφελόμενος τὴν ἀρχὴν, πρυεχειρίσατο ἕτερον· ἐξώρμησε δὲ κἀκεῖνος, καὶ ἀπιόντι προσίασι πρέσβεις μετα δώρων πολυτελῶν, πρὸς τοῦ Χαλεπίτου ἐσταλμένοι, αἰτούμενοι συγγνώμης τυχεῖν, καὶ τὴν δουλείαν ἀνανεώσασθαι, καὶ ἀποδοῦναι τὰς εἰσφοράς, αἵπερ ἔτυχον ὑστερήσασαι, καὶ ταύτας ἐτησίως εἰσφέρειν μετ' εὐγνωμοσύνης εἰς τὸ ἐπιόν. Ὁ δὲ, καίτοι πολλῶν καὶ στρατηγίαις ἐπιφανῶν ἀποτρεπόντων αὐτῷ τὴν εἰς τὰ πρόσω φορὰν ὡς ἀσύμφορον, καὶ σπείσασθαι συμβουλευόντων, οὐκ ἀνείργετο τῆς ὁρμῆς, ἀλλὰ ῥᾷον κρατῆσαι τῶν Ἀγαρηνῶν ἐσαντάζετο, καὶ τοῦτο κατορθωκὼς μέγα τι καὶ ὑπέρογκον ἅστο ἑαυτῷ περιποιήσασθαι σεμνολόγημα. Ἄπεισιν οὖν ἐν Συρίᾳ καὶ βάλλεται χάρακα. Ἄραβες δὲ αὐτόσκευοί τινες ἄνθρωποι καὶ τολμητίαι κέλητες ἐφ' ἵππων ὠκυπόδων γυμνοὶ ἑκατέρωθεν ἐλόχων τοῦ χάρακος, καὶ τοὺς εἰς συλλογὴν ἀπιόντας χιλοῦ ὕδατός τε ἀρδείαν ἐκθορόντες ἀνῄρουν ἢ καὶ συνήρπαζον, ὡς τούς τε στρατιώτας καὶ τὴν ἵππον αὐτῶν ἀπειρηκέναι τῷ δίψει. Εἶτα συνηθέστεροι γεγονότες ταῖς ἐκδρομαῖς πρὸς τοὺς Ῥωμαίους οἱ Ἄραβες, καὶ οἷον καταγνόντες δειλίαν αὐτῶν, ἁθρόον ἀπὸ τῶν μετεώρων ἐξωρμηκότες, καὶ βαρβαρικὸν, ἀλαλάξαντες, καὶ πλήθους φαντασίαν ἀπεργασάμενοι τῷ μὴ συνασπισμὸν τηρεῖν, ἀλλὰ διεσπασμένως ἐκτρέχειν, καὶ ἐπιέναι ἀσυντάκτως τῷ χάρακι, ἐκδείματοῦσιν ἅπαν τὸ στρατιωτικὸν, καὶ εἰς φυγὴν τρέπουσι, καὶ ἂν ἐάλω καὶ ὁ αὐτοκράτωρ αὐτὸς, τῆς περὶ αὐτὸν ἐκταραχθείσης φρουρᾶς, καὶ λελοιπυίας ἀφρούρητον τὸν φρουρούμενον, εἰ μή τις αὐτὸν ἐπὶ τὸν ἵππον ἀνέλαβε, καὶ φεύγειν ὑπέρρωσεν ἐκπεπνευκότα τῷ δέει μικροῦ. Ἀπῆσαν μὲν οὖν οἱ Ῥωμαῖοι ἀτάκτως, ὡς ἕκαστος ἔτυχε θέοντες. Οἱ δὲ Βάρβαροι τὸ παράλογον τῆς τροπῆς τεθηπότες, κατὰ τῶν ἀποδιδρασκόντων οὐκ ἐπεξῆλθον, ἀλλὰ κατὰ τοῦ χάρακος ἔβαινον, ὀλίγους τῶν ἐπιφανεστέρων ζωγρήσαντες, καὶ τήν τε σκηνὴν διηρπάκασι τὴν βασίλειον, μεστὴν οὖσαν πλούτου παντοδαποῦ καὶ πολυτελείας βασιλικῆς, καὶ τὴν ἄλλην ἀπυσκευὴν ἐφ' ἑαυτοὺς ἀναλέμενοι ἐπανέζευξαν.

XII. Imperator vero studio militum suorum Antiochiam perductus, atque inde propere Byzantium regressus, non eumdem animi habitum conservavit, sed mutatus in deterius, ut amissa pensaret, pro imperatore factus est exactor et acerbus quæstor, obsoleta patrum debita a liberis exigens, regis contra subditos reducensis, quos temporis diuturnitas vel extinxerat, vel cineribus obruerat fide multi paternis ædibus et fundis pellebantur, et pristinis opibus spoliati ad insignem egestatem adigebantur. Quæ quum fierent, nihil in fiscum inferebat, sed monasterio magnifico et æde in matris Dei honorem exstructa, non eam modo pecuniam, verum et e fisto depromptam consumebat, dum, ut ille ait.

ΙΒ'. Ὁ δὲ βασιλεὺς εἰς Ἀντιόχειαν διασέσωστο σπουδῇ τῶν περὶ αὐτὸν, κἀκεῖθεν ἐπὶ τὴν Κωνσταντινούπολιν ἀνέδραμεν, οὐκέτι τὴν πρόσθεν τῆς ψυχῆς δεικνυων διάθεσιν, ἀλλ' ἀλλιωθεὶς τὴν ἐπὶ τὸ χεῖρον ἀλλοίωσιν. Ἵνα γὰρ τῶν ἀπολωλότων ἰσοστάσια κτήσηται, πράκτωρ ἀντὶ κρατοῦντος ἐγένετο (3*), καὶ πικρὸς λογιστὴς, παῖδας πατέρων γεγηρακότα χρέα πραττόμενος, καὶ πυρκαϊὰς ἀνάπτων κατὰ τῶν ὑπηκόων, ἅσπερ ὁ χρόνος ἤδη πολὺς πρεσβεύσας κατέσβεσεν, ἢ τέως κατέχωσεν ὑπὸ σποδιᾷ. Ἐντεῦθεν πολλοὶ τῶν πατρῴων οἰκιῶν καὶ ἀγρῶν ἀπηλαύνοντο, καὶ τὴν πρὶν εὐκληρίαν ἐκδιδυσκόμενοι, εἰς πενίαν λαμπρὰν συνηλαύνοντο. Τῶν δ' οὕτως εἰσπραττομένων οὐδὲν εἰς τὸ δημόσιον εἰσεφέρετο, ἀλλὰ σεμνεῖον οἰκοδομῆσαι, καὶ ναὸν τῇ Θεομήτορι προθέμε-

## Variæ lectiones et notæ.

(3) Πράκτωρ ἀντὶ κρατοῦντος ἐγένετο. Psellus in laudata Epistola ad Monomachum, et Argyro : Ἀπαραίτητός τε τὸ ὀφειλόμενον εἰσεπράττετο, καὶ ἐν δαπάναις τὸ χρεωστούμενον κατεβάλλετο. Infra : Ἐντεῦθεν γνώμαις φαύλαις συνομιλῶν, καὶ διανοίαις συνδιαιτώμενος κακυήθεσι, μετεβλήθη τὴν ψυχὴν, καὶ πρὸς πράξεις τὸν λογισμὸν ἠλλοίωσεν οὐ καλάς.

νος (4) καθιδρύσασθαι, ἐκεῖ καὶ κατεδαπάνα, καὶ ἐκ τῶν βασιλικῶν θησαυρῶν ἀνήλισκεν ἕτερα, ἄρτι μὲν ἀνεγείρων, ἄρτι δὲ καταστρέφων τὸ ἤδη ἀνεγερθέν, καὶ ἢ μετεωρότερον ἀνοικοδομῶν αὖθις αὐτό, ἢ εὐρύτερον, ἢ τὸν σχηματισμὸν ποικίλλων, ἢ τρόπον ἄλλον τὸ καινιζόμενον ἀλλοιῶν. Ἀπένειμε δὲ καὶ πρασίδους τοῖς μοναστα῀ς, οὐκ ἀναλόγους μονάζουσιν, ἀλλὰ τρυφῶσι προσηκούσας, καὶ βίον ἔλκουσιν ἀνειμένον καὶ ἀβροδίαιτον, χώρας ὅλας καὶ πόλεις τῶν δημοσίων, καὶ ταύτας τὰς πιοτάτας καὶ παμφόρους ἀφιερώσας αὐτοῖς· ἀλλὰ μὴ πλείω περὶ τούτων. Κατέλαβε δὲ τὴν βασιλίδα τῶν πόλεων. Ἄμερ ὁ τοῦ Χαλεπίτου υἱὸς σὺν δώροις πολλοῖς, τὴν εἰρήνην ἀνανεούμενος, καὶ ὁ βασιλεὺς ἐπὶ ταύτῃ ἐπένευσεν. Ἡ βασιλὶς δὲ Ζωὴ, ἀφικομένη εἰς τὸ Πέτριον (5), τὴν ἑαυτῆς ἀδελφὴν Θεοδώραν ἀπέκειρε μοναχήν. Ἐκδημήσαντος δὲ τοῦ βασιλέως τῆς πόλεως, ὁ Διογένης Κωνσταντῖνος, τυραννίδα μελετῶν, καὶ ἀποδρᾶναι μέλλων εἰς τὸ Ἰλλυρικὸν, κατεσχέθη, καὶ ἐταζόμενος ἑαυτὸν κατεκρήμνισε καὶ ἀπέθανεν, ἵνα μὴ τοὺς συνειδότας ἐκφανίσῃ, τῇ βίᾳ νικώμενος. Τότε μέντοι Ἄραβες μὲν τὴν Μεσοποταμίαν κατέδραμον, οἱ δέ γε Πατζινάκαι τὴν Βουλγαρίαν, καὶ τὴν τοῦ Ἰλλυρικοῦ παράλιον οἱ Ἀγαρηνοί. Τούτοις δὲ μόνοις στόλος Ῥωμαϊκὸς προσβαλὼν, τὰ πλείω τῶν σκαφῶν ἐνέπρησε καὶ κατέκαυσεν· οἱ δ' ἐκ τῆς ναυμαχίας ἀποδιδράσκοντες κλύδωνι περὶ τὸ Σικελικὸν διεφθάρησαν πέλαγος. Καὶ αὖθις ἐξ Ἀφρικῆς περὶ που τὰς χιλίας νῆες ἐξέπλευσαν, καὶ πολλὰς τῶν νήσων, ἔνιά τε τῶν παραλίων ἐδήωσαν. Ἀλλὰ τούτων μοίρᾳ τινὶ περιτυχοῦσαι τριήρεις Ῥωμαϊκαὶ πολλοὺς ἀνεῖλον, καὶ πεντακοσίους εἷλον ζωοὺς, οἳ τῷ βασιλεῖ ὑπὸ δεσμοῖς ἐκομίσθησαν. Ἀλλὰ καὶ ὁ πρωτοσπαθάριος Γεώργιος ὁ Μανιάκης (6) τῶν παρευφρατιδίων πόλεων στρατηγῶν τῆς Ἐδέσσης ἐκράτησεν, ἔνθα καὶ τὴν αὐτόγραφων ἐπιστολὴν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εὑρηκὼς, τῷ βασιλεῖ ἐξαπέστειλε. Λιμοῦ δὲ τὴν Καππαδοκίαν, καὶ τὸ Ἀρμενιακὸν, καὶ τὴν Παφλαγονίαν πιέζοντος, καὶ πολλοὶ μεταναστεῦσαι τῶν πατρίδων αὐτῶν ἠναγκάσθησαν, οὓς χρυσίου δι*α*νομαῖς ἀνακτησάμενος ὁ κρατῶν, πέπεικεν αὖθις τὰς ἐνεγκούσας καταλαβεῖν. Σεισμῶν δὲ γενομένων, ξενῶνές τε κακῶς διετέθησαν, καὶ οἱ ἀντίπορθμοι τῆς Βυζαντίδος ἀνδρῶνες, οἳ διαιτητήριον ἔκπαλαι τοῖς τὰ σώματα λελωβημένοις ἐκ τῆς νόσου τῆς ἱερᾶς, καὶ τοῖς λελεπρωμένοις τετάχαται. Ἀλλὰ καὶ τούτους ὁ βασιλεὺς ἀνεκαίνισε, καὶ τοῦ τὸ ὕδωρ εἰς τὴν μεγάλην πόλιν εἰσάγοντος ὀλκοῦ διαῤῥηχθέντος ἐπεμελήσατο.

A *Diruit, ædificat, mutat quadrata rotundis.* Sumptus monachis suppeditavit, non illi vitæ generi, sed hominibus delicatis et voluptariis aptos, consecratis e publico provinciis totis **232** et urbibus, iisque pinguissimis et fertilissimis. Atque hæc hactenus. Amer autem Chalepitæ filius urbem regiam ingressus, pacem multis muneribus ab imperatore impetratam renovavit. Zoe imperatrix in Petrium profecta sororem Theodoram pro monacha tolondit. Constantinus Diogenes post imperatoris ex urbe discessum, regnum affectans, dum in Illyricum aufugit, captus est: qui cum interrogaretur, se præcipitem dedit, morique præoptavit potius quam vi coactus prodere conscios. Iis temporibus Arabes Mesopotamiam incursarunt, Patzinacæ Bulgariam, et oram Illyrici maritimam Agareni: cum quibus solis congressa classis Romana, plerasque navos eorum incensas combussit: qui o pugna evaserant in mari Siculo tempestato pericrunt. Ex Africa quoque circiter mille naves egressæ, multas insulas et loca maritima quædam vastaverunt. Sed Romanæ triremes partem quamdam earum adeptæ, multos sustulerunt, et quingentos captos ad imperatorem in vinculis miserunt. Georgius vero Maniaces protospatharius, urbium ad Euphratem prætor, Edessa potitus, epistolam Servatoris nostri Jesu Christi manu scriptam, quam ibi invenerat, imperatori misit. Fame porro Cappadociam, Armeniam et Paphlagoniam premente, locustis vero pene totum Orientem infestantibus, multi coacti sunt patria relicta, novas sedes quæritare: quibus imperator auri largitionibus sublevatis persuasit ut ad sua reverterentur. Idem hospitales domos atque ædificia Byzantio obversa, in quæ antiquitus ii quorum corpora vel sacro morbo vitiata, vel lepra infecta erant, recipiebantur, terræmotibus labefactata renovavit: aquæductum etiam urbis fractum refecit.

B

C

## Variæ lectiones et notæ.

(4) Τὸν ναὸν τῇ Θεομήτορι προθέμενος. Τῆς Περιβλέπτου nomine insignis ædes, de qua sic Michael Psellus, lib. III Hist. ms. Βουλόμενος δὲ καὶ τὴν Θεομήτορα καλλίονι τῶν ἄλλων κατακοσμῆσαι ὀνόματι, ἔλαθεν ἀνθρωπικότερον ταύτην ἐπονομάσας, εἰ καὶ περίβλεπτός ἐστι τοὔνομα, ὡς ἀληθῶς ἡ Περίβλεπτος. Ἐπὶ τούτοις καὶ προσθήκη τις ἑτέρα προσεγεγόνει, καὶ ὁ ναὸς καταγωγὴ γίνεται μοναστῶν. Ut porro sub ædis condendæ prætextu thesauros publicos exhauserit, et subditos vexerit, paulo supra enarrat. Sed de hac æde alia observamus in nostra *Constantinopoli christiana*, lib. IV. pag, 94.

D

(5) Εἰς τὸ Πέτριον. Quid sit Petrium, diximus in Notis ad Alexiadem, p. 249. Locus scilicet fuit extra urbem versus sinum Ceratinum, in quo exstructa varia ædificia, ac monasteria, in quibus præsertim recensetur quod S. Joannis Baptistæ nomen prætulit, de quo hic Zonaras intelligendus, et alia quorum passim meminimus in nostra *Constantinopoli*, quibus adjungenda ædes S. Stephani, ex scriptore ms. Vitæ S. Theodori Syceotæ: Αὐτοῦ δὲ ἐμβληθέντος ἐν τῷ ναῷ ἁγίου πρωτομάρτυρος Στεφάνου τῷ καλουμένῳ Πετρίᾳ, etc. Monasterium vero Petri seu τὰ Πέτρια, inter imperatoria monasteria recenset Theodorus Hermopolites ms. lib. v. tit. 2.

(6) Γεώργιος ὁ Μανιάκης. Michael Psellus, lib. v. Hist. ms. de Maniace: Τοῦτον ἐγὼ τὸν ἄνδρα καὶ τεθέαμαι καὶ τεθαύμακα· συνενήνοχε γὰρ αὐτῷ ἡ φύσις, ὁπόσα συμπρέπει τῷ στρατηγήσοντι· ἦν γὰρ ἡλικίαν εἰς δέκατον ἀνεστηκὼς πόδα· καὶ οἱ πρὸς αὐτὸν ὁρῶντες ὥσπερ εἰς κολωνὸν ἢ κορυφὴν ὄρους ἀνέβλεπον, etc.

XIII. Iis peractis fata ei instabant: quo autem pacto sit defunctus exponendum est. Imperio recens politus, longa sibi et vitæ et regni tempora policebatur, quamvis eo jam sexagenarius politus, neque imperii successorem e lumbis suis ortum relicturum somniabat: neque reputabat imperatricem quam in matrimonio habebat quinquagenariam, effeto utero ineptam esse ad semen prolificem **233** excipiendum: ac principio rei venereæ magna contentione incumbebat unctionibus quibusdam utendo, et conjugi lapillos appendendo, quæ conceptum adjuturæ viderentur, illa ferente omnia, ac ne a carminibus quidem et incantationibus abhorrente. Sed eum omnia frustra esse, neque se voti compotem posse fieri cerneret: non perinde erga uxorem affectus, rarius illam invisebat, cum natura segnior ad coitum et mollior, tum vero ætate salacitate hebetata. Ut igitur exactis aliquos in imperio annis, imperatricem aversabatur, illa et sui contemptu et libidine irritata est ad viri odium. Erat autem Romano privato adhuc spadio, cujus fratris Michaelis faciem natura ad exquisitam pulchritudinem expolierat: quijam imperatori a fratre commendatus, inter cubiculi ministros ascitus fuerat. Ejus igitur amore capta imperatrix ardebat animo, quem ardorem quotidianus conspectus pulchritudinis illius inflammabat. Cum autem spadonem illum pridem odisset, tum hominem accersebat, et inter familiarius colloquendum percontationes de Michaele interjiciebat. Id cum sæpius fieret, homo acutus, amore intellecto, fratrem monuit ut imperatricem conveniret: sique ab illa tentaretur, nihil verecundatus eam et contrectaret, et oscularetur, et amplecteretur. Quid multa? usque ad coitum processit amor, ac tandem eo res devenit. ut mulieris erga Michaelem affectus palam erumperet, neque in regia tantum, sed et in triviis susurraretur, soli imperatori ignotus, cui in eodem cum imperatrice lecto cubanti, fricare pedes jubebatur Michael. Quis vero eum mulieris quoque pedes non attrectasse credat? Ita factus est imperator amborum quasi leno et concubinus. Ut autem cum et soror Pulcheria, et alii eam fabulam edoctum, ut sibi caveret monuerunt: nihil egit aliud, nisi ut suspectum regaret, num ab imperatrice amaretur? cumque inficiantem et negantem sacramento obstringeret: cumque ille pejerasset, calumniam esse putavit verba aliorum. Cæterum Michaelem, ob id perjurium, atrox morbus invasisse fertur: nam, ut quidam tradunt, certis intervallis et mente alienabatur, **234** et oculos distorquebat, et tremore corripiebatur, et humi procidebat: deinde ad se

ΙΓ'. Ἤδη δέ οἱ πρὸς τέλος ἤγγικε τὸ βιώσιμον· τὸ δ' ὅπως ἀπεβίω, διηγητέον. Ἄρτι τῆς βασιλείας ἐπιτυχών, χρόνους ἑαυτῷ καὶ τῆς ζωῆς καὶ τῆς ἀρχῆς ἐπεμέτρει μακρούς, κατὰ ταῦτα ἑξηκοντούτης (7) ὢν ὅτε τῶν σκήπτρων ἐπελήφθη καὶ διαδοχὴν τῇ βασιλείᾳ καταλιπεῖν ἐκ τῆς ὀσφύος αὐτοῦ ἐφαντάζετο, μηδ' ὅτιπερ ἡ βασιλὶς ἧ συνῴκιστο πεντηκοντούτης ἦν, καὶ ὑπέρακμος, καὶ ἄνικμος τὴν νηδὺν πρὸς σπερμάτων ὑποδοχήν, δυνάμενος συνιδεῖν. Πρότερον μὲν οὖν ἐσπουδάκει περὶ τὰ ἀφροδίσια, καὶ κατέτεινεν ἑαυτὸν, καὶ χρίσμασί τισιν ἐκέχρητο, καὶ τῇ συνοίκῳ προσήρτα λιπίδια, ὡς δή τι ἐνεργοῦντα περὶ τὴν κύησιν. Ἤδη δὲ καὶ ἀμμάτων καὶ ἐπῳσμάτων ἠνείχετο, καὶ προσίετο ἐπῳδάς. Ἐπεὶ δ' ἐγνώκει πάντα μάτην γινόμενα ὁ κρατῶν, καὶ ἀπεγνώκει τὸ σπουδαζόμενον, οὐκέθ' ὁμοίως διέκειτο περὶ τὴν εὐνέτειραν, ἀλλ' ἧττον αὐτῇ προσήει. Ἦν γὰρ καὶ φύσει νωθὴς πρὸς μίξιν καὶ μαλθακώτερος. Ἤδη δὲ καὶ ὁ χρόνος αὐτῷ τὴν κίνησιν ἤμβλυνεν. Ὡς δέ τινες αὐτῷ ἐπὶ τῇ βασιλείᾳ ἐξεμετρήθησαν ἐνιαυτοὶ, καὶ ἀπυστρύφως εἶχε πρὸς τὴν βασίλισσαν, ἡ δὲ καταφρονουμένη πρὸς μῖσος ἠρέθιστο, καὶ πλέον δι' ὁμιλίαν ἀνδρός. Ἦν δέ τις καὶ πρὸ τῆς βασιλείας ἐκτομίας ὑπηρέτης τῷ βασιλεῖ, τούτῳ δ' ἦσαν ὁμαίμονες, ὧν εἷς ἦν καὶ ὁ Μιχαὴλ, ἀνὴρ ᾧ τὴν ὄψιν ἡ φύσις ἀπέξεσεν εἰς ἀκριβῆ ὡραιότητα. Τοῦτον ὁ ἀδελφὸς μετὰ τὴν βασιλείαν παρέστησε τῷ Ῥωμανῷ προσληφθησόμενον ὑπ' αὐτοῦ· ὃ δὲ τοὺς θαλαμηπολοῦσι τὸν νεανίαν κατέταξε. Τούτου τῷ ἔρωτι ἁλοῦσα ἡ βασιλὶς ἐπυρπολεῖτο τὴν ψυχὴν, καὶ τὸ πῦρ τὸ ἐκείνου κάλλος καθ' ἑκάστην ὁρώμενον ὑπανέφλεγε. Μισούμενος δ' αὐτῇ πρώην ὁ ἐκτομίας, τότε καὶ προσεκαλεῖτο, καὶ ὁμιλίας ἠξίωτο γνησιωτέρας, εἶτα καὶ περὶ τοῦ Μιχαὴλ ἠρωτᾶτο τοῦ ἀδελφοῦ. Πολλάκις δὲ τούτου γενομένου, δεινὸς ὢν ἐκεῖνος, συνῆκε τὸν ἔρωτα, καὶ τῷ ἀδελφῷ ὑπέθετο καὶ προσιέναι τῇ βασιλίσσῃ, καὶ εἰ πειρῷτο ἐκείνη αὐτοῦ, μὴ ὑποστα λῆναι, ἀλλὰ καὶ ἅψασθαι καὶ φιλῆσαι καὶ προσφῦναι αὐτῇ. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; μέχρι καὶ συνουσιασμοῦ τὰ τοῦ ἔρωτος κατηντήκεσαν, καὶ προϊόντος τοῦ χρόνου εἰς προῦπτον σχεδὸν τὸ περὶ τὸν Μιχαὴλ ἐξερράγη φίλτρον, καὶ ἦν ὑποψιθυριζόμενον οὐ τοῖς περὶ τὰ βασίλεια μόνον, ἀλλὰ καὶ τοῖς ἐν ταῖς τριόδοις, μόνῳ δ' ἠγνοεῖτο τῷ αὐτοκράτορι, ὅθεν καὶ συγκειμένῳ τῇ βασιλίσσῃ αὐτῷ ἐπὶ τῆς εὐνῆς ὁ Μιχαὴλ εἰσκαλούμενος ἀναπρίβειν οἱ τοὺς ποδας κεκέλευστο. Τί γοῦν ἂν τις οἰήσαιτο ἢ ὅτι καὶ τῶν ἐκείνης ἥπτετο ποδῶν; Καὶ οἷον προαγωγὸς ἀμφοῖν ὁ βασιλεὺς καὶ ὁμευνέτης ἐγίνετο. Ὡς δὲ καὶ ἡ ἀδελφὴ Πουλχερία (8) καὶ ἕτεροι περὶ τοῦ δράματος αὐτὸν ἀνεδίδαξαν, καὶ φυλάττεσθαι παρῄγγύησαν, οὐδὲν ἕτερον ἐποίησεν, ἀλλὰ τὸν ὑποπτευόμενον αὐτῷ καλέσας, εἰ ἐρῷτο

frater oculos eruit ob tyrannidem: ex quo conjugio nata filia unica nupta Constantino Monomacho postmodum imperatori, ut scribit Michael Psellus. lib. v Hist. ms.

## Variæ lectiones et notæ.

(7) Ἑξηκοντούτης. Michael Psellus, lib. III, Hist. ms. Πλέον γὰρ ἢ δέκα ἔτεσι τὴν τῆς βασιλίδος ἡλικίαν ὑπεραναδεύηκεν.

(8) Καὶ ἡ ἀδελφὴ Πουλχερία. Quæ nupsit Basilio Solero patricio, cui Constantinus imp. Basilii

πρὸς τῆς βασιλίσσης ἠρώτα· ὁ δὲ ἀπηγόρευσε, καὶ ἀννηάμενος, πίστεις τοῦ λόγου καὶ ὅρκους ἀπητήθη καθ' ἱερῶν. Ἐπεὶ δ' ἐκεῖνος ἐπιορκήσας τοὺς ὅρκους ἐτέλεσε, διαβολὴν τοὺς τῶν ἄλλων ἤγητο λόγους. Λέγεται μέντοι διὰ τὴν ἐπιορκίαν νόσημά τι δεινὸν ἐνσκῆψαι τῷ Μιχαήλ, Τὸ δ' ἦν κατά τινας περιόδους αὐτῷ παρακοπὴ τοῦ νοὸς, τῶν ὀφθαλμῶν τε διαστροφὴ, καὶ κλόνος τοῦ σώματος, καὶ κατάπτωσις ἐπὶ γῆς, εἶτ' ἐπανῆει εἰς ἑαυτὸν, καὶ ἀποκαθίστατο. Τοῦτο πολλάκις καὶ τοῦ βασιλέως ἐνώπιον ἔπαθεν· ὁ δὲ, τοῦ πάθους οἰκτειρήσας τὸν Μιχαὴλ, ἔτι μᾶλλον ψευδῆ ᾤετο τὰ λεγόμενα, καὶ μετ' ἐρᾶν μήτ' ἐρᾶσθαι τοῦτον οὕτως ἔχοντα ᾤετο. Εἰσὶ δ' οἳ λέγουσι μηδ' ἀγνοῆσαι τὸν βασιλέα τὸν ἔρωτα, εἰδότα δ' ὅτι σφριγᾷ ἡ βασίλισσα, καὶ περὶ τὰ ἀφροδίσια μέμηνε, τῆς πρὸς τὸν Μιχαὴλ αὐτῆς ῥοπῆς ἠνείχετο, ὑποκρινόμενος ἄγνοιαν, ἵνα μὴ πλείοσιν ὁμίλοιη. Τούτων δ' οὕτως ἐχόντων, ὁ αὐτοκράτωρ ἐνόσησε, καὶ οἱ διῳδήκει τὸ πρόσωπον, καὶ τὸ ἄσθμα ἦν συνεχὲς, καὶ ἡ ὄψις αὐτῷ ἐψκει νεκρῷ, καὶ τῆς κεφαλῆς αὐτοῦ τὸ πλέον ἐψίλωτο· αἱ γὰρ τρίχες αἱ τῆς ἀπερρύησαν. Λέγεται γοῦν φαρμάκοις περιεργασθῆναι ὁ ἄνθρωπος. Οὕτω δ' ἔχων ἀπῄει πρὸς βαλανεῖον τῶν ἐν τοῖς βασιλείοις λουσόμενος, καὶ ἀπῄει οὔτε χειραγωγούμενος, οὔτ' αὐτίκα τεθνήξεσθαι προσδυκώμενος. Ὡς δὲ τὸ σῶμα ἐκάθηρεν, εἰσέδυ τὴν ἐκεῖ κολυμβύθραν, ἔνθα δὴ τὸ πᾶν ᾄδεται γενέσθαι τοῦ δράματος· συμπιέσαι γάρ τινας αὐτῷ τὴν κεφαλὴν φασιν ἐπὶ τὸ ὕδωρ ἀφ' ἱκανὸν, καὶ οὕτως ἐκεῖθεν ἄπνουν ἀνιμηθῆναι σχεδὸν, καὶ ἀναχλιθῆναι πρὸς τὴν στρωμνήν. Θροῦ δ' ἐπὶ τούτῳ σομβάντος, παρῆλθε καὶ ἡ βασιλὶς, ὡς δή τι τῷ πάθει ἐπιστενάζουσα, καὶ πληροφορηθεῖσα τοῦ βασιλέως τὴν τελευτὴν, ἀπῆλθεν εὐθύς. Ὁ δὲ, βραχύ τι ἐπιβιοὺς ἄναυδος, εἶτα καὶ μελάντερόν τι ἀναγαγὼν διὰ τοῦ στόματος, ἀφῆκε τὸ πνεῦμα, ἔτη βασιλεύσας πέντε πρὸς τῷ ἡμίσει. λόγοις μὲν ἐντραφεὶς (9), Ἑλληνικῆς τε παιδείας μετεσχηκὼς, καὶ τῶν τῆς πολιτείας νόμων οὐκ ἀδαὴς, πλείω δ' εἰδέναι, ὧν ᾔδει ὡς ἀληθῶς, οἰόμενός τε καὶ σεμνυνόμενος.

A redibat. Idque sæpius ei etiam imperatore vidente accidebat, qui vicem hominis dolens, magis etiam suspicionem falsam judicabat; neque enim talem vel amare vel amari posse putabat. Sunt etiam qui dicant amorem illum non latuisse imperatorem: sed cum sciret mulierem lascivire ac insanire libidine, tolerasse propensionem ejus erga Michaelem, simulata ignorantia, ne illa cum pluribus rem haberet. Quæ cum ita essent, imperator in morbum incidit, inflata facie, quæ quidem mortui similis erat, ut crebro anhelitu ægre spiritum trahebat, maxima parte capitis calvus, capillis delapsis. Quod malum ei veneficiis conciliarum putabatur. Sic affectus in quoddam regiæ balneum lavatum abit, a nemine sustentatus, neque ullo putante eum statim moriturum. Ut autem purgato B corpore in alveum descendit, ibi tota fabula peracta esse fertur: nam quosdam caput ejus diu in aquam depressisse, et jam fere examinem inde extractum, et in lecto reclinatum. Qua de re rumore orto, etiam imperatrix, ob casum illum gemens scilicet, accessit: ac jam certa de illius nece statim recessit. Is vero cum paulisper adhuc sine voce jacuisset, rejecta per os nigra quadam materia, spiritum emisit. Regnavit annos quinque cum dimidio, ab inunte ætate in litteris eruditus, et Græca doctrina institutus, legumque civilium non ignarus. Plura tamen omnino se scire quam sciebat et putabat et gloriabatur.

ΙΔ'. Τοῦτον μὲν οὖν τοιοῦτον κανειλήφει τὸ τέρμα τῆς βιοτῆς. Ἡ δὲ βασιλὶς ὅλη τοῦ τὸν Μιχαὴλ ἐγκαθιδρῦσαι τῷ θρόνῳ τῆς βασιλείας ἐγένετο, καὶ τῶν περὶ αὐτὴν, τῶν πατρώων δηλαδὴ θεραπόντων αὐτῆς, ἀναβολῇ τὸ πρᾶγμα δοῦναι καὶ σκέψει συμβουλευόντων, ἡ δὲ οὐκ ἠνείχετο, κατεπειγομένη πρὸς τὴν τελεσιουργίαν καὶ παρὰ τοῦ ἐκτομίου Ἰωάννου τοῦ συγγόνου τοῦ Μιχαήλ, λάθρα πρὸς αὐτὴν ὑποψιθυρίσαντος, ὡς Ἀπολούμεθα αὐτίκα, εἰ βραχύ τινι καιρῷ τὸ ἀποτέλεσμα βραδυνεῖ. Λαβοῦσα τοίνυν εὐθὺς τὸν Μιχαὴλ, καὶ στολὴν αὐτῷ περιθεμένη βασίλειον, καὶ διαδήματι τὴν ἐκείνου κεφαλὴν αὐτὴ ἀναδήσασα, καὶ ἐπὶ θώκου βασιλικοῦ καθιδρύσασα, καὶ αὐτὴ παρακαθισαμένη, πᾶσι τοῖς τότε παροῦσι καὶ εὐφημεῖν καὶ προσκυνεῖν προυτρέπετο. Ἔνιοι δὲ καὶ τότε αὐτίκα νυκτὸς τὴν ἱεροτελετίαν τὴν γαμικὴν ἐπ' αὐτοῖς γενέσθαι ἱστόρησαν τοῦ πα- D

C XIV. Quo hunc vitæ exitum sortito, imperatrix tota in eo fuit ut Michaelem in regio solio collocaret. Quamvis autem familiares ejus, paterni videlicet ministri, suaderent ut mora interposita deliberaret: id aspernata consilium, rem ad finem perducere festinabat, incitante præsertim spadone Joanne fratre Michaelis, qui ei clam insusurrarat; *Sese omnes statim perituros, si qua in negotio mora interponeretur.* Statim igitur Michaeli ornatum regium accommodat, eique in regio solio collocato assidens omnes qui aderant hortatur, ut eum consalutent et adorent. Quidam auctores sunt, 235 eadem nocte sacrum nuptiale peractum, Alexio patriarcha in regium accersito, qui et Romanum mortuum, et Michaelem imperii auspicia adhuc peragentem invenerit. Enimvero eo facinore etiam foris vulgato, tota civitas novum imperatorem

## Variæ lectiones et notæ.

(9) Λόγοις μὲν εὖ τραφείς. Psellus in laudata Epistola ad Monomachum, de Argyro: Λόγου δὲ καὶ παιδείας οὐδεμιᾶς ἄμοιρος ἦν, ἀλλὰ τῇ πρὸς ταῦτα ἕξει τοῖς πρώτοις ἐφάμιλλος. Infra: Ἓν δὲ πρῶτον ἔργον ἐκείνου καὶ σπούδασμα, λύειν τὰ τῆς Γραφῆς ἄπορα, καὶ τὸν κεκρυμμένον ἀνορύττειν νοῦν, καὶ τὸν σκοπὸν ἀνευρίσκειν τοῦ αἰνίγματος· ὅθεν φιλοσόφοις ὁμίλει καὶ ῥήτορσι, καὶ περὶ τούτων μᾶλλον ἐσπουδάκει ἢ τὰ δημόσια. Idem lib. III Hist. ms. Ἦν μὲν οὖν ὁ ἀνὴρ καὶ λόγοις ἐπιτεθραμμένος Ἑλληνικοῖς, καὶ παιδείας μετεσχηκὼς ὅση τοῖς Ἰταλῶν λόγοις ἐξήρτητο.

consalutavit, partim huic gratificantes, partim læti, qui defuncti odio liberati essent. Imperatrix porro cum se quam rectissime sibi prospexisse, omnique potestate in se translata, Michaelem ministri vice habiturum putaret, opinione sua decepta est. Nam ad tempus ille quidem pristinum amorem simulans, obsequiis mulierem demulcere, eaque facere quæ illi grata et jucunda essent. Sed cum simulationem longius producere non posset, mutatis moribus eam suspectam habere: sibique metuens primarios illius ministros regia ejicere, ancillis item familiaribus amotis, alias substituere : denique gynæconitidem claudere, custodiaque adhibita, a nemine illam adiri pati, ni satellitum præfecto exposuisset, unde et ad quid veniret. Nam et suopte exemplo terrebatur, et fratris Joannis spadonis impulsu potissimum id facere putabatur. Qui spado, homo erat acutus et acer, obscuroque ingenio, varius erga eos quibuscum agebat, promptus, mole curarum indefessus, neque epulis neque vino deditus. Proinde nihil de reipublicæ gerendæ studio remittebat. Ac imperatricis hic status fuit. Michael vero communium rerum cura suscepta, cum morbus ejus ingravesceret, quem alii vindictam Numinis offensi perjurio interpretabantur, quo non secus atque olim Saul angebatur, alii amentiam et insaniam : in Joannem spadonem totius imperii gubernatio incubuit, cum quidem monachi vestem jam olim sumpsisset, sed habitu duntaxat illud vitæ genus profiteretur. Enimvero Constantinus Dalassenus patricius, domi degens, cum de novo imperatore audivisset, indignabatur summam rerum ad talem hominem esse devolutam. Quare Michael cum suis vehementer perturbatus verebatur ne Delassenus regnum affectaret. Itaque Joannes quendam mittit, qui jurejurando affirmaret nihil ei metuendum esse mali, viroque persuaderet ut imperatorem conveniret. **236** Qui eum venisset, ab imperatore benigne susceptus, ac muneribus et dignitate auctus, in urbe degere jussus est. Nicetas vero imperatoris frater, dux Daphnæ Antiochiæ designatus, non est in urbem ab Antiochenis admissus. Nam publicorum vectigalium exactore, a quo se durius tractatos putabant, interfecto, veriti ne ejus facinoris pœnas darent, portas ei clauserant: nec prius admisere quam jurejurando confirmasset cædem illam eis fraudi non futuram. Verum eo jurejurando nihil deterritus, multos occidit, et quibusdam insignibus civibus vinctis, in magnam urbem missis, fratri Joanni scripsit se ab Antiochenis ob benevolentiam eorum erga Delassenum exclusum fuisse. Hinc Dalassenus in insulam Platem relegatur, et Constantinus Ducas ejus gener, de injuria queritans et perjurium non dissimulans turri cuidam includitur. Post Dalassenus etiam e Plata translatus in turrim compingitur. Sub id tempus Agareni Myra ceperunt: Patzinacæ passim e Romanis provinciis prædas egerunt. Antiocheno duce Nicela

τριάρχου Ἀλεξίου ἀφικομένου πρὸς τὰ βασίλεια, καὶ τὸν μὲν Ῥωμανὸν τεθνεῶτα καταλαβόντος, τὸν δέ γε Μιχαὴλ ἔτι τὰ ἐπὶ τῇ βασιλείᾳ τελούμενον. Ἤδη δὲ καὶ τοῖς ἔξω διαδοθέντος τοῦ γεγονότος. καὶ πᾶσα ἡ πόλις τὸν νέον ἀνηγόρευεν αὐτοκράτορα, τὸ μὲν αὐτῷ χαριζόμενοι, τὸ δ' ὅτι τὸν ἀπιόντα ἀπεφορτίσαντο χαίροντες. Ἡ μὲν οὖν βασιλὶς ᾤετο βουλεύσασθαι ἄριστα, καὶ ἑαυτῇ τὴν πᾶσαν ἐξουσίαν περιποιήσασθαι, καὶ τὸν Μιχαὴλ ὑπηρέτην ἕξειν· τὸ δά τἰ ἑτεροῖον συμβέβηκε. Μέχρι μὲν γάρ τινος ἐσχημάτιζετο τηρεῖν τὴν πρὸς τὸν βασιλίδα διάθεσιν, καὶ ταύτῃ χαρίζεσθαι, καὶ τὰ ἐκείνῃ θυμήρη ποιεῖν, εἶτα οὐκ εἰς μακρὰν ἐκτείται τὲ προσπολήσιν ἀνασχόμενος, μεθαρμόττεται, καὶ ὑποπτεύει αὐτὴν, καὶ δείσας περὶ ἑαυτῷ, μεθίστησι μὲν τῶν βασιλείων τοὺς ἐκτομίας τους αὐτῆς παρφους θεράποντας, καὶ τὰς αὐτῇ συνήθεις θεραπαίνας αὐτῆς διαιρεῖ, ἑτέρας δ' αὐτῇ πρὸς θεραπείαν ἀντικαθίστησι. Καὶ ἐπὶ τούτοις τὴν γυναικωνῖτιν αὐτῇ ἀποφράγνυσι, καὶ φρουρὰν περιίστησι, καὶ οὐδενὶ προσιέναι ταύτῃ παρακδχώρητο, εἰ μὴ τὸν προσιόντα ὁ φρούραρχος κατεξήτασεν, ἄθεν ἥκοι, καὶ τίνος δεόμενος παραγένοιτο. Ἐδεδίει γὰρ οἴκοθεν ἔχων τοῦ δέους τὰς ἀφορμάς. Εἰς ταῦτα δ' ἐνάγεσθαι πλέον ὁ Μιχαὴλ λέγεται παρὰ τοῦ συγγόνου αὐτοῦ Ἰωάννου τοῦ ἐκτομίου. Ἦν γὰρ δεινὸς ὁ ἄνθρωπος καὶ δραστήριος, καὶ τὸ ἦθος ὑποκαθήμενος, καὶ πρὸς τοὺς ἐντυγχάνοντας ποικιλλόμενος, περισπερχής τε καὶ πρὸς φροντίδων ὄγκον ἀκάματος, καὶ οὐδὲ γαστριτόμενος, οὐδὲ περὶ τὸν ἄκρατον λιχνευόμενος, οὐδὲ ἡττώμενος οἴνου, τῆς περὶ τὰς δημοσίας διοικήσεις καθυφίει σπουδῆς· Τὰ μὲν οὖν περὶ τὴν βασίλισσαν ᾠκονόμητο οὕτωσί· ὁ δὲ Μιχαὴλ τῆς τῶν κοινῶν πραγμάτων οἰκονομίας ἀντείχετο· εἶτα τῷ μὲν ἐκραταιοῦτο ἡ νόσος, ἣν οἱ μὲν ἐκάλουν δαιμόνιον μήνιμα διὰ τὴν ἐπιορκίαν ἐνσκῆψαν αὐτῷ, καὶ συμπνίγον τὸν ἄνθρωπον, ὡς πάλαι δὴ τὸν Σαοὺλ. οἱ δὲ μανίαν τε καὶ παραφοράν· ὁ δ' ἐκτομίας Ἰωάννης τὴν ὅλην ἀνεδέξατο τῆς βασιλείας κυβέρνησιν, μοναχικὸν μὲν ἔνδυμα πάλαι ἀμφιασάμενος, τοῦτο δὲ τηρῶν ἄχρι μόνου τοῦ σχήματος. Κωνσταντῖνος δὲ πατρίκιος ὁ Δαλασσηνὸς, οἴκοι διατρίβων, καὶ περὶ τοῦ νέου βασιλέως πυθόμενος, δυσανασχετῶν ἦν, ὅτι εἰς ἄνδρα τοιοῦτον ἡ βασιλεία περιέστη Ῥωμαίων. Τοῦτο βορύβου τοὺς περὶ τὸν βασιλέα ἐμέστωσε, πτοηθέντας μή ποτε ὁ Δαλασσηνὸς τυραννίδι ἐπίθηται. Καὶ στέλλει ὁ Ἰωάννης τὸν ὑρκοις αὐτὸν βεβαιώσοντα ὡς οὐδενὸς ἀνιαροῦ πειραθήσεται, καὶ πείσοντα τὸν ἄνδρα τῷ βασιλεῖ προσελθεῖν. Καὶ ὁ μὲν προσῆλθε, καὶ ὁ βασιλεὺς αὐτῶν ἀσπασίως προσήκατο, καὶ ἐδεξιώσατο δωρεαῖς, καὶ μείζονι ἀξιώματι ἐτίμησε, καὶ ἐν τῇ τόλει διάγειν ἐκέλευσε. Νικήτας δὲ ὁ τοῦ βασιλέως ὁμαίμων, δοὺξ τῆς ἐπὶ Δάφνῃ Ἀντιοχείας προχειρισθείς, ἤρχθη παρὰ τῶν Ἀντιοχέων τῆς εἰς τὴν πόλιν εἰσόδου. Πράκτορα γάρ τινα τῶν δημοσίων τελῶν, ὡς αὐτοῖς φορτικῶς προσενηνεγμένον, ἀνελόντες οἱ τῆς Ἀντιοχείας πολῖται, καὶ δεδοικότες μὴ δίκας τῷ δουκὶ τοῦ τολμήματος διδῶσιν, ἐπεζύγωσαν αὐτῷ τὰς πύλας τῆς

πόλεως. Ὁ δὲ ἐνόρκους αὐτοῖς παρασχόμενος πίστεις ὡς οὐδὲν διὰ τὸν φόνον ὑποστοῖεν κακὸν, παραχωρεῖται τῆς εἰσόδου· εἶτα τοὺς ὅρκους οὐδὲν λογισάμενος, πολλοὺς μὲν ἀποκτίννυσιν, ἑνίους δὲ τῶν παρ' αὐτοῖς ἐπισήμων δεσμίους ἔστειλε πρὸς τὴν μεγαλόπολιν, γράψας τῷ ἀδελφῷ Ἰωάννῃ, διὰ τὴν πρὸς τὸν Δαλασσηνὸν εὔνοιαν ἀπεῖρξαι αὐτῷ τὴν εἴσοδον τοὺς Ἀντιοχεῖς. Ἐντεῦθεν ὁ Δαλασσηνὸς εἰς τὴν νῆσον τὴν Πλάτην περιορίζεται, καὶ ὁ ἐπὶ θυγατρὶ κηδεστὴς αὐτοῦ Κωνσταντῖνος ὁ Ῥούκας τὴν ἀδικίαν ἐπιβοώμενος, καὶ τὴν ἐπιορκίαν οὐ σιωπῶν, πύργῳ τινὶ κατακλείεται. Εἶτα μετάγεται ὁ Δαλασσηνὸς ἐκ τῆς Πλάτης, καὶ πύργῳ καθειργνυται. Ἐάλω δὲ τότε τοῖς μὲν ἐκ τῆς Ἄγαρ τὰ Μύρα, καὶ τοῖς Πατζινάκαις λεία γέγονε τῶν Μυσῶν (10). Τοῦ δὲ δουκὸς Ἀντιοχείας Νικήτα καταστρέψαντος τὴν ζωὴν, ὁ Κωνσταντῖνος ἀδελφὸς ὢν κρὶ οὗτος τοῦ βασιλέως ἐπὶ τῇ Ἀντιοχείᾳ τὸν τελευτήσαντα διεδέξατο, καὶ ὁ ἕτερος αὐτοῦ ἀδελφὸς πρωτοβεστιάριος προκεχείριστο. Ἐξ Ἀφρικῆς μέντοι καὶ Σικελίας στόλος ἀποπλέων Ἀγαρηνῶν ἐκάκου τάς τε νήσους καὶ τὰ παράλια. Ἀλλὰ τούτοις στόλος ἐπιπλέων Ῥωμαϊκὸς πολλὰ μὲν τῶν σκαφῶν κατέδυσεν αὐτανδρα, πολλοὺς δ' ἐζώγρησε· καὶ τοὺς μὲν πρὸς τὸν βασιλέα ἐκπέπομφεν, οἱ δὲ ἀνεσκολοπίσθησαν κατὰ τὴν παράλιον. Παγκράτιος δὲ ὁ ἄρχων Ἀβασγίας, ᾧ τὴν οἰκείαν ἀνεψιὰν ὁ βασιλεὺς ἡρμόσατο Ῥωμανός, τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυσε, καὶ ὧν παρεχώρησε πρὶν Ῥωμαίοις φρουρίων καὶ πόλεων, ἐπελάβετο πάλιν, ὡς τάχα δίκας Ῥωμαίους πραττόμενος ὑπὲρ τοῦ βασιλέως καὶ θείου τῆς αὐτῷ ὁμευνέτιδος. Πολλάκις δ' οἱ Πατζινάκαι, καὶ τὸν Ἴστρον διαβαίνοντες, τὰ Ῥωμαίων κακῶς διετίθεντο, τοὺς ἁλισκομένους ἠβηδὸν ἀναιροῦντες. Καὶ Ἄραβες τὴν Ἔδεσκαν ἐπολιόρκησαν, καὶ ἥλω ἂν ἡ πόλις, εἰ μὴ ὁ δοὺξ Ἀντιοχείας Κωνσταντῖνος ὁ τοῦ αὐτοκράτορος ἀδελφὸς αὐτῇ ἐπεκούρησεν, ὃν ὁ βασιλεὺς, τῆς σπουδῆς ἀμειβόμενος, τῶν ἑῴων ταγμάτων δομέστικον προεβάλλετο.

A mortuo, Constantinus et ipse imperatoris frater successit, altero ejus fratre protovestario designato. Cum autem Agareni Africani et Siculenses insulas et oram maritimam infestarent, Romana classis multas eorum naves cum viris demersit, multos vivos cepit, quorum alii ad imperatorem missi sunt, alii in littore trabibus affixi. Pancratius vero Abasgiæ princeps, cui Romanus imperator suam neptem desponderat, fœdus Romanum solvit, et quibus castellis et urbibus olim Romanis cesserat ea rursus sibi vindicabat, fortassis ut Romanorum, injuriam imperatori, suæ conjugis patruo factam ulcisceretur. Patzinacæ Istro sæpe trajecto provincias male tractarunt, captivis omnibus interficiendis. Arabes Edessam obsederunt, eamque expugnassent, nisi Antiochiæ dux Constantinus imperatoris frater opem tulisset : cujus industriam sic remuneratus est imperator, ut eum Orientalium legionum domesticum crearet.

ΙΕ'. Τοῦ δὲ τῆς Αἰγύπτου κρατοῦντος Ἄμερ θανόντος, ἡ ἐκείνου γυνὴ, Χριστιανὴ οὖσα, σπείσασθαι σὺν τῷ υἱῷ μετὰ Ῥωμαίων ἐζήτησε· καὶ ὁ βασιλεὺς ἐκύρωσε μετ' αὐτῶν τριακοντούτεις σπονδάς. Ἀδελφοὶ δὲ δύο Σαρακηνοὶ, τῆς Σικελίας κρατοῦντες, πρὸς ἀλλήλους ἔσχον διαφοράς, ὧν ἄτερος τῷ βασιλεῖ Ῥωμαίων προσπέφευγε, συμμαχίαν αἰτῶν. Στέλλεται τοίνυν ὁ πατρίκιος Γεώργιος ὁ Μανιάκης ἐπικουρήσων αὐτῳ, Λογγιβαρδίας προχειρισθεὶς στρατηγός. Μήπω δὲ τὴν Σικελίαν καταλαβόντος τοῦ Μανιάκη, οἱ ταύτης ἡγεμονεύοντες σύγγονοι πρὸς ἀλλήλους ἐσπείσαντο, καὶ καταλαβόντα τὸν Μανιάκην ἀπελάσαι τῆς νήσου διεμελέτων, καὶ συμμαχίαν ἐξ Ἀφρικῆς μετεπέμψαντο. Συῤῥαγέντος δὲ πολέμου, τὸ Ῥωμαϊκὸν ἐκράτησε στράτευμα, καὶ φόνου πολλοῦ τῶν Καρχηδονίων γεγονότος, πόλεις μὲν πρότερον ἐξεπόρθησε δέκα ἐπὶ τρισίν· εἶτα κατὰ μικρὸν προβαίνων ὁ Μανιάκης, καὶ πᾶσαν τὴν Σικελίαν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσήγαγε. Μικροῦ δ' ἂν ἑάλω ἡ Ἔδεσσα, δόλῳ αὐτὴν τῶν Ἀράβων μελετησάντων χειρώσασθαι. Δώδεκα γὰρ αὐτῶν ἄρχοντες, ἐπαγόμενοι καμήλους πεντακοσίας, ὧν ἑκάστη κιβώτια δύο ἐπήχθετο, ἦκον εἰς Ἔδεσσαν· ἕκαστον δὲ τῶν κιβωτίων ὁπλίτην εἶχεν ἐντός. Ἔλεγον δὲ ἀπιέναι πρὸς βασιλέα δῶρα κομίζοντες καὶ

XV. Amere Ægypti principe mortuo, vidua illius, quæ christiana erat, una cum filio pacem cum Romanis facere studuit. Quare 237 imperator inducias triginta annorum cum ea pepigit. Cum duo fratres Agareni Siciliæ imperantes, inter se dissiderent, eorumque alter imperatoris opem implorasset, Georgius Maniaces patricius auxilio illi missus est, Longobardiæ prætor designatus. Qui antequam in Siciliam venisset, illi inter se reconciliati, et Maniacem insulæ aditu prohibere conati, auxilia Carthagine evocarunt. Sed pugna commissa, Romanus exercitus vicit, magnaque cæde Carthaginensium edita, tredecim urbes principio vastavit : deinde paulatim Progrediens Maniaces totam Siciliam Romano imperio restituit. Edessa vero parum abfuit quin ab Arabibus dolo caperetur. Nam duodecim eorum principes quingentos camelos Edessam adduxere, binas cistellas gestantes, quæ totidem armatos claudebant, simulantes se imperatori munera oblaturos : sed si intromissi essent, in animo habebant nocte eductis armis urbem capere. Prætor principes ad se ingressos honorifice excepit, eorum ministris cum camelis adhuc extra urbem retictis. Sed cum quidam Armenius mendicus, Arabicæ linguæ gnarus, apud

## Variæ lectiones et notæ.

(10) Καὶ τοῖς Πατζινάκαις λεία γέγονε τῶν Μυσῶν. Notum proverbium, de quo in notis ad Alexiadem quædam attigimus. In Alexii Comneni Novella apud Balsamonem ad *Nomocan.* p. 140, 1 edit. Τὰ Φρυγῶν καὶ Μυσῶν, ἡ παροιμία.

Arabes foris diversantes mendicaret,audivit quemdam e cila percontantem ubi essent ? et urbem ingressus, commentum practori aperuit. Is Arabum principes in urbe convivantes reliquit,et cum suis egressus apertis cistis, armatos omnes interfecit, ac in urbem regressus, duces qui reliqui erant gladio confecit,uno tantum dimisso,ambulans manibus, naso et auribus truncatos:qui cladem illam domi nuntiaret.At Carthaginensis suarum copiarum interitu cognito, ipse cum majore exercitu in Siciliam proficiscitur.Maniaces castris contra eum positis, et classis præfecto Stephano patricio imperatoris affini (nam is quoque una missus erat) mandat ut oram maritimam diligenter lucatur,ne Carthaginensis victus effugere queat. Prælio commisso, tanta multitudo Afrorum periit, ut nullo propo numero comprehendi quoat. Sed eorum princeps pugna elapsus,conscensa celoce, deceptis classiariis, domum rediit. Id Maniaces ægerrime ferens, classis præfecto convicialur. Is vero imperatoris affinitate fretus, 238 cum iniquo animo contumelias accepisset, ac vicissim aliquid dixisset, a Maniace ira percito verberatus, statim litteris scriptis ad spadonem Joannem uxoris suæ fratrem Orphanotophum, Maniacem calumniatur ut defectionem molientem. Qua ille de causa vinctus in urbem ductus custodiæ mandatur, omni auctoritate in Stephanum translata : neque multo post insula in Agarenorum potestatem rediit,ducis imperitia, socordia, ac sordibus imprimis, sola Messana (quæ et ipsa Siciliæ urbs est) virtute Catacalonis Ambusti præfecti Romanis conservata : qui idem multa hostium millia cecinit. At imperatoris frater spado Joannes, pontificatus cupiditate flagrans, quosdam ex primariis sacerdotibus sibi conciliavit, qui ei pollicebantur se loco moturos Alexium patriarcham, ut qui non communibus suffragiis,sed imperatoris auctoritate creatus esset. Ille vero : *Si*, inquit,*contra canones me patriarcham esse factum asseritis, ii etiam qui a me electi sunt loco moveantur*. Id responsum effecit ut cæteri sacerdotes a patriarcha accusatoribus dissilirent, et Orphanotrophus impos voti redderetur : qui ad quæstus excogitandos calidissimus, cum multis insolitis exactionibus subditos vexaret, accidit ut soror ejus Maria Michaelis Cataphatæ qui post imperavit mater, votis exsolutis. Epheso reversa narraret quam misere subditi novis illis exactionibus tractarentur, ac peteret ut onus illud laxaretur.Cui cum cachinno respondit Orphanotrophus, eam sentire ut mulierem, quæ ignoraret quantam pecuniam postulet imperium. Zoe vero imperatrix illi insidiata esse fertur : medico enim potionem purgantem ei propinaturo muneribus et pollicitationibus persuasit ut toxicum pro salutari medicina offerret : sed ille adimadversis insidiis peri-

A ἐβούλοντο, εἰ παραχωρηθεῖεν ἔνδον εἰσαγαγεῖν τὰ κιβώτια, νυκτὸς τοὺς ἐν αὐτοῖς ὁπλίτας ἐξαγαγεῖν, καὶ τὴν πόλιν ἑλεῖν. Εἰσελθόντας οὖν πρὸς τὸν τῆς πόλεως στρατηγὸν τοὺς ἄρχοντας φιλοτίμως ἐκεῖνος ἐδέξατο. Οἱ δ' ἐκείνοις ὑπηρετοῦντες μετὰ τῶν καμήλων ἔτι τῆς πόλεως ἦσαν ἔξω. Προσαίτης δέ τις Ἀρμένιος εἰδὼς καὶ τὴν Ἀράβων διάλεκτον προσῆλθε τοῖς ἐκτὸς αὐλιζομένοις Ἄραψι μεταιτήσων· ἤκουσε δὲ ἐκ κιβωτίου τινὸς ἐρωτῶντος, ὅπη εἰσί· καὶ εἰς τὴν πόλιν ἐλθὼν ἀπήγγειλε τὸ δρᾶμα τῷ στρατηγῷ. Ὁ δὲ τοὺς μὲν ἄρχοντας τῶν Ἀράβων εὐωχουμένους ἐν τῇ πόλει κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν περὶ αὐτὸν ἐξελθών, καὶ τὰ κιβώτια διαῤῥήξας, τοὺς ἐν αὐτοῖς ὁπλίτας ἀπέκτεινεν ἅπαντας, καὶ εἰς τὴν πόλιν αὖθις ὑπονοστήσας, τοὺς μὲν λοιποὺς τῶν ἀρχόντων αὐτῶν μαχαίρας ἔθετο ἔργον· ἑνὸς δὲ τὰς

B χεῖρας ἀποτεμών, τὰ ὦτά τε καὶ τὴν ῥῖνα ἀφῆκεν, ἵνα τοῖς οἴκοι τὸ σῶμα τὴν συμφορὰν καταγγέλλοιεν. Ὁ δὲ Καρχηδόνιος, τὸν ὄλεθρον τῶν ὑπ' αὐτοῦ πεμφθέντων εἰς Σικελίαν μαθών, αὐτὸς εἰς τὴν νῆσον ἐστράτευσε μετὰ δυνάμεως πλείονος. Καὶ ὁ Μανιάκης ἀντιστρατοπεδεύεται τοῖς Ἀγαρηνοῖς, καὶ τῷ τοῦ στόλου κατάρχοντι τῷ πατρικίῳ Στεφάνῳ τῷ τοῦ βασιλέως γαμβρῷ (συνέσταλτο γὰρ καὶ οὗτος αὐτῷ μετὰ τοῦ στόλου) ἀσφαλῶς τηρεῖν ἐνετείλατο τὴν παράλιον, ἵνα μὴ ἡττηθεὶς ἴσως ὁ Καρχηδόνιος ἀποδρᾶναι δυνήσεται. Μάχης τοίνυν συστάσης, πλῆθος μὲν τῶν Ἄφρων ἀνήρητο, σχεδόν τι κρεῖττον καὶ ἀριθμοῦ, ὁ δὲ αὐτῶν ἀρχηγὸς διαδρὰς ἐκ τῆς μάχης, καὶ κελητίῳ ἐμβεβηκὼς λαθών τε τοὺς ἐν τῷ

C στόλῳ οἴκαδε διασῴσωστο. Τοῦτο τῷ Μανιάκῃ ἐν συμφορᾶς ἤγητο μέρει, καὶ τῷ τοῦ στόλου ἄρχοντι ἐλοιδορεῖτο. Τοῦ δὲ τῇ συγγενείᾳ τῇ βασιλικῇ πεποιθότος, καὶ δυσχεράναντος πρὸς τὰς ὕβρεις, καί τι ἀνθυπενεγκόντος, θυμῷ ληφθεὶς ὁ Μανιάκης, καὶ πλῆγὰς ἐντείνει αὐτῷ. Ὁ δὲ αὐτίκα γράφει τῷ γυναικαδέλφῳ (11) Ἰωάννῃ τῷ ἐκτομίᾳ, Ὀρφανοτρόφῳ ὀνομασθέντι, ἀποστασίᾳ ἐπιχειρεῖν τὸν Μανιάκην. Ἐντεῦθεν ὁ μὲν Μανιάκης, δέσμιος ἐκεῖθεν ἀναχθεὶς, φυλακῇ παρεδόθη, ἡ σύμπασα δ' ἀρχὴ τῷ Στεφάνῳ περιελήλυθε. Καὶ ἡ νῆσος οὐκ εἰς μακρὰν ὑπὸ τοὺς Ἀγαρηνοὺς καὶ αὖθις ἐγένετο ἀπειρίᾳ καὶ ῥᾳθυμίᾳ τοῦ ἄρχοντος, καὶ πρὸ τούτων αἰσχροκερδείαις, μόνης τῆς Μεσσήνης (πόλις δὲ αὕτη τῶν Σικελικῶν) περιλειφθείσης Ῥωμαίοις, καὶ ταύτης τοῦ ἐν αὐτῇ στραγηγοῦντος ἀνδραγαθίᾳ, οὗτος δ'

D ἦν ὁ Κεκαυμένος Κατακαλών· οὐ γὰρ τὴν πόλιν μόνον περιεφύλαξεν, ἀλλὰ καὶ χιλιάδας ἀνεῖλε τῶν ἐναντίων. Ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς, ὁ ἐκτομίας Ἰωάννης, δριμύνατον τρέφων ἔρωτα τοῦ προστῆναι τῆς Ἐκκλησίας, ἑνίους τῶν ἀρχιερέων πρυσηταιρίσατο, οἳ αὐτῷ ἐπηγγέλλοντο καθαιρῆσαι τὸν πατριάρχην Ἀλέξιον, ὡς οὐ ψήφῳ κοινῷ προχειρισθέντα, ἀλλ' ἐξουσίᾳ βασιλικῇ. Ὁ δὲ, Εἰ οὐ κανονικῶς, ὡς φατε, γέγονα πατριάρχης, ἀντέθετο, καὶ ὅσοι παρ' ἐμοῦ ἐχειροτονήθησαν, καθαιρεθήτω-

## Variæ lectiones et notæ.

(11) Τῷ γυναικὶ ἀδελφῷ. An γυναικαδέλφῳ, uxoris fratri ? Mss. Regii omnes, Ὁ δὲ αὐτίκα γράφει τῷ ἀδελφῷ Ἰωάννῃ.

σαν σὺ ἐμοί. Τοῦτο τοὺς λοιποὺς τῶν ἀρχιερέων στασιάσαι κατὰ τῶν τοῦ πατριάρχου κατηγορούντων ἠρέθισε, καὶ ἔμεινεν ἀτέλεστος τοῦ Ὀρφανοτρόφου ἡ ἔφεσις. Πολλαῖς δὲ καὶ ἀσυνήθεσιν εἰσπράζεσιν οὗτος ἐξέτρυχε τὸ ὑπήκοον, πυρίμωτατος ἐν τοιούτοις γενόμενος. Τῆς οὖν ἀδελφῆς αὐτοῦ Μαρίας, ἣ μήτηρ ἦν τοῦ ὕστερον βασιλεύσαντος Μιχαὴλ τοῦ Καλαφάτου, δι' εὐχὴν εἰς Ἔφεσον ἀπελθούσης, κἀκεῖθεν ἐπανελθούσης, καὶ διηγουμένης ὅσα πάσχοιεν οἱ πένητες, τὰς καινὰς δασμοφορίας πραττόμενοι, καὶ ἀξιούσης ἀνεθῆναι τοῖς ὑπηκόοις τὸ τοῦ ἄχθους πολύ, ὁ Ὀρφανοτρόφος ἐπικαγχάσας, Ὡς γυνὴ φρονεῖς, ἀνταπεκρίθη αὐτῇ, μὴ εἰδυῖα ὅσων ἡ βασιλεία δεῖται ἀναλωμάτων. Οὗτος ἐπιβουλευθῆναι λέγεται παρὰ τῆς βασιλίσσης Ζωῆς. Φαρμακεῦσαι γὰρ αὐτὸν καθαρσίῳ τοῦ ἰατροῦ μέλλοντος, ἀναπείσαι τὸν φαρμακεύοντα δώροις καὶ ὑποσχέσεσι διά τινων τὴν βασίλισσαν ἀντὶ σωτηρίου προσενεγκεῖν αὐτῷ δηλητήριον· γνωσθέντος δὲ τοῦ ἐπιχειρήματος, διαδρᾶναι τὸν κίνδυνον. Ἀλλ' οὕτω μὲν παρὰ τοῦ Ὀρφανοτρόφου Ἰωάννου τὰ κοινὰ ᾠκονόμητο· οὐ μεῖον δ' ἐκείνου οἱ ἀδελφοὶ αὐτοῦ, ἀλλὰ μᾶλλον ἐκάκουν ξύμπαντας, ἀδικώτατοι ὄντες καὶ φιλοχρηματώτατοι· οἷς διὰ ταῦτα καὶ ὁ βασιλεὺς ἀπηχθάνετο· ἀναστεῖλαι δὲ τὴν κακίαν αὐτοῖς οὐ συνεχωρεῖτο παρὰ τοῦ μείζονος ἀδελφοῦ τοῦ ἐκτομίου Ἰωάννου, ποτὲ μὲν παραιτουμένου αὐτούς, ποτὲ δὲ τὰς αὐτῶν πράξεις περικαλύπτοντος, καὶ οὐκ ἐῶντος εἰς γνῶσιν ἥκειν τῷ αὐτοκράτορι·

Λ sulum citavit. Cum autem respublica sic ab eo administratur, fratres ejus non minus omnes exagitabant, homines injustissimi et avarissimi: quos cum imperator etiam ea de causa odisset, tamen major frater spado Joannes eos coerceri non patiebatur, alias excusando, alias tegendo facinora eorum, ne ad cognitionem imperatoris pervenirent.

Ις'. Ἤδη δὲ τῆς νόσου νεανιευομένης (12) τῷ βασιλεῖ, καὶ θαμὰ τῆς νοῦ λογιζομένου παραφορᾶς αὐτῷ ἐπιούσης, οὔτε προόδοις (13) ἐκέχρητο συνεχῶς, οὔτε βασιλείοις πομπαῖς, οὔτ' ἐν βήμασιν ἐχρημάτιζε τῷ βασιλείῳ θρόνῳ ἄνετος ἐφεζόμενος, ἀλλὰ παραπετάσματα περὶ αὐτὸν ἀπηώρηντο, καί τινες ἐπιτηρεῖν τεταγμένοι αὐτὸν περιίσταντο, οἵ, ὁπηνίκα τι σημεῖον εἶδον τῆς τοῦ νοῦ παρατροπῆς (πολλὰ δὲ ταύτην αὐτῷ προεμήνυον), εἶλκον ἐπ' ἐκεῖνον εὐθὺς τὰ παραπετάσματα, καὶ τούτοις τὸν πάσχοντα συγκαλύπτοντες, ἐξιέναι τοῖς παρεστῶσιν ἐνεκελεύοντο. Τῷ δὲ ἀθρόον τε τὸ πάθος ἐπῄει, καὶ ἀθρόον ἀφίστατο. Οὕτως οὖν ἔχων ὁ Μιχαὴλ κατὰ βραχὺ καὶ τοῦ ὁρᾶν τὴν βασίλισσαν καὶ τοῦ προσιέναι ἀπείχετο, ἢ αἰδούμενος, ὅτι οἷα ἀνθ' οἵων αὐτῇ ἀνταπέδωκεν· ἢ ὅτι, θαμὰ καὶ ἑτοιμότατα τοῦ πάθους αὐτῷ ἐπιγινομένου, ᾐσχύνετο πάσχων οὕτω παρ' ἐκείνης ὁρᾶσθαι· ἢ διὰ τὸ τὴν ἕξιν τοῦ σώματος διεφθάρθαι οἱ, καὶ πρὸς μίξιν μὴ πεφυκέναι. Ἔνιοι δέ φασιν ὡς ἀνδράσι πνευματικοῖς ἐξομολογησάμενος τὸ τῆς μοιχείας καὶ τοῦ φόνου τοῦ βασιλέως ἁμάρτημα, παρ' ἐκείνων ἄλλας τε ἐδέξατο ἐντολὰς, καὶ τοῦ ἀφροδισίων ἀπέχεσθαι· ἔνθεν τοι καὶ διαδόσεις ἐποιεῖτο χρημάτων πολλῶν, καὶ σεμνεῖα ᾠκοδόμει, καὶ εἰς Θεσσαλονίκην ἀπῆλθε, τοῦ καλλινίκου μάρτυρος Δημητρίου δεόμενος, ἵνα τι τοῦ πάθους εὕρῃ ἀλέξημα. Τῷ δὲ καὶ νόσος δδερικὴ προσεγένετο. Ὡς οὖν οὕτως ἔχοντα τὸν ἀδελφὸν ἑώρα ὁ Ἰωάννης, δείσας περὶ τῇ βασιλείᾳ, μὴ, ἀθρόον θανόντος τοῦ αὐτοκράτορος, ἐπὶ τῇ Ζωῇ γένηται ὡς κληρονόμῳ αὐτῆς, κἀντεῦθεν αὐτός τε καὶ τὸ γένος ὅλον εἰς ἐξολόθρευσιν γένηται, μέτεισι τὸν αὐτοκράτορα πιθανότητι, καὶ πείθει τὸν ἀδελφιδοῦν αὐτοῦ, τὸν Μιχαὴλ, προ-

**239** XVI. Cæterum morbo invalescente, et mentis alienatione sæpius invadente, neque frequenter in publicum prodiit imperator, neque pompa regia usus est, neque securus in solio regio sedens responsa dedit sed vela circum suspensa, ii qui signa muli adventantis observabant (quæ quidem complura erant), animadversa mentis alienatione, statim obducebant, et astantes secedere jubebant. Is vero morbus ut subito accedebat, ita etiam subito recedebat. Sic affectus Michael paulatim a conspectu et accessu imperatricis abstinebat, seu verecundia, quod pro tantis meritis talem ei gratiam reponeret, seu pudore, ne in morbo suo quo sæpissime et subito corripiebatur, ab ea videretur, seu ob corrumptum corporis habitum, et ad conjugalem consuetudinem jam ineptum. Quidam vero aiunt eum confessariis et adulterium et cædem imperatoris confessum, cum alia ab eis præcepta accepisse, tum ut re venerea abstineret: eademque de causa multum pecuniæ erogabat, et sacras ædes exstruebat, et ad inclytum martyrem Demetrium Thessalonicam peregrinabatur, illius mali depulsionem orans. Verum ad illud etiam hydrops accessit. Quæ cum frater ejus Joannes videret: veritus ne eo subito exstincto, imperium ad Zoen jure hæreditario rediret, ipseque cum omni familia exstirparetur, probabilibus verbis imperatori persuadet, ut nepotem ex sorore Michaelem in imperii successionem Cæsarem appellet: cujus quia Zoe hæres erat, ut dictum est, illam quoque arte tractat. Ita matronam nobilem matrem ignobilis pueri fingunt. Ambo enim fratres ea de re cum illa collocuti, Michaelem filium ejus

## Variæ lectiones et notæ.

(12) Ἤδη δὲ τῆς νόσου νεανιευομένης. Idem Psellus de morbo imperatoris: Καὶ ὁ μὲν βασιλεὺς ὑδέρῳ περιεπεπτώκει, οὐ περιοδικῇ φρενίτιδι ἔκαμνεν, εἴτε τινὸς βασκανίᾳ δαίμονος πονηροῦ, αὐτὸ δὴ τὸ τῆς ψυχῆς ἡγεμονικὸν περιτρέποντος, εἴτε τοῦ μελαντέρου καὶ γεωδεστέρου χυμοῦ ἐπὶ τὴν κεφαλὴν ἀμαυροῦντος, οἷα δὴ τὰ πολλὰ γίνεσθαι εἰώθεν· ὁ μὲν οὖν ἀμφοτέρωθεν ἔκαμνε, καὶ τὸ ἐνεργὸν τῆς βασιλείας διὰ τῆς νόσου ἀποσεσύλητο.

(13) Οὔτε πρόδοις, etc. Vide *Gloss. med. Græc.* in v. Πρόκυψις.

adoptivum nominant. Ea vero quæ nec voluntatibus corum refragari. Ea vero quæ nec voluntatibus ctabilis esset, annuit. Sanatu igitur et iis qui comitatum imperatorim explent, in Blacherniam ædem convocatis, imperatrix producta in medium, et intra sacrarii cancallos progressa, inde Michaelem adoptatum pro filio ulnis excipit, eumdemque imperator statim Cæsarem appellat, et populi frequentia consalutat. Ac Joannes quidem se negotium omne confecisse jam, et imperium **240** suæ familiæ constabilisse putabat; sed eo pacto et semetipsum et omnes suos necessarios funditus evertit, ut suo loco referetur.

A χειρίσασθαι Καίσαρα, ἵν' Ἰφεδρος εἴη τῇ τῆς βασιλείας ἀρχῇ. Ἐπεὶ δὲ τῆς βασιλείας, ὡς εἴρηται, κληρονόμον τὴν Ζωὴν ἥδει, μέτεισι κἀκείνην, καὶ μητέρα τὴν εὐγενῆ τοῦ δυσγενοῦς ἀναπλάττευσιν. Ἄμφω γὰρ τὼ ἀδελφὼ, διαλέχθεντε αὐτῇ περὶ τούτου, εἰσποιητὸν ταύτης τὸν Μιχαὴλ υἱὸν ὀνομάζουσιν. Ἡ δὲ, μήτ' ἀντειπεῖν θαρροῦσα τοῖς ἐλείνων θελήμασι, καὶ ἄλλως εὔκολος οὖσα καὶ τὴν γνώμην εὐαγωγὸς, κατένευσε. Καὶ συνήθροιστο μὲν εἰς τὸν ἐν Βλαχέρναις θεῖον ναὸν ἡ γερουσία ἐκ προκηρύγματος, καὶ οἱ πληροῦντες τὴν τάξιν δὴ τὴν βασιλειον (14), ἐν δὲ μέσοις τούτοις ἡ βασιλὶς προαχθεῖσα κἀν ταῖς κιγκλίσι γενομένη τοῦ θυσιαστηρίου, ἐκεῖθε εἰσποιεῖται τὸν Μιχαὴλ, καὶ ὡς υἱὸν ἀγκαλίζεται. Ὁ δὲ αὐτοκράτωρ αὐτίκα τοῦτον προχειρίζεται Καίσαρα, καὶ τὸ ἄθροισμα ἐπευφήμησεν. Ἔδοξε μὲν οὖν ὁ Ἰωάννης ἤδη τὸ πᾶν κατεργάσασθαι, καὶ τὸ κράτος τῷ οἰκείῳ γένει περιποιήσασθαι, τὸ δ' ἦν ἀνατροπὴ τοῦ παντὸς αὐτῷ τε καὶ τοῖς προσήκουσιν ἅπασιν· ὅπως δὲ, ὁ λόγος δηλώσει κατὰ καιρόν.

XVII. Bulgari porro ab imperatore Basilio, ut B dictum est, subacti, suo regno everso jugum servitutis ad tempus tulerunt. Tandem vero cum de eo exculiendo, et detrectandis imperatis cogitantibus dux et auctor deesset; vir quidam obscuro ille quidem genere ortus Dolianus, sed doli et astutiæ plenus, Byzantio, ut fertur, fuga elapsus, et se filium naturalem, non legitimum Aaronis, qui frater Samuelis fuit, principis Bulgarorum professus, a Barbaris rex eligitur. Ex eo tempore gens aperte defecit, et ad latrocinia conversa est. Ad eorum igitur grassationes epercendus quidam dux cum copiis missus, cum milites suos male tractaret, eorum iracundia periisset, nisi aufugisset noctu. Ejus vero exercitus metu penne defecit, et quemdam e suo numero Tichomerum Bolgarum genere C ducem creat, et regem Bulgariæ nominat. Sic res Bulgarorum divisæ sunt, aliis ad Dolianum, aliis ad Tichomerum confluentibus. Sed Dolianus adversarium dolo aggressus, ad regni et belli Romani consortium accersit. Quod cum pæruisset, congregato Bulgarico exercitu, Dolianus ait: *Res Bulgarica nunquam salva erit sub duobus regibus. Quod si vestræ saluti consultum cupitis, alterum nostrum e medio tollite. Ac si me ex genere Samuelis esse nostis. Tichomerum amovete. Sin minus, illi parete, meque tollite.* Hinc clamore sublato, ab omnibus rex consalutatur. Tichomerus lapidibus obruitur. Dolianus ita rerum potitus, Dyrrachium capit, et Græciam aggressus, Nicopoli cum finitimo agro potitur, ultro deditione facta a civibus Orphanotrophi insatiabilem rapacitatem non ferentibus, ac, D ut proverbio dicitur, Mysorum prædam facit Romanas ditiones. At imperator defectione nuntiata, ad auctorem ejus comprehendendum incitatus, iniquum esse dicebat, si ipse, qui nihil ad imperium attulisset, partem ejus aliquam rapi ab ullo pateretur. Sed quia de salute ejus jam desperatum

ΙΕ'. Τῶν δὲ Βουλγάρων, ὡς ἤδη ἱστόρηται, ὑπὸ Βασιλείου τοῦ βασιλέως καταπολεμηθέντων, καὶ τῆς αὐτῶν βασιλείας καθαιρεθείσης, μέχρι μέν τινος ἔφερον οἱ Βάρβαροι τὸν τῆς δουλείας ζυγόν· εἶτα τοῦτον ἀποσείσασθαι διανενόηντο καὶ ἐσφάδαζον, ἀλλά σφισι τὸ ἄναρχον ἐκώλυε τὸ ἐννόημα. Ἀνὴρ δέ τις ἄσημος μὲν τὸ γένος, Δολιάνος καλούμενος, δόλου δὲ μεστὸς καὶ δεινότητος, υἱὸν ἑαυτὸν ἐπιφημίσας τοῦ Ἀαρών, ὃς τοῦ Σαμουὴλ τοῦ ἄρξαντος τοῦ ἔθνους ἦν ἀδελφὸς, ἐκ Βυζαντίου, ὡς λέγεται, ἀποδρὰς, καὶ πείσας τὸ ἔθνος παῖς εἶναι τοῦ Ἀαρών, ἐξ ἡμιγάμου ἐκείνῳ γενόμενος, ἀλλ' οὐκ ἐξ ἐννόμου εὐνῆς, εἰς βασιλέα τοῖς Βαρβάροις ἡρέθη. Ἐντεῦθεν εἰς φανερὰν ἀποστασίαν ἐξερράγη τὸ ἔθνος, καὶ εἰς ληστείας κεκίνητο, καὶ τὰ Ῥωμαίων κατέτρεχε. Στέλλεται τοίνυν στρατηγός τις μετὰ δυνάμεως, ἵν' ἀνακόπτῃ τὰς ἐπιδρομὰς τοῖς ληστεύουσιν. Ὁ δὲ κακῶς τοῖς ὑπ' αὐτὸν προσφερόμενος, ἐξηρέθισε τούτους καθ' ἑαυτοῦ, καὶ ἀπώλετο ἄν, εἰ μὴ ἀπέδρα νυκτός. Ἡ γοῦν ὑπ' αὐτὸν στρατιὰ, δείσασα, πρὸς ἀποστασίαν ἐχώρησε, καί τινα ἐξ ἑαυτῶν Τειχομηρὸν κεκλημένον, ἐκ δὲ γένους φύντα Βουλγαρικοῦ, ἀρχηγὸν ἑαυτοῖς προχειρίζονται, καὶ βασιλέα Βουλγαρίας αὐτὸν ὀνομάζουσι. Καὶ τὰ τῶν Βουλγάρων διῄρητο, τῶν μὲν τῷ Δολιάνῳ, τῶν δὲ Τειχομηρῷ προσρυίσκομένων. Ἀλλὰ δόλῳ μετῆλθεν ὁ Δολιάνος τὸν ἀντικαθιστάμενον. Μετακαλεῖται γὰρ αὐτὸν ἐπὶ κοινωνίᾳ καὶ τῆς ἀρχῆς καὶ τῆς πρὸς Ῥωμαίους μάχης, καὶ ὃς πείθεται. Ἐπεὶ γοῦν ἠνώθησαν ἄμφω οἱ ἀρχηγοὶ, καὶ τὸ πλῆθος τῶν Βουλγάρων συνήθροιστο, ὁ Δολιάνος πρὸς τοὺς συνειλεγμένους ἔφη, Μὴ ἄν ποτε σωθήσεσθαι τὸ τῶν Βουλγάρων ἔθνος, ὑπ' ἀρχηγῶν δυοῖν κυβερνώμενον, καὶ, Εἰ τὴν σωτηρίαν ὑμῶν βούλεσθε, τὸν ἕνα ἐξ ὑμῶν ποιήσατε ἐκποδών· εἰ μὲν οὖν ἐμὲ τοῦ γένους εἶναι τοῦ Σαμουὴλ οἴδατε, ἀποσκευάσασθε τὸν Τειχομηρόν. Εἰ δ' οὐ τοῦτο, αὐτῷ μὲν ἑαυτοὺς ὑποτάξατε, ἐμὲ δ' ἐκ μέσου ποιήσατε. Ἐπὶ τούτοις θροῦς ἤρθη,

## Variæ lectiones et notæ.

(14) Οἱ πληροῦντες δὲ τὴν τάξιν τὴν βασιλικήν. Wolfius, *ordinem imperatorium*. Reposuimus, *comitatum imperatoris*. Vide *Gloss. med. Græcit.* in τάξις.

καὶ οἱ τὴν βασιλείαν ξύμπαντες ἐπευφήμησαν, καὶ ὁ Τειχομηρὸς κατελεύσθη. Ὁ δὲ Δολιάνος, αὐτοκράτωρ γενόμενος, εἶλέ τε τὸ Δυρράχιον, καὶ κατὰ τῆς Ἑλλάδος ἐχώρησε, καὶ τὴν Νικόπολιν καὶ τὰ ὑπ' αὐτὴν πρωτεποιήσατο, τῶν ἐν αὐτοῖς ἐκόντων προσπωρησάντων αὐτῷ, ἐπεὶ μὴ ἕρερον τὴν τοῦ Ὀρφανοτρόφου ἀπλησταν καὶ τὸ ἀκόρεστον. Καὶ ὁ μὲν οὕτω λείαν Μυσῶν, τὸ τοῦ λόγου, τὰ Ῥωμαίων ἐτίθετο. Ὁ δὲ βασιλεὺς, τῆς ἀγγελίας κομισθείσης αὐτῷ (15), αὐτίκα ὥρμα καταλαβεῖν τὸν ἀποστατήσαντα, δεινὸν ἡγεῖσθαι λέγων, εἰ μηδὲν αὐτὸς τῇ βασιλείᾳ προσενεγκών, μοῖραν ταύτης ἀφαιρεθεῖσάν τινα παραβλέψεται. Ὅτι δὲ οἱ ἀπέγνωστο τὸ βιώσιμον (ἤδη γὰρ ὁ ὕδερος αὐτοῦ κατεκράτησε, καὶ αὐτοῦ τὸ σῶμα ἐξώγκωτο), τό τε συγγενὲς ἀπεῖργε τὴν ἐκστρατείαν αὐτῷ παρακλήσεσι, καὶ οἱ προὔχοντες τῆς βουλῆς οὐκ ἐπῄνουν τὸ βούλευμα. Ἀλλ' ἐκεῖνος ζήλῳ βωννύμενος, καὶ ἀντεπάγων τῇ ἀσθενείᾳ τὸ ἀρύθυμον, ἐπὶ τοὺς ἀποστάτας χωρεῖ, καὶ ἦν τὸ πρᾶγμα θαύματος ἄξιον. Νυκτὸς γὰρ τῇ νόσῳ καταπονούμενος, καὶ οὐκ ἂν ἐς αὔριον ἀναστήσεσθαι προσδοκώμενος, ὁ δὲ ἡμέρας ἄρτι διαφαινούσης ἔφιππός τε ἐωρᾶτο, καὶ προήει τῆς στρατιᾶς· Ὡς δ' ἐν τοῖς τῶν Βουλγάρων ὁρίοις ἐγένετο, ἡτοιμάζετο πρὸς ἀντιπαράταξιν. Οὕτω δ' ἀλλήλοις τὰ τάγματα συνερρώγεσαν, καί τι συμβὰν ἀπόνως τάχα τῷ βασιλεῖ τὴν νίκην προσένειμεν. Ὁ γάρ τοι τοῦ Ἀαρὼν ἐκείνου υἱὸς, ὁ πατρίκιος Ἀλουσιάνος, παρὰ Ῥωμαίοις ὢν, καί τι προσκεκρουκὼς τῷ κρατοῦντι, ἐπ' οἴκου μένειν καταδεδίκαστο, καὶ μήτε προσιέναι πρὸς τὰ ἀνάκτορα, μήθ' ὅλως εἰσιέναι πρὸς τὸ Βυζάντιον, εἰ μὴ ἐπιτραπείη τὴν εἴσοδον. Ἠθύμει γοῦν διὰ ταῦτα, ἐπεὶ δ' ἐγνώκει τὴν τοῦ ἔθνους ἀπόστασίαν, καὶ τὴν τοῦ Δολιάνου αἵρεσιν εἰς τὸ ἄρχειν αὐτοῦ· ἀποδιδράσκει μὲν τῆς οἰκίας αὐτοῦ, καὶ μεταμφιέννυται, Ἀρμενίου τε στολὴν περιβέμενος ἑαυτῷ, θεράπων εἶναι τοῦ Θευδωροκάνου πλαττόμενος, καὶ ἀπιέναι πρὸς τὸ στρατόπεδον, ἔλαθε πάντας, καὶ πρὸς Βουλγαρίαν κατήντησεν. Ἀλλ' οὐκ αὐτίκα δῆλον ἔθετο ἑαυτὸν, προσομιλῶν δέ τισι, τοῦ Ἀαρὼν ἀνεμίμνησκε, καὶ, Ἄρα, ἔλεγεν, εἴ τις τῶν ἐκείνου παίδων παρῆν, ἔδοξεν ἂν ὑμῖν εἰς τὴν τοῦ ἔθνους ἀρχὴν προτιμότερος τοῦ νόθου ὁ γνήσιος; Ὡς δὲ πάντες πεποίηντο δι' εὐχῆς τὸ ὑπὸ γνησίου παιδὸς ἄρχεσθαι τοῦ Ἀαρὼν, καὶ τὴν βασιλείαν αὖθις αὐτῶν εἰς ἀναμφίβολον περιστῆναι ἄνδρα, καὶ τῷ πάλαι βασιλείῳ γένει προσήκοντα καθασῶς, πιστεύει τινὶ τὸ ἀπόῤῥητον τῶν μάλλον εἰδότων τὸ γένος τοῦ Ἀαρών. Ὁ δὲ, περιεργότερον αὐτῷ ἀνιχνεύσας τὸ εἶδος τοῖς ὀφθαλμοῖς, εἶτα καί τι σημεῖον εἰδὼς πρόσθεν αὐτῷ ἀναμφίβολον, καὶ τοῦτο ἰδεῖν ἀπαιτεῖ. Τὸ δ' ἦν περὶ τὸν

(15) Ὁ δὲ βασιλεὺς, τῆς ἀγγελίας κομισθείσης αὐτῷ, Ut Michael Paphlago in Bulgaros expeditionem susceperit, quamvis hydrope laborans, enarrat Psellus in Epistola ad Monomachum : Ζῆλος ἐκτεῦθεν τῇ νόσῳ σθεννύμενον ἀνάπτει τὸν αὐτοκράτορα, καὶ ὃς μηδὲ ἐννοήσας τὰ ὅσα μαλακίζειν εἴωθε, μὴ τὴν διπλῆν δαπάνην τοῦ σώματος, μὴ τὸ τῆς ὁδοῦ μῆκος, μὴ τὸ τοῦ πολέμου δύσελπι, μηδ' ἄλλο μηδὲν, τῆς πόλεως ἔξεισι, καὶ κατὰ τοῦ ἀποστήσαντος ἔθνους στρανεύεται, καὶ, ὦ τῶν κριμάτων σου! Κύριε, λογίζεται, παρατάττεται, ἐλαύνει ἐφ' ἵππου νεκρός.

erat (invaluerat enim hydrops tumefacto corpore), tum cognati expeditionem ejus deprecabantur, tum primores 241 senatus consilium improbabant. Ille vero æmulatione confirmatus, et corporis imbecilitatem animi viribus sustentans, contra seditiosos proficiscitur, ac res mira quædam accidit. Nam cum noctu morbo opprimeretur, nec postridie surrecturus putaretur, diluculo in equo conspiciebatur, et exercitum præcedebat. Ubi in Bulgarorum fines venerat, seque ad aciem decertandum parabat, prinsquam exercitus congrederentur, quiddam intervenit quod imperatori celerem victoriam sine labore ullo peperit. Nam Aaronis illius filius Alusianus patricius, cum apud Romanos esset, atque imperatorem nonnihil offendisset, ea pœna multatus erat, ut domi se tenens, neque regiam frequentaret, neque Byzantium intraret, sine permissu imperatoris. Ea calamitate dolens, ubi gentis suæ defectionem cognovit, et Doliani electionem, cui parendum esset : domo effugit, mutatoque vestitu, et Armenii habitu sumpto, Theodurocani se famulum esse, et in castra ire simulans, a nemine agnitus est donec in Bulgariam pervenisset : ac ne ibi quidem statim se cognoscendum præbuit, sed inter colloquendum Aaronis mentionem apud quosdam interjecit, ac dixit : *Si quis illius liberorum adesset ; numquid vobis legitimus spurio in regni suffragiis præferendus videretur?* Cum omnes germanum Aaronis filium regem optarent, ut principatus in virum cujus natales haud ambigui essent, quique ex vetusta regia stirpe citra controversiam originem duceret : arcanum cuidam ex iis quibus Aaronia familia notior erat, aperit: qui cum faciem illius oculis curiosius perlustrasset, tandem signum etiam indubitatum videre cupit. Id vero erat nigra macula in cubito dextro, densis pilis circumdata. Quod cum vidisset, jam omni scrupulo exempto prostratus, viri pedes amplectitur, ac cæteros quoque docet adesse regii generis hominem. Multi igitur ab ambiguo illo avulsi ad germanum se contulerunt. Sed cum diviso imperio, principibus inter se dissidentibus regnum consistere omnino haud posse censerent, inter sese pasciscuntur, ut communi consilio rempublicam administrarent, nihilo seeius uterque alteri suspectus atque insidians. 242 Verum Alusianus ad insidiandum promptior Dollani dolum antevertit. Nam convivio apparato, et collega invitato, miserum hominum inter pocula comprehensum exæcat. Si Scythicæ gentis imperio solus potitus, imperatori secreto nuntiari jubet, se illi deditionem facturum, si clementer suscipiatur, et

## Variæ lectiones et notæ.

justis præmiis non fraudetur. Hic nec accessum ejus abnuit, et parem gratiam relaturum pollicetur. Cum igitur venisset, magister creatur : imperator vero gentem rego destitutam et dispersam, statim haud difficulter superatam Romano imperio rursus subjicit, et in urbem reversus triumphat, cum multos alios captivos, tum Dolianum cæcatum adducens. Sed cum male haberet, nec longe a dissolutione compagis abesset, despecto imperio, relictaque regia, in monasterium suburbanum a se exstructum, sanctorum Anargyrorum indito nomine secedit: ibique purpura cæterisque insignibus imperii abjectis, raso capillo initiatur, et christianæ submissionis lacerna induta, sacro vellere voluntariæ mortificationis signo cingitur, jam vel ingratis mortificandus. Eo facto nuntiato, imperatrix pedes illo profecta excluditur, ad colloquium non admissa : haud scio num verecundia malæ tractationis, an quod totus pœnitentiæ deditus, veteris erga illam affectionis memoriam renovare noluerit. Sic illa Michaelem non allocuta dicessit. Ipse vero isti mutationi haud diu superstes, usque ad extremum spiritum admissum, in Romanum facinus deplorare nunquam destitit. In imperio se clementem et æquum præbuit, quantum in ipso fuit, sed fratres bonitati ejus quandam ignominiæ quasi maculam asperserunt. Regnasse fertur ab aliis annos septem, ab aliis paulo diutius.

A δεξιὸν ἀγκῶνα χρῶμά τι μέλαν, καὶ θρὶξ δασεῖα περὶ αὐτό· Ἰδὼν οὖν καὶ τοῦτο, καὶ οὐκ ἔτι ἔχων ἐνδοιαστῶς, καταβάλλει μὲν ἑαυτὸν ἐνώπιον τοῦ ἀνδρὸς, καὶ τοὺς πόδας αὐτοῦ περιπτύσσεται· διδάσκει δὲ καὶ τοὺς ἄλλους τὸν ἐκ τοῦ βασιλείου γένους αὐτοῖς ἀφικόμενον. Καὶ πολλοὶ τοῦ ἀμφιβόλου ἀποῤῥαγέντες τῷ γνησίῳ προσέθεντο, καὶ μεμέριστο ἡ ἀρχή. Ὡς δ' οὐ πάντως τῆς Βασιλείας αὐτοῖς στησομένης, εἰ πρὸς ἀλλήλους οἱ ἀρχηγοὶ διαφέροιντο, κοινοπραγοῦσι, καὶ σπένδονται· ἀλλήλους δὲ καὶ ὑπώπτευον καὶ ἐνήδρευον. Ἀλλ' ὀξύτερος εὑρέθη ὁ Ἀλουσιάνος πρὸς τὴν ἐπιβουλὴν, καὶ τὴν τοῦ Δολιάνου προέφθασε δολιότητα. Καὶ πότον ἑτοιμασάμενος, καὶ συμπότην παραλαβὼν τὸν συνάρχοντα, ἐπιτίθεται οἱ συμποσιάζοντι, καὶ ἐξορύττει τῷ ἀθλίῳ τὰ ὄμματα, καὶ εἰς μίαν ἐντεῦθεν ἀρχὴν τὸ Σκυθικὸν περιίσταται. Εἶτα δι' ἀπορρήτων μηνύει τῷ βασιλεῖ βούλεσθαι προσχωρῆσαι αὐτῷ, εἰ εὐμενοῦς αὐτοῦ τεύξεται, καὶ ἀναλόγων οὐκ ἀμοιρήσει τῶν ἀμοιβῶν. Ὁ δὲ τὴν ἔντευξίν τε προσήκατο, καὶ ἀξίως ἀμείψασθαι αὐτὸν ἐπηγγείλατο. Καὶ ὃς αὐτίκα προσελήλυθει, καὶ τετίμητο μάγιστρος. Ὁ δὲ βασιλεὺς ἔπεισι τῷ ἔθνει εὐθύς· τὸ δὲ, ἄναρχον ὂν καὶ διεσπαρμένον, οὐ δυσέργως καταπολεμηθὲν, αὖθις τῇ τῶν Ῥωμαίων ἡγεμονίᾳ ὑπέκυψε, καὶ ὁ βασιλεὺς πρὸς τὸ Βυζάντιον ἐπανέζευξε, καὶ κατήγαγε θρίαμβον, αἰχμαλώτους τε πολλοὺς διαγαγὼν ἐν αὐτῷ, καὶ τὸν Δολιάνον αὐτὸν πεπηρωμένον τὰ ὄμματα. Εἶχε δ' ὁ αὐτοκράτωρ κακῶς, καὶ ἤδη τῇ λύσει προσήγγισε τῆς συνθέσεως. Καταῤῥανεῖ γοῦν τῆς ἀρχῆς, καὶ ἐκ τῶν βασιλείων μεταχωρεῖ, καὶ ἄπεισιν εἰς ὅπερ αὐτὸς πρὸ τῶν τειχῶν (16) τῆς πόλεως ἱδρύσατο ἀσκητήριον, ὃ ἐπὶ τῇ κλήσει τῶν θαυματουργῶν Ἀναργύρων ὠνόμασεν. Ἔνθα δὴ γεγονὼς, ἐκδιδύσκεται μὲν τὴν ἀλουργίδα καὶ τἄλλα πάντα τῆς βασιλείας γνωρίσματα, κείρεται δὲ τὴν τρίχα (17), καὶ τελεῖται τὴν ἱερὰν τελετὴν, καὶ ἐπενδύεται τὸ ῥάκος τῆς ἐκ Χριστῷ ταπεινώσεως, καὶ περιζώννυται τὸ θεῖον δέρας, τὸ τῆς ἑκουσίου νεκρώσεως σύμβολον, ὁ ἤδη καὶ ἄκων νεκρούμενος. Ὡς οὖν ἠγγέλθη τῇ βασιλίσσῃ (18) τὸ γενόμενον, πεζὴ τῶν βασιλείων ὑπέξεισι, καὶ ῥᾳδίως ἐκεῖνον ἀφίκετο. Ὁ δὲ ταύτῃ τὰς θύρας ἐπιζυγοῖ, καὶ τὴν πρὸς αὐτὸν ἀπείργνυσιν εἴσοδον, οὐκ οἶδα εἴτ' αἰδούμενος ἀνθ' ὧν πρὸς αὐτὴν ἐνεδείξατο, εἴθ' ὅλος τῆς μετανοίας γενόμενος, καὶ μὴ θέλων εἰς μνήμην ἐλθεῖν τῆς πρὸς ἐκείνην παλαιᾶς διαθέσεως. Ἡ μὲν οὖν, μὴ ἐντυχοῦσα τῷ Μιχαὴλ, ὑπενόστησεν. Ὁ δὲ, βραχύ τι τῇ μετατέσει τῆς βιοτῆς ἐπιβιώσας, πρὸς τὰς ἀϊδίους μονὰς μετέθετο τὴν ζωὴν, μέχρις ἐσχάτης ἀναπνοῆς τὸ πρὸς τὸν βασιλέα Ῥωμανὸν αὐτῷ τολμηθὲν ἀπολοφυρόμενος· βασιλεὺς γεγονὼς ἐπιεικὴς καὶ χρηστὸς, ὅσον τὸ εἰς αὐτὸν, τὸ συγγενὲς δὲ οἱ ὥσπερ τις κηλὶς προσεπερύκει αὐτῷ ῥυπαίνουσά πως τὴν ἐκείνου χρηστότητα. Ἱστόρηται δὲ ὁ βασιλεὺς οὗτος τοῖς μὲν ἐπ' ἔτος ἕβδομον τὸ σκῆπτρον κατασχεῖν τὸ Ῥωμαϊκὸν, τοῖς δὲ καί τι τούτου ἐπέκεινα.

B

XVIII. Romanorum vero imperium ad Cæsarem devenit, avunculi ejus industria. Nam Michael

ΙΗ'. Ἦκε δ' ἡ τῶν Ῥωμαίων ἀρχὴ πρὸς τὸν Καίσαρα, πάντα τοῦ μητραδέλφου αὐτοῦ τοῦ Ἰωάννου

Variæ lectiones et notæ.

(16) Καὶ ἄπεισιν εἰς ὅπερ αὐτὸς πρὸ τῶν τειχῶν, etc. Michael Psellus, l. IV Hist. ms. : Καὶ δὴ καὶ νεὼν τοῖς Ἀναργύροις αὐτοῦ που πρὸ τῶν τειχῶν τοῦ ἄστεως πρὸ ταῖς ἀῤῥωστίαις τοῦ ἡλίου λαμπρὸν ἐδομήσατο· οὐ πᾶσαν κρηπῖδα καταβαλλόμενος, ἀλλὰ μείζονα θεμελίοις περιβαλλόμενος· ἦν γὰρ ἐκεῖσε σηκὰς καμπρότητα μὲν οὐδεμίαν ἔχων, οὐδ' ἐπίσημος τῇ κατασκευῇ. Τοῦτον ἐκεῖνος εἰς κάλλιον μεταθέμενος σχῆμα, καὶ περιβολὰς ἔξωθεν ποιησάμενος, τυίχεσί τε περιβαλὼν, καὶ οἰκοδομημάτων λαμπρύνας κατασκευαῖς, ἀσκητήριον θεῖον ἀπέδειξε. Ex quibus plane docemur eamdem fuisse ædem quæ a Paulino magistro sub Theodosio Juniore ædificata fuerat, quam Monomachus in ampliorem C magnitudinem instauraverit. Vide nostram *Constantinopolim christ.* l. IV. p. 182.

(17) Κείρεται δὲ τὴν τρῖχα. Psellus : Μεταμφιέννυται τὴν ἀλουργίδα τοῦ πνεύματος, τὸ νεκρὸν ἀποβάλλεται τῶν τριχῶν, καὶ ἀναίσθησος σταυροῦται τῷ κόσμῳ· ὁπλίζεται τὰ νοητὰ ὅπλα, ζώννυται τὴν μάχαιραν, τῇ περικεφαλαίᾳ σκέπεναι, καὶ τροπαιοφόρος ἀναίμακτος πρὸς τὸν Δεσπότην χωρεῖ, καὶ ὁ βασιλεὺς ἀπῆλθε·

(18) Ὡς οὖν ἠγγέλθη τῇ βασιλίδι. Idipsum narrat Michael Psellus, l. IV extr. Hist. mss. additque sepultum ἐν αὐτῷ τῷ νεῷ (SS. Anargyrorum) εἰσιόντι κατὰ τὴν λαιὰν πλευρὰν ἔξευθεν τοῦ βήματος.

ἀνόοντος. Ὁ μὲν γὰρ βασιλεὺς Μιχαὴλ Καίσαρα τοῦτον ἐτίμησεν, ὡς προγέγραπται, εἶτα ὥσπερ μεταμελόμενος, οὐ χρηστὴν πρὸς ἐκεῖνον ἐτήρει διάθεσιν. Ὅθεν καὶ ἔξω ποῦ τῆς πόλεως ὥριστο αὐτῷ ἡ καταγωγή, καὶ οὐδ' ἐφεῖτο τούτῳ, εἰ μὴ κελευσθείη, πρὸς τὸν βασιλέα φοιτᾷν. Ὅπεὶ δὲ τῶν βασιλείων ὑπεξῆλθεν ὁ αὐτοκράτωρ, ὡς εἴρηται, οἱ ἐκείνου αὐτάδελφοι βασίλειεν πλάττονται γράμμα, ἐπιτρέπον ἐκείνῳ τὴν πρὸς τὰ ἀνάκτορα πάροδον. Καὶ ὁ μὲν εἰσελήλυθεν· ὁ δὲ πρῶτος τῶν ἀδελφῶν ὁ Ὀρφανοτρόφος μὴ δεῖν συνεβούλευσεν ἐπιχειρῆσαι πράξει τινὶ γνώμης τῆς βασιλίδος χωρίς. Προσίασι τοίνυν αὐτῇ, καὶ τοῖς ἐκείνης ποσὶ τὸν Καίσαρα καταβάλλουσι, καὶ προβάλλονται τὴν εἰσποίησιν, καὶ πίστεις διδόασι, καὶ φρικώδεις ὅρκους ὄμνύουσιν ἢ μὴν τοῦ ὀνόματος μόνου τῆς βασιλείας μετέχειν τὸν Μιχαήλ, ἐκείνης δ' εἶναι τὴν ἐξουσίαν, καὶ ὡς ἀργυρωνήτῳ, εἰ βούλεται, κεχρῆσθαι αὐτῷ. Τούτοις ἐκείνην, καὶ ἄλλως εὐαγωγον οὖσαν, καταγοητεύσαντες, καὶ καταθέλξαντες τοῖς μειλίγμασι, συλῶσι καὶ τοῦ ἑαυτῶν ποιοῦσι θελήματος. Καὶ ἐγχειρίζεται τῷ Μιχαὴλ τὸ σκῆπτρον, καὶ ἀναδεῖται τῇ βασιλικῇ στεφάνῃ, ὁ ταύτης ἀνάξιος, οὐ μᾶλλον ἐκ γένους, καίτοι τούτου τυχὼν δυσγενεστάτου καὶ ἀφανοῦς (τῶν γὰρ τὰς νῆας καταπιττούντων ἦν (19) αὐτῷ ὁ πατήρ), ὅσον ἐκ τρόπων κακότητος. Ἦν γὰρ ὕπουλος μὴν τὴν γνώμην, ἀγνώμων δὲ τὴν ψυχὴν καὶ ἀχάριστος, καὶ μήτε συγγενείας θεσμοὺς μήτε φιλίας αἰδούμενος. Ἦν δέ οἱ καὶ ἡ γλῶττα πρὸς τὰ βουλεύματα τῆς ψυχῆς ἀσύμφωνος καὶ ἀσύμβατος, ἄλλο μὲν ἑνὶ φρενὶ κεύθοντι, ἄλλα δὲ λέγοντι, καὶ ἐπὶ τούτοις εἴπερ τίς ἄλλος βάσκανος ὁ ἀνὴρ, δουλοπρεπής τε περὶ τὰς τῶν καιρῶν δυσκολίας καὶ ἀνελεύθερος, δύσοργός τε καὶ εὐμετάβολος, οὐκ ἐξ ὀργῆς ῥᾷον μεταβαλλόμενος εἰς πραότητα, ἀλλ' ἐκ χρηστοτέρας διαθέσεως εἰς μῖσος ἐκ τοῦ τυχόντος μεταφερόμενος. Ὁ μὲν δὴ τοιαῦτος ὢν ἐπὶ τὸν ἄξονα τῆς βασιλείας ἀνάγεται· τῷ δὲ Ὀρφανοτρόφῳ, καὶ θείῳ αὐτοῦ, καὶ τῷ συγγενικῷ ξύμπαντι ὁ κολοφὼν ἐντεῦθεν ἐπῆκτο τῶν συμφορῶν. Οὐ γὰρ ἐπὶ μακρὸν ἐτήρησε τὴν σκηνήν τε καὶ τὴν προσποίησιν, ἀλλ' ἐπί τινας βραχίστας ἡμέρας δεσπότην τὸν θεῖον ὀνομάζων, καὶ συνθρανοῦν αὐτῷ ἀξιῶν, καὶ πάντα ἐπ' ἐκείνῳ τιθέμενος, εἶτα ὑφῄρει τι τῆς τιμῆς, εἶτα οὐκ ἦν αὐτῷ πειθήνιος ἐν τοῖς πλείοσι, καὶ ἄλλοτε ἄλλο τι πρὸς τὸν θεῖον ὑποκνίζων αὐτὸν ἐνεδείκνυτο. Τῷ δὲ μετέμελε τῆς εἰς τὸν ἀνεψιὸν τοῦτον σπουδῆς, οὐκ εἶχε δ' ὅ τι καὶ δράσειεν ἐξ ἑτοίμου· ἀλλ' ἐβασσοδόμευε τὸ ἐγχείρημα, τέως δὲ οὐ συνεχῶς προσῄει τῷ βασιλεῖ. Διαφορᾶς δὲ πρὸς Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτῷ γενομένης, ᾧ μόνῳ ἐξ ἁπάσης

A imperator Cæsarem illum quidem appellarat, ut supra scripsimus, sed veluti facti pœnitens, benevolentiam erga illum non conservarat. Unde et extra urbem diversorium ei constitutum erat, neque permissum adire imperatorem, nisi juberetur. Sed cum is regia excessisset, ut dictum est, fratres illius nomine **243** imperatorio litteras confinxerunt, quibus illi accessus in regiam permittebatur. Quæ cum venisset, auctore Orphanotropho nullam rem sine consensu imperatricis suscipiendam censuit. Eam igitur adeunt, et Cæsare ad pedes illius prostrato, adoptionis commonefaciunt, fideque data sanctissime jurant Michaelem verbotenus duntaxat imperatorem fore, illius vero auctoritatem omnem esse oportere, usuramque ipsis non secus ac ære et libra emptis mancipiis. His illam, per se quoque facilem præstigiis ac blanditiis delinitam ita ceperunt, ut in ipsorum potestate esse. Itaque Michael sceptrum accipit, et regna corona redimitur, qua indignus erat, non tam ob genus villissimum et obscurum (pater enim ejus naves picare solebat), quam ob morum improbitatem. Fuit enim ingenio subdolo, animo iniquo et ingrato, neque cognationis nec amicitiæ jura reverens, lingua porro ab animi sententia dissentiente ac discrepante, alia legere, alia dicere solitus. Ad ea accedebat singularis invidentia. Temporibus difficilibus servilis erat et illiberalis, iracundus et mutabilis: sic tamen, ut a benevolentia facilius quavis de causa ad malevolentiam declinaret, quam ab iracundia ad clementiam. C Quamvis autem talis esset, ab gubernacula imperii ascendit, in ruinam et exitium Orphanotrophi avunculi, et totius familiæ suæ. Neque enim fictos et simulatos mores diu tenuit, sed perpaucis diebus avunculum despotam appellavit, consessu suo dignatus, et omnia ad illum retulit. Deinde paulatim aliquid de honore subtraxit: post plerisque in rebus ejus auctoritatem nihil fecit, et alias aliud egit, quod ille morderetur. Qui etsi studium erga nepotem suum damnabat, tamen quid in præsentia faceret non habebat: sed clam nescio quid cum animo suo agitans rarius adibat imperatorem. Enimvero controversia inter ipsum et fratrem Constantinum orta, cui soli ex omnibus necessariis imperator adhærebat ac nobilissimi titulum concesserat; cum imperator non castigasset, ob Joannem asperius se præsente increpatum: Joannes, dolore contumeliæ exacerbatus, longius ab urbe resessit. **244** Quo cognito magnam senatus partem ad se attraxit, non quod eum tanta benevolentia prosc-

B

D

## Variæ lectiones et notæ.

(19) Τῶν γὰρ τὰς νῆας καταπιττούντων ἦν. Psellus in cod. Epist. Καὶ τὴν βασίλειον ἀρχὴν περιζώννυται, οὐκ Ἀντίοχος, οὐδὲ Σέλευκος, ἄνδρες καὶ πολεμῆσαι δεινότατοι, καὶ τὸ θεῖον ὀρυνῆσαι ὀξύτατοι, ἀλλ' ἀνὴρ χθές τε καὶ πρώην νῆας ἀρμόττων καὶ συμπηγνύμενος, καὶ πίτταν ἐπεμβάλλων, τοῖς γόμφοις καὶ ἀσβόλαις πληρούμενος, οὐκ εἶδος ἔχον τυραννικόν, οὐ φρόνημα μεγαλοπρεπὲς, οὐ λόγον ἔμμουσον καὶ χαριεντα, οὐκ ἄλλο οὐδὲν τῶν οἷα ψυχὴν οἴδε καλλύνειν καὶ φύσιν σώματος. Ὦ Νέα Ῥώμη, καὶ γένος μεγαλοπρεπὲς καὶ ἐλεύθερον, ὧ οἱ ἀνέκαθεν βασιλεῖς, καὶ βῆμα βασιλικὸν καὶ βασίλεια, οἷαν αἰσχύνην τότε περιεβάλεσθε, οἵῳ ὑμεῖς δαίμων ἐφοβύνησε βάσκανος! Πλὴν ἀλλὰ τοῦτο, εἰ μέν τις μὴ αἰτιῶτο, τῷ αὐτοματάτῳ θετέον· εἰ δὲ φιλευσεβοίη τοῖς ἀῤῥήτοις τοῦ Θεοῦ κρίμασι.

quærentur, sed ut ejus benevolentiam colligerent. Imperator vero multorum ad illum conventum metuens, per litteras ei superbia objecta petit ut ad se veniat. Sed cum ille iret, non exspectato avunculi adventu, ludis circensibus in theatrum se contulerat. Eo igitur non invento, ob contumeliam adhuc ira æstuans Orphanotrophus recedit. Tum vero imperator in manifestas inimicitias erumpit, missaque nave eum adesse jubet, ut superbiæ suæ rationem reddat, et ad regiam navigantem, ex superiore loco, nota iis a quibus vehebatur tessera, aditu prohibet statimque missa triremi hominem relegat : hoc modo remuneratus eum, cujus beneficio primum Cæsar, post etiam imperator fuerat designatus. Quem cum amovisset, cognatos invadit, et viros non sexu duntaxat, sed ætate etiam barbatos jam maritos et patres, virilibus exsectis eunuchos facit.

καὶ οἱ τῆς πόλεως δι' ὀργῆς ἐποιοῦντο τὸν αὐτοκράτορα, ὡς δή τι μὴ κατὰ γνώμην αὐτοῖς προσφερόμενον. Τοιαύταις οὖν αἰωρούμενος ταῖς ἐλπίσι, στρατοπεδεύεται πρὸ τῆς πόλεως, πολιορκήσων αὐτὴν, εἰ μὴ δέχοιτο αὐτὸν ἑτοιμότατα. Ἔωθεν οὖν παραταξάμενος, καὶ ἀγχοῦ τοῦ περιβόλου τῆς πόλεως γεγονὼς περὶ τὰς Βλαχέρνας, ἀνοῖξαι οἱ τὰς πύλας ἠξίου τοὺς ἔνδον, ὑποσχέσεσι τούτους πρὸς τὴν πρᾶξιν παραθαρρύνων λαμπραῖς. Τῶν δὲ μηδ' ἐπιστρεφομένων αὐτοῦ, ἀλλὰ καὶ χλευαζόντων, καὶ πρὸς ἐκεῖνον ἀπυσκωπτόντων, ἐπεχείρει τῇ πρυσβουλῇ. Ἀντιπαρετάττετο δὲ καὶ ὁ βασιλεὺς, στρατιώταις ὀλίγοις καὶ ὄχλῳ δημοτικῷ καί τισιν ἄλλοις ἀνδράσιν ἐνίων τῶν τῆς γερουσίας θεράπουσι, τῶν πάντων οὐδ' εἰς ἀκριβῆ συναριθμουμένων χιλιοστύν· καὶ τούτους πρὸ τοῦ περιβόλου στήσας τῆς πόλεως ἀντιμετώπους τοῖς τοῦ τυράννου, ὤρετο καταπλήξειν αὐτοῖς τὸν ἀντίπαλον. Καὶ αὐτὸς δὲ ὁ αὐτοκράτωρ ἔν τινι τῶν βασιλικῶν θαλάμων προβεβλημένῳ τῶν ἄλλων καὶ ἐπὶ τὸ πρὸ τῆς πόλεως ἐστραμμένῳ πεδίον καθῆστο βασιλικῶς, ἵν' ὁρῷη τοὺς ἐναντίους καὶ ὁρῷτο αὐτοῖς. Οἱ δὲ Μακεδόνες βωμολοχίας ὄντες ἐμάδες, ἰδόντες τὸν βασιλέα, οἱ μὲν ἄντικρυς ἐξύβριζον εἰς αὐτὸν, οἱ δὲ, καί χοροὺς συνιστῶντες μέλη τέ τινα σχεδιάζοντες κωμῳδίας ἤρχοῦντο, καὶ ᾖδον ταῦτα, τοῖς ποσὶν ἐπικροτοῦντες τὴν γῆν. Εἶτα τοῖς ἔξω τοῦ τείχους προβεβλημένοις βασιλικοῖς μοίρας τινὸς ἐπελθούσης τῶν ἐναντίων, οἱ μὲν ἐπὶ τὰς πύλας ὥρμησαν, οἱ δ' ἐπὶ τὴν τάφρον ἐνέπιπτον καὶ ἀπώλλυντο, τοσοῦτον δ' ἅπασι τὸ δέος ἐγένετο, ὥστε τούς τε τοῖς τείχεσιν ἐφεστῶτας ἑαυτοὺς ἐκ τούτου καταβάλλοντας φεύγειν, καὶ τοὺς τὰς εἰσόδους φρουροῦντας τῆς πόλεων φρούδους αὐτίκα γενέσθαι, μηδὲ τὰς πύλας ἐπιζυγώσαντας. Εἰ γοῦν εἶχεν ὁ τότε πόλεμος τὸν εἰδότα νικᾷν, οὐδὲν ἦν τὸ κωλύον εὐθὺς τὸν Τορνίκιον ἐντὸς γενέσθαι τοῦ ἄστεος, καὶ τέλος ἐπιθεῖναι τῷ ἐγχειρήματι. Ἀλλὰ τοῦτο μὲν, ἐπεὶ μὴ τῇ ἄνωθεν ἐδέδοκτο διοικήσει, τὸν τυραννοῦντα διέφυγεν. Ὁ δέ γε βασιλεὺς μικροῦ ἂν ἐκινδύνευσε· τῶν γάρ τις ἐναντίων τόνδ' ἐπιτοξάζεται, καί βέλος ἀφίησι κατ' αὐτοῦ· τὸ δ', ἀτευκτῆσαν τοῦ βασιλέως, βάλλει μειράκιόν τι τῶν θαλαμηπολούντων. Ἀλλ' οὐδ' ἐκείνῳ καιρία γέγονεν ἡ ἐκ τοῦ βέλους πληγή. Οἱ δέ γε περὶ τὸν βασιλέα, δείσαντες, αὐτίκα μετέστησαν, κἀκεῖνος αὐτὸς ἄλλοσέ πη σὺν τῷ θώκῳ μετήνεκτο. Ὃν δ' εἴρηται τρόπον τὸν Τορνίκιον διαφυγὸν τὸ εὐτύχημα, εἰς τοὐναντίον αὐτῷ τὰ πράγματα περιέτρεψεν. Ἥ τε γὰρ πόλις αὖθις ὑπὸ φρουρὰν ἐγεγόνει, καὶ ὁ τύραννος πάλιν ἔωθεν προσβαλὼν καὶ ἀποκρουσθεὶς παρὰ βραχὺ καὶ ἀπώλετο ἄν. Λίθων γὰρ ἐκ μηχανῆς ταλαντιαίων σφενδονουμένων κατὰ τῶν ἐναντίων, εἷς ἐπὶ τὸν τύραννον ἧκτο, καὶ τοῦ μὲν οὐ καθίκετο, δειλίαν δὲ κἀκείνῳ καὶ τοῖς περὶ αὐτὸν ἐνεποίησε, καὶ λύσαντες τὴν παράταξιν ὑπενόστησαν εἰς τὴν σφετέραν παρεμβολήν, καὶ οὐκέτι τῇ πολιορκίᾳ ἐπικεχειρήκασιν, Ἀλλά τινας βραχείας ἡμέρας προσμείνας ὁ τύραννος, ἐπεὶ ἐώρα τοὺς μὲν τῶν οἰκείων προσχωροῦντας τῷ βασιλεῖ, τοὺς δὲ σκιδναμένους καὶ ἐκδιδράσκοντας, ἀπανίσταται μὲν τῆς περὶ τὸ ἄστυ προσεδρίας, ἀπῆει δὲ ὡς εὐπετῶς τῶν Θρᾳκίων κρατήσων φρουρίων, ἀλλ' ἀπεκρούσθη

κἀκείνων. Ἐν τοσούτῳ δὲ παρῆσαν, αἱ τῆς Ἑῴας δυνάμεις ἀνακεκλημένα παρὰ τοῦ αὐτοκράτορος· καὶ κατὰ τοῦ τυραννοῦντος ἀφείθησαν. Οἱ δ' αὐτῷ τὴν ἀποστασίαν συγκροτοῦντες, ὡς ἔγνων τοῦτο, δείσαντες περὶ σφίσιν, ἀλλὰ καὶ τοῦ τῶν Ἑῴων ταγμάτων ἐξάρχοντος παραστρατοπεδευσαμένου τοῖς ἀποστάταις, καὶ τοὺς μὲν ὁμιλίαις, τοὺς δὲ καὶ γράμμασι πείθοντος αὐτομολῆσαι τῷ αὐτοκράτορι, πάντες σχεδὸν ἀπολιπόντες τὸν τυραννήσαντα, προσήνωντο τοῖς βασιλικοῖς, καὶ οὐ τῶν ἀσήμων μόνον ἦσαν οὗτοι στρατιωτῶν, ἀλλὰ καὶ τῶν ἐπιφανῶν, καὶ ἐστρατηγηκότων καὶ λαμπρυνθέντων ἀρχαῖς, ἑνὸς μόνου τῶν ἐπισήμων παράμεμενηκότος αὐτῷ τοῦ Βατάτζη. Ὡς δ' οὖν ἐγκατελείφθη πρὸς τῶν λοιπῶν ὁ Τορνίκιος, καὶ πάντοθεν αὐτῷ ἄφυκτος ἦν ἡ κατάληψις, θείῳ ναῷ προσπεφεύγασιν αὐτός τε καὶ ὁ Βατάτζης. Ἐκεῖθεν δὲ πεδῆται (35) τῷ Μονομάχῳ προσήχθησαν· ὁ δὲ στέρησιν ἀμφοῖν καταψηφίζεται τοῦ φωτὸς, καὶ τοῖς μὲν ἐσβέσθησαν εὐθὺς οἱ λύχνοι τοῦ σώματος. ἡ δ' ἀποστασία διελέλυτο τέλεον.

ΚΔ'. Μέχρι μὲν οὖν τοῦδε μάχας ἐμφυλίους ὁ λόγος διηγησάμενος, μεταβήσεται νῦν πρὸς μάχας βαρβαρικάς. Προκείσθω δὲ τῶν ἄλλων τῶν Ῥὼς ἡ ἐπέλευσις. Τοῦτο τὸ ἔθνος καὶ ἄλλοτε πλειστάκις κατὰ Ῥωμαίων ἐγένετο, ἠττήθη δὲ, τέλος καὶ σπονδὰς πεποιητο πρὸς Ῥωμαίους καὶ κῆδος, ἵνα διὰ τὴν ἀγχιστείαν πρὸς ὁμόνοιαν τὰ γένη συνδέοιτο, καὶ παρ' ἀλλήλους ἐφοίτων ἐμπορευόμενοι. Ἦσαν οὖν καὶ τότε Ταυροσκύθαι πολλοὶ παρὰ τῇ Κωνσταντίνου, τὰ παρ' ἑαυτῶν ἀποδιδόμενοι, καὶ τὰ παρ' ἡμῖν ἀντωνούμενοι· Συνέβη δέ τισι τῶν Σκυθῶν ἔριν γενέσθαι πρὸς Ῥωμαίους τινὰς, πληγαὶ δ' ἐπηκολούθουν ταύτῃ καὶ τραύματα, τοῖς δὲ παρεῖποντο θάνατοι, καὶ τοῖς θανοῦσι καὶ εἷς τις τῶν ἐπισήμων παρ' αὐτοῖς συνηρίθμητο. Τοῦτο τῷ τῆς χώρας ἄρχοντι πρόφασις τῆς συγκινήσεως καθ' ἡμῶν γέγονε, καὶ αὐτίκα πλοῖα συμπηξάμενος, ἃ παρ' αὐτοῖς μονόξυλα λέγονται, σφόδρα πολλὰ, καὶ τούτοις ἐμβιβάσας πλῆθος ὑπερεκπίπτον σχεδόν τι καὶ ἀριθμὸν, ἀκήρυκτον Ῥωμαίοις ἐπέστησε πόλεμον, καὶ γίνεται τῆς Προποντίδος ἐντός. Ὡς δ' ἔγνω τὴν ἐπέλευσιν ὁ κρατῶν, σσέλλει παρ' αὐτοῖς τοὺς πρεσβεύσοντας, καταθέσθαι τὰ ὅπλα σφᾶς, ὡς ἑτοίμως τοῦ βασιλέως, εἴ τι γέγονεν αὐτοῖς πρὸς λύπην, ἐξιασομένου καὶ θεραπεύσοντος. Ὁ δὲ Βάρβαρος ὑπερηφάνως τε τοὺς πρέσβεις ἐδέξατο, καὶ λόγους μεγαλαύχους καὶ σοβαροὺς ἐξηρεύξατο, καὶ ἀτίμως αὐτοὺς ἀπεπέμψατό. Ἀπογνοὺς τοίνυν τὰς σπονδὰς ὁ κρατῶν, καὶ αὐτὸς πρὸς ναυμαχίαν παρεσκευάζετο, καὶ ἐπεὶ μὴ ἔτυχε τὸ ναυτικὸν ἐνδημοῦν, παρῴωτάτω δ' ὄν, φυλακαῖς χωρῶν προσησχόλητο, τριήρεις τινὰς καὶ ὁλκάδας ἄλλας ἑτοιμασάμενος, καὶ ταύταις τὸ πῦρ τὸ ὑγρὸν (36) ἐνθέμενος ἄφθονον, ἀντέταξε ταύτας τοῖς σκάφεσι τοῖς βαρβαρικοῖς, καὶ αὐτὸς ὁ αὐτοκράτωρ παρὼν, καὶ ἄνω που τοῦ λιμένος καθήμενος. Ὡς δὲ τὸ πολὺ τῆς ἡμέρας παρῆλθε καὶ ἠρέμουν οἱ Βάρβαροι, καὶ τὴν σύνταξιν οὐ διέλυον, τρεῖς τῶν τριηρῶν ἐκέλευσεν ὁ βασιλεὺς τῷ Θεοδωροκάνῳ λαβεῖν, καὶ ἀκροβολίσασθαι κατὰ τῶν Βαρβάρων, ἵν' αὐτοὺς εἰς πόλεμον ἐπισπάσηται. Ὁ δ' οὐκ ἀκροβολισμοῖς ἐπεχείρησεν, ἀλλὰ καθαρᾷ ναυμαχίᾳ, καί τινα μὲν σκάφη βαρβαρικὰ κατέφλεξε τῷ διύγρῳ πυρὶ, τινὰ δὲ κατέδυσεν αὐτανδρα, ἓν δὲ κατέσχεν ἔνδον αὐτὸς εἰσπεπεδηκώς, καὶ οὓς μὲν τῷ ξίφει συγκόψας, οὓς δὲ καταπλήξας, καὶ δεσμίους ὥσπερ

XXIV. Hactenus intestina bella commemoravimus. Nunc ad externa se convertat oratio, ac Russorum in primis expeditio narretur. Quæ gens cum alias quoque sæpissime Romanos agressa esset, victa fuit. Tandem fœdere icto, et affinitate juncta, utrumque populum devincire studuerunt, et commercia invicem agitarunt. Cum **254** autem tunc multi Tauroscythæ Constantinopoli merces suas venderent, et nostrates commercarentur: accidit ut, inter eos et Romanos quosdam contentione orta, a pugnis ad vulnera, a vulneribus ad cædes fieret progressio, et inter cæteros illustris quidem Scytha caderet. Ex eo Russorum princeps occasione sumpta, statim plurimis navigiis compactis, quæ apud eos monoxyla vocantur, multitudine quæ omnem prope numerum excedit, iis imposita. Propontidem penetrat, bellumque Romanis non ante indictum infert. Quos ubi imperator advenlare cognovit, missis legatis petit, ut arma deponant, se paratum esse si quid molesti eis accidisset, satisfacere. At Barbarus legatos superbe excepit, eosque insolentibus et molestis verbis eructatis, cum ignominia dimisit. Imperator igitur pace desperata, et ipse ad bellum navale se parat, et quia classis longissime aberat, tutandis provinciis occupata, triremes alias et onerarias naves, plurimo Græco igni impositio adversus hostilem classem mittit, atque ipse in summo portu considet. Ut autem magna dici parte elapsa, Barbari quiescebant, nec tamen aciem solvebant, Theodorocanum jubet cum tribus triremibus lacessere Barbaros, et ad pugnam elicere. Is vero non velitari cœpit, sed plane pugnam est auspicatus, et Græco igni aliquot naves Barbaricas cremavit, alias una cum viris demersit, unamque comprehendit, in quam ipse insiliit, aliis cæsis, aliis perterrefactis et metu quasi constrictis. Tribus triremibus feliciter ista ausis, signo ab imperatore dato plures onerariæ solvunt: quibus Barbari conspectis, pugnæ immemores, soluta acie in fugam conversi paulatim recesserunt, Romanis in ea pugna divinitus etiam adjutis. Nam subito ventus Orientalis coortus, fluctibus versus occidentem ingentibus in Barbarorum naves devolutis, multas submersit, multas petris et occultis scopulis illisas comminuit; vectores porro partim undæ absorpse-

## Variæ lectiones et notæ.

(35) Πεδῆται. Responsuimus ex mss. πεδῆται.

(36) Πῦρ ὑγρόν. Vide *Gloss. med. Græcit*

runt, partim fluctu in terram ejectos milites obsessis litloribus trucidarunt. Barbarororum multitudine ad hunc modum debellata, imperator victoria illustris in regiam reversus est.

τῷ δέει παῆειληφώς. Ὡς δ' οὕτω ταῖς τρισὶ τριήρεσι κατευτυχήθη ἡ κατὰ τῶν ἐναντίων ἐπέλευσις, καὶ ἄλλαις τῶν ὁλκάδων συνθημα παρέσχεν ὁ βασιλεὺς, καὶ ἀνήγυντο πλείονες· ἃς ὁρῶντες ἐπιοῦσας οἱ Βάρβαροι, οὐκέτι μάχης ἐμέμνηντο, ἀλλὰ τὴν σύνταξιν διαλύσαντες, πρύμναν ἐκροῦσαντο, καὶ ὥρμησαν εἰς φυγήν. Συνεμάχησε δὲ Ῥωμαίοις τότε καὶ ἄνωθέν τις ῥοπή· πνεῦμα γὰρ ἐξαίφνης σκληρὸν πνεῦσαν ἐξ Ἑῴας πρὸς τὰ Ἑσπέρια, καὶ καταιγίδα κινῆσαν, τοῖς τῶν Βαρβάρων ἐπήνεκτο σκάφεσι, καὶ πολλὰ μὲν ἐπέκλυσε, καὶ τῷ βυθῷ παραδέδωκε, πολλὰ δ' ὑφάλοις πέτραις καὶ σκοπέλοις προσήρραξε καὶ συνέτριψε. Τὰ δέ γε τούτων πληρώματα, τοὺς μὲν τὸ ὕδωρ ἐκάλυψε, τοὺς δὲ σύνταγμα στρατιωτικὸν ἐφεδρεῦον ταῖς ἠϊόσι διέφθειρεν, ἐκβρασσομένους τοῦ κλύδωνος· οὕτω δὲ καταπολεμηθέντος τοῦ τῶν Βαρβάρων πλήθους, ὁ βασιλεὺς τροπαιοφορῶν εἰς τὰ ἀνάκτορα ἐπανέζετξεν.

**255** XXV. Exposito uno Barbarico bello Tauroscytharum, ad alterius gentis, Turcorum videlicet, motum est transeundem, qui Orientem tum invascrunt, et in hunc usque diem infestant. Sunt autem Turci gens Hunnica, populosissima et libera, Caucasiorum montium septentrionale latus accolens. Nam cum Persæ, Macedonibus inter sese dimicantibus, regnum suum, ut supra ostensum est, recuperassent, idem a Sarracenis victi et oppressi, rursus amiserunt. Sarraceni vero, non uni principi parucrunt, sed seditione inter ipsos orta, in factiones divisi, alii alios oppugnarunt. Muchumetus igitur Imbraelis filius, Persidis, Chorasmiorum, Mediæ, et aliorum quorumdam populorum princes, temporibus Basilii Porphyro geniti, cum susceplo contra Indos et Babylonios bello succubuisset, Turcorum auxiliis accersitis Tangrolipice Mucalcto duce, hostes superavit: domumque reversus, Turcos ad sua redire non sivit, sed retinere voluit, ut eorum opera contra alios quoque uteretur. Qui cum domum redire, nisi per Araxidis pontem nequirent (fluvius is est, qui nonnisi ponte superari potest utrinque turrito, quem præsidiari milites tenebant), deliniunt, et montes occupant (nam cum tribus millibus plures non essent, cum multis millibus acie decernere non audebant), unde procurrentes, Saracenos prædantur. Muchemetus vero ad xx millia contra eos mittit, decem ducibus e suis popularibus summa belli credita, quos Turci noctu aggressi maxima ex parte facile trucidarunt; reliquiæ cum suis ducibus ad Muchumetum redierunt. Is decem illis ducibus excæcatis, et militibus atrocissima quæque comminatus, effecit ut præ metu ad Turcos confugerent. Ii vero jam aliis quoque multis confluentibus, servis et facinorosis hominibus, qui manubilis et rapinis gaudebant, numeroso confecto exercitu, prælio cum Muchumeto circa Apascham commisso, multos Sarracenas ceciderunt, ac inter alios ipse quoque Muchumetus cecidit. Tangrolipix igitur consensu exercituum imperio omnium gentium quæ Muchumeto paruerunt, accepto, turres pontis Araxidis everlit. Fluvii porro transitu patefacto, magna **256** Turcorum multitudo

ΚΕ'. Εἰς μὲν δὴ πόλεμος βαρβαρικὸς οὕτωσὶ διεδιήγηται, εἰρήσθω δὲ καὶ ἑτέρα τις συγκίνησις ἔθνους, ἣ τότε τὴν Ἑῴαν διέλαβε, καὶ μέχρι τοῦ νῦν αὐτὴν ἐπιβόσκεται, τοὺς Τούρκους φημί. Εἰσὶ μὲν οὖν (37) οὗτοι γένος τι Οὐννικῶν (38), οἰκοῦν τὰ προσάρκτια τῶν Καυκασίων ὀρῶν, πολυπληθὲς καὶ αὐτόνομον. Ἐπεὶ δ' ἡ Περσῶν ἀρχὴ, τῶν Μακεδόνων ἐφ' ἑαυτοὺς τραπέντων, καὶ ἀντιμαχομένων ἀλλήλοις, ἴσχυσε πάλιν τὴν ἀρχὴν ἀνασώσασθαι, ὡς ἔμπροσθέν μοι ἱστόρηται, ἡ δ' αὖθις ὑπὸ Σαρακηνῶν τὴν ἐξουσίαν ἀφῄρητο δεδούλωτό τε Σαρακηνοῖς, καὶ οὐχ ἕνα ἦσαν ἡγεμόνα τελοῦντες, πρὸς ἀλλήλους τε καὶ οὗτοι στασιάσαντες, εἰς ἀντιπάλους μοίρας διῄρηντο, καὶ ἀλλήλοις ἐπῆεσαν, Μουχούμετ οὖν ὁ τοῦ Ἰμβρατὴλ, Περσίδος ἄρχων καὶ Χωρασμίων, καὶ Μηδίας, καί τινων ἄλλων, πόλεμον ἤρατο κατὰ τοὺς χρόνους Βασιλείου τοῦ Πορφυρογεννήτου, κατὰ Βαβυλωνίων τε καὶ Ἰνδῶν, ἡττώμενος δὲ συμμαχικὸν ἐκ Τούρκων μετεπέμψατο. Ἦν δὲ τοῖς εἰς συμμαχίαν ἐλθοῦσι τῷ Μουχούμετ ταγματάρχης Ταγγρολίπιξ Μουκάλετ, μεθ' ὧν ὁ Μουχούμετ τοῖς ἀντιθέτοις προσβαλὼν, τροποῦται αὐτοὺς, καὶ ἀναζεύξας εἰς τὰ οἰκεῖα, οὐκ εἴα τοὺς Τούρκους εἰς τὴν ἑαυτῶν ὑποστρέψαι, ἀλλ' ἤθελε παρακατέχειν αὐτοὺς, ἵνα καὶ ἐφ' ἑτέροις χρῆτο συμμάχοις αὐτοῖς. Οἱ δὲ μὴ οἷοί τε ὄντες ἀπιέναι πρὸς τὴν σφετέραν, εἰ μὴ αὐτοῖς ἀνεθείη ἡ τοῦ Ἀράξιδος γέφυρα (ποταμὸς δ' οὗτός ἐστιν, εἰ μὴ διὰ τῆς γεφύρας οὐ περατὸς, ἡ δὲ γέφυρα ἐπεπύργωτο ἑκατέρωθεν, καὶ τοῖς πύργοις φρουροὶ ἐφειστήκεσαν), ἀποστατοῦσι, καὶ εἰς ὄρη καταφυγόντες (οὐ γὰρ ἐθάρρουν ὄντες τρισχίλιοι πρὸς πολλὰς κατὰ συστάδην μαχέσασθαι μυριάδας), ἐκτρέχοντες ἐκεῖθεν, τὰ τῶν Σαρακηνῶν ἐληίζοντο. Ἐκπέμπει τοίνυν κατ' αὐτῶν ὁ Μουχούμετ στράτευμα περὶ που τὰς εἴκοσι χιλιάδας, δέκα τῶν ὁμογενῶν ἀνδράσι τὴν αὐτῶν ἀγχειρίσας ἡγεμονίαν. Οἷς οἱ Τοῦρκοι νυκτὸς ἐπιθέμενοι, ῥᾷστα τοὺς πλείους κατέκοψαν. Οἱ δὲ περισωθέντες σὺν τοῖς αὐτῶν στρατηγοῖς εἰς τὸν Μουχούμετ ἀνθυπενόστησαν. Ὁ δὲ τοὺς μὲν δέκα τῆς στρατιᾶς ἡγεμόνας ἐξετύφλωσε, κατὰ δὲ τῶν περισωθέντων στρατιωτῶν ἠπείλει διαθήσειν αὐτοὺς τὰ χείριστα. Οἱ δὲ δείσαντες, τοῖς Τούρκοις προσέθεντο. Ἤδη δὲ καὶ ἄλλων προσρυέντων συχνῶν, δούλων τε καὶ κακούργων, λεηλασίαις χαιρόντων

## Variæ lectiones et notæ.

(37) Εἰσὶ μὲν οὖν. De Turcorum origine copiose satis egimus in Notis ad Nicephori Bryenii Hist. lib. 1, n. 7.

(38) Οὐννικόν. Mss. Οὐνικόν.

καὶ ἁρπαγαις, πολυπληθὲς ἐγένοντο στράτευμα, καὶ τῷ Μουχούμετ περὶ τὸ Ἀπασχὰν (39) συρρήγνυνται καὶ πολλῶν πεσόντων καὶ Σαρακηνῶν, καὶ αὐτὸς ὁ Μουχούμετ διέφθαρτο. Ὁμονοησάντων οὖν τῶν στρατευμάτων, παρὰ πάντων ὁ Ταγκρολίπιξ τὴν ἀρχὴν τῶν ὑπὸ τὸν Μουχούμετ ἐνεχειρίσθη χωρῶν. Αἰρεθεὶς δ' εἰς ἡγεμονίαν, πέμψας τοὺς ἐν τῇ γεφύρᾳ τοῦ Ἀράξιδος πύργους κατέβαλεν. Οὕτω δ' ἀνεθείσης τοῖς Τούρκοις τῆς διόδου τοῦ ποταμοῦ, πολὺ τῶν Βαρβάρων τούτων πλῆθος προσεφύη τῷ Τάγκρολίπικι, καὶ χεῖρα βαρεῖαν ἐκ τούτων ὁ τῶν Τούρκων κτησάμενος ἀρχηγὸς, ἀφαιρεῖται μὲν πάντοθεν τοὺς Σαρακηνοὺς τὴν ἀρχὴν, ἑαυτῷ δὲ ταύτην καὶ τοῖς ὁμογενέσι ἀπένειμε, καὶ εἰς ὑπηκόους τοὺς ἐκ τῆς Ἀγαρ κατέστησεν. Εἶτα αὐτὸς μὲν μάχῃ τοὺς Βαβυλωνίους προσεκτήσατο, τὸν δὲ ἀδελφόπαιδα Κουτλουμοὺς σὺν στρατιᾷ κατὰ τῶν Ἀράβων ἐξέπεμψεν· ὁ δὲ ἡττηθεὶς ὑπέστρεφε, καὶ διαπρεσβεύεται πρὸς τὸν τῆς Μηδίας ἄρχοντα (οὕτω δ' ἐκαλεῖτο πάλαι τὸ Βαασπρακᾶν) αἰτῶν παραχωρηθῆναι διὰ τῆς χώρας αὐτοῦ διελθεῖν. Ὁ δὲ τῆς χώρας ταύτης ἐκ βασιλέως ἄρχειν προχειρισθεὶς, οὐ μόνον οὐκ ἀνῆκε τούτῳ τὴν ὁδὸν, ἀλλὰ καὶ ἀντετάξατο κατ' αὐτοῦ, καὶ συμβαλὼν ἡττᾶται, καὶ πολλοὺς μὲν τῶν οἰκείων ἀπέβαλεν, ἥλω δ' αὐτός. Ὁ γοῦν Κουτλουμοὺς πρὸς τὸν Ταγκρολίπικα ἐπανελθὼν τὰ περὶ τοῦ κατὰ τὴν Μηδίαν διηγεῖται πολέμου, καὶ τῆς χώρας ἐξυμνεῖ τὸ πάμφορον, καὶ προσετίθει, εὐάλωτον εἶναι ταύτην, παρὰ γυναικῶν καρπουμένην, οὕτω καλῶν τοὺς μαχεσαμένους αὐτῷ. Ὁ δὲ Ταγκρολίπιξ αὐτῷ μὲν διὰ τὴν ἧτταν ἐμηνία, ἐκεῖνος δὲ κατὰ τῶν Ἀράβων ἐχώρει. Καὶ ὁ Κουτλουμοὺς δείσας ἀπέδρα μετὰ τῶν σὺν αὐτῷ, καὶ τὸ Πάσαρ (πόλις δ' ἔστι τῶν Χωρασμίων) τουτὶ κατασχὼν, ἀφίσταται τοῦ σουλτὰν (οὕτω γὰρ ὁ Ταγκρολίπιξ ὠνόμαστο) καὶ ἐπὶ πολὺ πρὸς τὸν θεῖον ἀντικαθίστατο, πολιορκοῦντα αὐτὸν, διὰ δὲ τὴν τῆς πόλεως ὀχυρότητα μηδὲν ἀνύσαι δυνάμενον. Καὶ ὁ μὲν σουλτὰν τῇ πολιορκίᾳ τοῦ Πάσαρ προσησχόλητο· στέλλει δὲ κατὰ Μηδίας Ἀσὰν σὺν ἀξιομάχῳ δυνάμει. Ὁ δὲ προσβαλὼν τῇ χώρᾳ, καὶ συμμίξας Ῥωμαίοις, πίπτει μὲν αὐτὸς, ἡττᾶται δὲ τὸ σὺν αὐτῷ στρατιωτικὸν, καὶ βραχίστων ἄτερ, τὸ πᾶν ἀπόλλυται. Ὁ μαθὼν ὁ σουλτὰν ἠθύμησε μὲν, ἐπαναλαβεῖν δ' αὖθις ἔσπευδε τὸ δυστύχημα, καὶ Ἀλὶμ Ἀβράμῳ ἑτεροθαλεῖ ἑαυτοῦ ἀδελφῷ στρατιὰν ἐγχειρίσας εἰς ἑκατὸν ἀριθμουμένην χιλιοστύας, κατὰ Ῥωμαίων ἐξέπεμψεν. Ὁ δὲ τοῦ Βασπρακᾶν στρατηγὸς τῷ βασιλεῖ περὶ τούτων διὰ γραμμάτων ἐδήλωσε, συμμαχίαν αἰτῶν· Καὶ ὃς τῷ Λιπαρίτῃ δυνάστῃ μοίρας τῶν Ἰβήρων τυγχάνοντι ἐπέστειλε συνελθεῖν τοῖς Ῥωμαίοις, καὶ ἐπαρῆξαι κατὰ τῶν Τούρκων. Τῶν Τούρκων δὲ ἐπιστάντων ἤδη, οἱ Ῥωμαῖοι πολεμῆσαί σφισιν οὐκ ἔκριναν, εἰ μὴ ἐνωθεῖεν κατὰ τὴν βασιλικὴν ἐντολὴν καὶ τοῖς Ἴβηρσιν. Ἀτρεμούντων δὲ τῶν στρατιωτῶν, μὴ δυνάμενος αὐτοῖς ὁ Ἀλὶμ συμβαλεῖν, εἰς ὀχύρωμά τι προσκαθημένοις, ἔπεισι

A ad eum se contulit. Sic magnis copiis Turcicis suffultus, omnibus Sarracenis ademptum imperium, in se et populares suos transtulit, et Agarenos sibi parere coegit. Deinde Babyloniis bello subactis, fratris filium Cutlumum cum exercitu contra Arabes misit, a quibus superatus per legatos a principe, quem imperator Mediæ (sic enim olim vocabatur Baaspracan) præfecerat, transitum postulat: quem is adeo non concessit, ut armatus illi occurreret. Sed multis suorum amissis, victus et captus est Cutlumus autem ad Tangropolipicem reversus, Medicum prælium referens, ejus regionis fertilitatem celebrat, eam expugnatu facilem esse asserens, ut qua mulieres fruerentur: sic enim appellabat eos, cum quibus pugnarat. Cæterum Tangrolipix illi ob cladem acceptam iratus, ipse contra Arabes proficiscitur. Cutlumus autem cum suis pœnæ metu

B aufugit, et Pasare Chorasmiorum urbe occupata, a sultano (sic enim Tangrolipix appellabatur) deficit, et patruo a quo obsidebatur, diu restitit, ob loci munitionem frustra laboranti. Qui ea obsidione occupatus, Asanem eum justis copiis contra Mediam mittit. Is impetu in provinciam facto, et prælio cum Romanis commisso, ipse cadit, amisso, paucissimis exceptis, toto exercitu. Quo sultanus cognito, sane doluit, sed jacturam illam resarcire cupiens, Alimo Abramio fratri ex altero parente exercitum centum millium circiter contra Romanos ducendum committit. Sed Baasparacanis prætor petitis ab imperatore auxiliis, Liparitam, partis Iberiæ dynastam exspectabat, neque cum Turcis

C dimicandum sibi censebat, priusquam ex mandato imperatoris Iberum auxiliores copiæ advenissent. Romanis igitur intra munitiones se continentibus, Alimus negata pugnandi copia. Arzem oppidum nullo muro circumdatum, quod mercatores pene innumerabiles, homines ditissimi incolebant, se primo impetu capturum ratus, spe sua frustratus est, cum illud invassisset. Nam incolæ aditus lignis obstruxerunt, et telis ex ædibus conjiciendis multos sustulerunt. Eo per sex dies facto, cum Turcorum dux Arzenos fortissime se defendere, 257 nec obsidione facile capi posse cerneret, igni eos superare instituit: quo ædibus injecto, cum incendium undique sæviret, civibus in fugam versis, Barbari oppido potiti, multum auri

D et aliarum opum invenerunt, quas flamma non absumpserat. Inde iterum contra Romanum exercitum properarunt. Cum Liparites cum Iberibus jam adesset, sub vesperam commisso ad Bulytum prælio Alimus et Chrosanes alter Barbarorum dux, cum suis conversi fugerunt, Romanis eos in multam noctem persecutis. Liparites vero in alio cornu pugnans ab hostibus captus fuerat, quem dum Romani in castra reversi diu exspectant, casus illius ignari, quidam nuntiat, captum ab

## Variæ lectiones et notæ.

(39) Ἀσπαχάν. Alter e Reg. Ἀπασχάν.

hostibus festinanter abduci. Quo cognito illi in mœrore erant, Barbari vero Lipariten ad sultanum perduxerunt. Imperator autem liberandi illius cupidus, magnam pecuniam ejus redimenti ergo et munera sultano misit, petens, ut Turci cum Romanis fœdus ferirent. Cui sultanus Liparitem gratis restituit, omni pecunia illi tradita, pro quo missa erat : hortatus, ne in posterum arma contra Turcos sumeret : atque ipse etiam legatum ad imperatorem misit, quem illi Scriphem vocant, cujus eadem fere conditio fuit, quæ olim apud nos syncelli. Nam ut is patriarchæ mortui locum occupabat, sic etiam Scriphes chalipha defuncto succedebat. Is igitur magnam urbem ingressus, et superbe cum imperatore collocutus, cum ab eo postulasset, ut tributa sultano penderet, infecta re est dimissus. Qua de causa iratus sultanus, ipse Romanos aggressus est, eoque tempore Turcica gens longius progressa, totum Orientem subegit, et usque ad continentem Byzantio obversam processit. Ac ita se res Turcicæ habuerunt.

A τῷ Ἀρτζε (κωμόπολις δ' ἦν τοῦτο)· πληθὺς δ' ἐνῆν αὐτῷ, ἵν' οὕτως εἴποιμι, καὶ ἀριθμὸν ὑπερβαίνουσα, ἔμποροι δ' ἦσαν οἱ ἄνθρωποι, καὶ πλοῦτος ἦν αὐτοῖς περιττός. Ὡς οὖν ἀτείχιστον τὴν κωμόπολιν ἐξ ἐφόδου αὐτὴν ἑλεῖν οἱ Βάρβαροι ἤλπιζον, ἄλλ' ἔγνωσαν, παραβουκολούμενοι ταῖς ἐλπίσιν, ἐπείπερ ταύτῃ προσέβαλον. Ταῖς γὰρ διόδοις ὕλας ἐπαγαγόντες οἱ ταύτης κάτοικοι, καὶ ταύταις αὐτὰς ἀποφράξαντες, ἐκ τῶν δωμάτων ἔβαλλον τοὺς ἐναντίους, καὶ ἀνῄρουν πολλούς, καὶ τοῦτο ἐφ' ἡμέραις ἐγίνετο ἕξ. Ὡς δ' ἔγνω ὁ τῶν Τούρκων ἀρχηγὸς ὁ Ἀλὶμ ἐρρωμενέστατα τοὺς Ἀρτζηνοὺς ἀντεχομένους, καὶ πολιορκίᾳ ῥᾷστα μὴ ἁλωτοὺς, πυρὶ τῶν ἀνδρῶν περιγενέσθαι διέγνωκεν· αὐτίκα τοίνυν ἀνῆπτο τοῦτο, καὶ τοῖς οἰκήμασιν ὑπεβάλλετο. Ὡς δ' ἐξήφθη πανταχόθεν πυρκαϊὰ, τρέπονται μὲν οἱ ἐγχώριοι, οἱ δὲ Βάρβαροι κρατοῦσι τῆς κωμοπόλεως, καὶ πολὺν ἐν αὐτῇ χρυσὸν καὶ ἄλλον πλοῦτον εὑρήκασιν, ὅσος μὴ κατανάλωτο πυρί. Ἐντεῦθεν αὖθις κατὰ τῆς Ῥωμαϊκῆς ὡρμήκασιν στρατιᾶς. Ἤδη δὲ καὶ τοῦ Λιπαρίτου σὺν τοῖς Ἴβηρσι παραγεγονότος, συμβολὴ τῶν στρατευμάτων ἐγένετο περὶ Βουλυτον. Ὁ μὲν οὖν Ἀλὶμ καὶ ὁ Χουσάνης (ἕτερος δ' οὗτος ἦν στρατηγὸς τῶν Βαρβάρων) μετὰ τῶν ὑπ' αὐτοὺς τραπέντες, ἐνέκλιναν εἰς φυγήν, καὶ σφᾶς οἱ ἀντιτεταγμένοι Ῥωμαῖοι μέχρι πόρρω νυκτῶν κατεδίωκον. Ὁ δὲ Λιπαρίτης κατ' ἄλλο κέρας μαχόμενος ἐάλω τοῖς ἐναντίοις. Ὡς δ' ἐπαύσαντο τῆς διώξεως οἱ Ῥωμαῖοι, τὸν Λιπαρίτην προσέμενον, μὴ εἰδότες, ὃ περὶ ἐκεῖνον συμβέβηκεν. Ἐν τοσούτῳ δέ τις αὐτοῖς ἀγγέλλει τοῦ Λιπαρίτου τὴν ἅλωσιν, καὶ ὅτι λαβόντες αὐτὸν οἱ ἑλόντες ἀπίασι σὺν σπουδῇ. Οἱ μὲν οὖν Ῥωμαῖοι ταῦτα μαθόντες, ἐν ἀθυμίαις ἦσαν, οἱ Βάρβαροι δὲ τῷ σουλτὰν τὸν Λιπαρίτην ἐκόμισαν. Ὁ μέντοι βασιλεὺς τοῦ Λιπαρίτου μαθὼν τὴν ἅλωσιν, πέμπει πρὸς τὸν σουλτὰν, ἐλευθερίας ἀξιῶσαι τὸν Λιπαρίτην ζητῶν, καὶ λύτρα τούτου πέμψας πολλὰ, καὶ δῶρα δὲ τῷ Σουλτὰν, καὶ σπονδὰς μέσον Ῥωμαίων καὶ Τούρκων γενέσθαι αὐτῶν. Ὁ δὲ σουλτὰν τὸν μὲν Λιπαρίτην δωρεάστέλλει αὐτῷ, τὰ δέ γε λύτρα πάντα τῷ, ὑπὲρ οὗ ἐπεπόμφεισαν, δέδωκε, καὶ μηκέτι ὅπλα κατὰ Τούρκων ἄρασθαι παρηγγύησεν, Ἐκπέπομφε δὲ κἀκεῖνος πρέσβυν πρὸς βασιλέα, ὃν ἐκάλουν ἐκεῖνοι σερίφην. Οὗτος δ' ἔστι παρ' αὐτοῖς ὅπερ πάλαι ἦν παρ' ἡμῖν ὁ λεγόμενος σύγκελλος· ὡς γὰρ ὁ σύγκελλος τοῦ πατριάρχου θανόντος εἰς τὸν ἐκείνου τόπον ἀντικαθίστατο, οὕτω καὶ ὁ σερίφης, τοῦ καλιφᾶ θανόντος, τὸν τελευτήσαντα διεδέχετο. Εἰσελθὼν οὖν εἰς τὴν μεγάλην πόλιν ὁ σερίφης, καὶ εἰς ὁμιλίαν τῷ κρατοῦντι ἐλθὼν, καὶ ὁμιλήσας ὑπερηφάνως φόρους τε τελεῖν ἀπαιτῶν τῷ σουλτὰν, ἀπεπέμφθη. Ἐντεῦθεν βαρυθυμήσας ὁ σουλτὰν, αὐτὸς κατὰ Ῥωμαίων ἐχώρησε, καὶ ἔκτοτε προχωροῦν τὸ τῶν Τούρκων γένος, τῆς Ἑῴας ἁπάσης ἐκράτησε, καὶ μέχρι τῆς ἀντιπύργιου τῇ Βυζαντίδι ἠπείρου κατήντησε. Τὰ μὲν οὖν τῶν Τούρκων τοῦτον ἔσχε τὸν τρόπον,

B

XXVI. Patzinacæ vero in Europa grassabantur, gens Scythica et populosa, ultra Istrum incolens, cui tum Tyrachus imperabat, vir nobilis ille quidem, sed ignavus. Alius vero quidam Cegenes, ut genere obscuro ortus, ita homo acer et strenuus, ob multa egregia facinora in bellis edita populo charus erat. Qua de causa Tyrachus cum per insidias tollere studebat. Quo ille animadverso, duabus e tredecim tribubus sibi conciliatis, trajecto Istro **258** in Romanorum fines venit, se transfugisse ad imperatorem, eique non inutilem fore, professus. Ea re indicata, Monomachus præsidem Scythas suscipere jubet. Cegenes vero Byzantium profectus, in conspectum imperatoris venit, et salutari baptismate initiatus, patricius est appellatus, suisque Scythis persuasit, ut et ipsi divino illo lavacro abluerentur. Cum vero in ripis Istri stativa haberet, et flumine subito trajecto, Tyrachios cædibus et rapinis infestaret: Tyrachus per legatos

C

Κζ'. Τὸ δὲ τῶν Πατζινάκων ἔθνος κατὰ τὴν Εὐρωπαίαν μοῖραν κεκίνητο· Σκυθικὸν δὲ τὸ ἔθνος καὶ πολυάνθρωπον, πέραν Ἴστρου νεμόμενον. Ἦν δὲ τότε τοῦ ἔθνους ἄρχων Τυρὰχ, ἀνὴρ τὸ μὲν γένος παρὰ τῷ ἔθνει λαμπρὸς, τὸ δὲ ἦθος νωθής. Ἕτερος δέ τις Κεγένης καλούμενος, ἄσημος μὲν ὅσον εἰς γένους ἀναφοράν, ἀνὴρ δὲ ῥέκτης τε καὶ δραστήριος, καὶ πολλάκις ἐν πολέμοις ἀνδραγαθήσας, παρὰ τοῦ ἔθνους περιῆλητο. Διὸ καὶ παρὰ τοῦ Τυρὰχ ἐλοχᾶτο, ζητοῦντος αὐτὸν ἀνελεῖν. Ὁ γνοὺς ἐκεῖνος, καὶ δύο τῶν φυλῶν προσεταιρισάμενος, οὐσῶν πασῶν δέκα ἐπὶ τρισὶ, σὺν αὐταῖς διέβη τὸν Ἴστρον, καὶ ἐπὶ τὰ Ῥωμαίων ὅρια γέγονεν, αὐτόμολος ἥκειν λέγων τῷ βασιλεῖ, καὶ οὐκ ἔσεσθαί οἱ ἀσυντελής. Ἐμηνύθη ταῦτα τῷ Μονομάχῳ, καὶ ὁ τῆς χώρας ἄρχων κελεύεται δέξασθαι τοὺς Σκύθας. Ὁ δὲ Κεγένης καὶ εἰς τὴν βασιλίδα τῶν πόλεων φοιτήσας, ἐς ὄψιν ἦλθε τῷ βασιλεῖ, καὶ τὸ σωτήριον δεξάμενος βάπτισμα

D

ἐτιμήθη πατρίκιος. Ἔπεισε μέντοι καὶ τοὺς σὺν αὐτῷ Σκύθας, τοῦ θείου τούτου λουτροῦ μετασχεῖν. Ποιούμενος δὲ τὰς διατριβὰς κατὰ τὰ παρίστρια, καὶ διαβαίνων τὸν ποταμὸν ἀθρόον, ἐκάκου τοὺς τοῦ Τυρὰχ, ἀναιρῶν τε καὶ λῃζόμενος. Πρεσβείαν τοίνυν ὁ Τυρὰχ πρὸς τὸν βασιλέα ἀπεσταλκὼς, ᾐτιᾶτο ὅτι τὸν ἀποστάτην τοῦ ἔθνους ἐδέξατο, καὶ εἰ μὴ κωλύσῃ κακοῦν τὸ ἔθνος τὸν πρόσφυγα, ἠπείλει τὸ ἔθνος ὅλων ἔξειν πολέμιον. Πρὸς ταῦτα δ' ὁ αὐτοκράτωρ οὔτε προδότης ἔφη τοῦ προσελθόντος γενήσεσθαι, οὔτε κωλῦσαι, μὴ ἀμύνασθαι τοὺς ἐπιβουλεύσαντας. Τούτων τῶν μηνυμάτων τῷ Τυρὰχ κομισθέντων, ἐπεὶ χειμὼν ἐπέστη, καὶ ὁ Ἴστρος ἐξ ὄχθης εἰς τὴν ἑτέραν τῷ κρύει πηγνύμενος κεκρυστάλλωτο, πεζῇ διέβη τὸν ποταμὸν σὺν τῷ ἔθνει παντὶ, καὶ τὴν Ῥωμαΐδα χώραν κατειληφὼς, τὰ ἐν ποσὶν ἐκεράϊζεν. Ὁ δέ γε βασιλεὺς τοῦτο μαθὼν στρατιὰν αὐτίκα τῷ τῆς χώρας ἄρχοντι καὶ τῷ Κεγένῃ ἐπίκουρον ἔπεμψεν. Οἱ μέντοι Πατζινάκαι τροφῶν ἀφθονίαν εὑρόντες, καὶ οἴνου καὶ ἄλλων ποτίμων ἐσκευασμένων ἐκ μέλιτος, καὶ περὶ ταῦτα ἀπληστευσάμενοι, νοσήματι κοιλιακῷ περιέπεσον. Καὶ τοῦτο ἐξ αὐτομόλου γνοὺς ὁ Κεγένης, ἀναπείθει καὶ τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπιθέσθαι τοῖς ἐναντίοις. Ὡς οὖν εἶδον οἱ Βάρβαροι τὴν κατ' αὐτῶν τῶν Ῥωμαίων ἐπέλευσιν, κατειργασμένοι τῇ νόσῳ τυγχάνοντες, ἰλιγγίασαν, καὶ ἀποδειλιάσαντες μεθῆκαν τὰ ὅπλα καὶ ἱκέται γεγόνασι, καὶ τοῖς ἐχθροῖς παρέδωκαν ἑαυτούς. Τούτων δ' ὅσοι μὲν ὑπὸ τὸν Κεγένην γεγόνασιν, οἱ μὲν ξίφεσι παρεδόθησαν, οἱ δὲ πρὸς δουλείαν χρυσοῦ ἀπεδύθησαν. Τὸ πλῆθος δὲ τὸ λοιπὸν χρήσιμον ἐνομίσθη γενέσθαι Ῥωμαίοις, εἰ τὰ ὅπλα ἀφαιρεθὲν, εἰς τὴν τῶν Βουλγάρων χώραν κατοικισθείη, ἔρημον οὖσαν τὴν πλείονα, πρὸ μικροῦ τοῦ ἔθνους ἐκείνου καταλυθέντος. Ὃ καὶ γέγονε, τοῦ βασιλέως κελεύσαντος. Ὁ δέ γε Τυρὰχ σὺν τοῖς ἐξόχοις τοῦ ἔθνους ἦλθε πρὸς τὸν κρατοῦντα, καὶ τοῦ θείου καταξιωθέντες βαπτίσματος, ἀξιώμασι λαμπροῖς ἐτιμήθησαν. Ὡς δὲ μάχαι τότε Ῥωμαίοις κατὰ τὴν Ἑῴαν μετὰ τῶν Τούρκων ἦσαν, πεντεκαίδεκα χιλιάδας Πατζινάκων ὁ αὐτοκράτωρ ἐπιλεξάμενος, καὶ καθοπλίσας αὐτοὺς, ἵππους τε παρασχόμενος, καὶ ἐπιστήσας στρατάρχας αὐτοῖς ἐκ τῶν ὁμογενῶν, ἃ Χρυσοπόλει διεπεραίωσεν, εἰς Ἰβηρίαν κελεύσας ἀπελθεῖν, τάξας αὐτοῖς καὶ προηγήτορα τῆς ὁδοῦ. Ὡς δ' οὖν περὶ τὸν Δαμαρτὴν ἦκαν, ἔστησαν, καὶ πρόσω βαίνειν οὐκ ἤθελον· εἰς τοὐπίσω δὲ χωρήσαντες, καὶ ἄχρι τοῦ πορθμοῦ ἐφθακότες, σὺν τοῖς ἵπποις τὴν θάλασσαν διαπορθμευσάμενοι κατὰ τὴν τοῦ ἁγίου Ταρασίου μονὴν, αὐτίκα συντεταγμένην ποιησάμενοι τὴν ὁδοιπορίαν, τοῖς ὁμογενέσι προσήνεντο, καὶ ἐπεὶ ὁμοῦ συνηθροίσθησαν, ἀπῆλθον καὶ ἐν τοῖς παριστρίοις πεδίοις ἐπήξαντο τὰς σκηνὰς, ἐκεῖθεν δ' ὁρμώμενοι, τὰ Θρᾳκῶα κατέτρεχον. Πολλάκις δὲ τοῦ βασιλέως κατ' αὐτῶν στράτευμα πέμψαντος, ἐπικρατέστεροι ἦσαν οἱ Βάρβαροι, ὥστε καὶ ἀδεῶς κατὰ πάσης τῆς Θρᾴκης καὶ τῆς Μακεδονίας σκεδάννυσθαι, καὶ λείαν ἅπαντα τίθεσθαι, καὶ οὐ τὰ πόρρω μόνον, ἀλλὰ μέντοι καὶ τὰ τῇ πόλει ἀγχίθυρα. Τέλος δὲ σπένδονται Ῥωμαίοις τριακοντούτεις σπονδὰς, καὶ οὕτως ὁ τῶν Πατζινάκων ἔληξε πόλεμος.

A cum imperatore ob transfugam susceptum expostulat, quem nisi coerceret, totam gentem hostem illi fore. Ad ea respondet imperator, se neque delitium prodituram, neque prohibiturum, quominus insidiatores ulciseretur. Hoc nuntio accepto, Tyrachus, cum Ister hiberno tempore totus conglaciasset, cum tota gente pedibus flumen transiit, Romanaque provincia occupata, obvia quæque vastavit. Sed imperator exercitum provinciæ præsidi et Cegeni statim subsidio misit. Patzinacæ vero cum annonæ et vini aliarumque potionum quæ ex melle conficiuntur, copiam invenissent, et iis avide se ingurgitassent, in cœliacum morbum inciderunt. Quo Cegenes e transfuga cognito, Romanis copiis fit auctor hostes invadendi. Eas cum Barbari morbo confecti contra B se ire vidissent, æstuantes, et animis armisque abjectis, facti supplices, hostibus se dediderunt. Quicunque vero in Cegenem inciderunt, partim gladiis sunt trucidati, partim auro ad servitutem venditi. Reliqua multitudo Romanis usui fore visa est, si armis ademptis in Bulgaria, maxima ex parte deserta, ob gentem illam non ita pridem eversam, collocaretur: idque jussu imperatoris factum est. Tyrachus vero et proceres ejus, ad illum perducti, baptizati, magnisque dignitatibus ornati sunt. Ut autem eo tempore Romanis cum Turcis bella erant in Oriente, imperator, delectu acto XV millia Patzinacarum armis, equis, et suæ gentis ducibus datis, Chrysopolim transvectos in Iberiam ire jussit: viæ quoque monstratore addito. C Qui cum ad Damatrim pervenissent, restiterunt, nec ultra progredi voluerunt, sed regressi usque ad fretum, mari juxta D. Tarasii monasterium **259** equis transmisso, continenter profecti sunt, donec se cum popularibus suis conjunxissent, quo facto tabernaculis in campis ad ripas Istri fixis, Thraciam incursarunt, copiis imperatoriis contra se missis subinde superiores, ut impune per totam Thraciam et Macedoniam vagarentur; et omnia prædarentur, non remota duntaxat, sed et urbi finitima. Tandem vero XXX annorum inducias cum Romanis pacisuntur. Et hic belli Patzinacarum fuit exitus.

ΚΖ'. Ὁ δὲ σουλτὰν οὐκ ἔλῃγεν ἐπιὼν τὰς ὑπὸ Ῥωμαίους χώρας καὶ πύλεις, καὶ τὰς μὲν λῃζόμενος, τὰς δ' ἐκπορθῶν τε καὶ οἰκειούμενος. Κατὰ τούτους τοὺς χρόνους καὶ ἐπιβουλὴν καθ' ἑαυτοῦ ὁ αὐτο-

XXVII. Sultanus vero Romanas urbes et provincias infestare non destitit, aliis direptis, aliis vastatis, aliis suo regno adjectis. Sub id tempus imperator insidias sibi factas deprehendit, a Ro-

mano Boila instructus. Is vir obscurus erat, lingua seminuda, et vi articulate loquendi destituta, partim naturæ vitio, partim simulatione et affectatione, qua insitum sibi vitium augebat. Eo homine imperator plus quam ullo alio delectabatur, et nugas illius perperam et confuse loquentis omnibus aliis voluptatibus præferebat: unde ita familiaris illi factus est, ut quavis hora illum convenire et alloqui auderet. Nec minus illi gynæceum quam imperatoris conclave patebat, quandocumque volebat, et utrinque ei divitiæ affluebant, ita ut licet a triviis, ad senatorium fastigium evectus esset: ea tamen felicitate non contentus, regnum etiam concupiscit, idque sibi vindicare contendit, imperatore interfecto. Quos igitur imperatori malo velle sciebat, iis arcanum detegebat: qui si orationem ejus probarent, eos magna spe proposita ad facinus confirmabat. Sin eum conatum aversarentur, aiebat, se id tentandi gratia dixisse, ut eorum fidem erga imperatorem exploraret, eorumque integritate collaudata, benevolentiam illorum imperatori testaturum sancte affirmabat. Cum autem sic plerosque tractaret, conjurati ejus rem facillime posse confici opinabantur. Nec enim in imperatoris duntaxat cubiculum, ipso dormiente, aut cum imperatrice cubante, homini patebat aditus, sed et occultorum adituum claves creditæ erant. Quare omnino destinata exsecutus fuisset, nisi a quodam ex conciis delatus, in manifesto scelere deprehensus esset, gladium ipsum adhuc **260** tenens, quo imperatorem percussurus erat. Cæterum ipse ob illius vecordiam nullas pœnas dedit, insidiarum conciis duntaxat supplicio affectis. Hic imperator cum se benignum et liberalem perhiberi vellet, in eo tamen neque artem neque modum adhiberet, a virtute magnificentiæ in vitium profusionis est devolutus. Publicam enim pecuniam ita dilargiebatur, ut neque quibus, neque quantum, neque quando esset tribuendum, observaret. Nam cum Manganorum monasterium ædificaret, quod ob adamatam Scleranam inchoasse fertur, ut eam tum in Cynegesio habitantem, per speciem structuræ inspiciendæ, crebrius viseret, fisco et publicis thesauris exhaustis, ad pecuniæ inopiam redactus, nec illicitis quæstibus abstinuit. Sed cum provinciæ quædam essent immunes, quæ pro omnibus vectigalibus, locorum angustias tuerentur, et Barbaros aditu Romanorum ditionum prohiberent: custodiis abolitis, tributa iis provinciis imperavit: unde Barbaris sine ullo negotio paluerunt. Illud certe quidem, si quis vere consideret, ei acceptum ferri potest, quod Oriens Marte Barbarico est subactus.

κράτωρ ἐφώρασεν, ἣν Ῥωμανὸς ὁ Βοΐλας συνεστήσατο. Ἦν δ' οὗτος τῶν ἀσήμων ἀνὴρ, καὶ τὴν γλῶσσαν εἶχεν ἡμίφωνον, μηδ' οἷαν ὀρθοεπεῖν, ὀλισθαίνουσιν δ' ἐν ταῖς ὁμιλίαις, καὶ ἀνεπαίσθητα τοῖς ἀκροαταῖς φθεγγομένην. Τοῦτο δ' ἦν τὸ μὲν ἐλάττωμα φωσικὸν, τὸ δὲ προσποίησις καὶ σκηνή, τὴν τῆς φύσεως διαμαρτίαν τῇ ὑποκρίσει τοῦ σκηνουργοῦ ἐπιτείνοντος. Τῷ τοιούτῳ τοίνυν ἀνδρὶ ὡς οὐδενὶ τῷ ὁ βασιλεὺς ἥδετο, καὶ εἰ διημαρτημένα καὶ ἀδιάρθρωτα ἤκουε φθεγγομένου αὐτοῦ, ὑπὲρ πᾶσαν ἡγεῖτο τὰς ἐκείνου φλυαρίας γλυκυθυμιαν. Καὶ οὕτω διὰ ταῦτα τῷ βασιλεῖ προσηκείωτο, ὡς πάντα καιρὸν εἶναι αὐτῷ τῆς πρὸς ἐκεῖνον εἰσόδου καὶ τῆς ἐντεύξεως. Καὶ οὐχ οὕτως αὐτῷ τὰ περὶ τὸν ἀνδρῶνα διέκειτο, ἡ δὲ γυναικωνῖτις οἱ ἀπεκέκλειστο, ἀλλ' ἄνετος ἦν αὐτῷ κἀκείνη, καὶ ὅτ' ἐβούλετο βάσιμος, καὶ ὁ πλοῦτος ἐπέῤῥει τῷ ἀνδρὶ ἑκατέρωθεν, καὶ ἐκ τῶν τριόδων ἀναρπασθεὶς, εἰς αὐτὴν ἀνήχθη τὴν συγκλητικὴν κορυφήν. Ὁ δὲ οὐκ ἠγάπα τοῦτον εὐδαιμονήσας τὸν τρόπον, ἀλλὰ καὶ τῆς βασιλείας ἐρᾷ, καὶ μελετᾷ ταύτην ἑαυτῷ προσνεῖμαι, κτείνας τὸν αὐτοκράτορα. Καὶ οὓς ἤδει δύσνους τῷ βασιλεῖ, τούτοις τὸ ἀπόῤῥητον ἀνεκάλυπτε. Καὶ τοὺς μὲν τὸν λόγον προσιεμένους μεγάλαις ἐλπίσιν ἐξαίρων, πρὸς τοῦργον ἐρώννυεν. Εἰ δέ τινες καὶ πρὸς τὴν προσβολὴν ἐδυσχέραινον, ὁ δὲ πεῖραν ἔλεγε τὸν λόγον προσαγαγεῖν. Ἵνα γνῷ τὴν ἐκείνων πίστιν τὴν εἰς τὸν αὐτοκράτορα, καὶ ἐπήνει τοὺς ἄνδρας τῆς διαθέσεως, καὶ γνωρίσαι τῷ βασιλεῖ εὔνους αὐτῷ τυγχάνειν διώμνυτο. Ὁ μὲν οὖν οὕτω μετήει τοὺς πλείονας, καὶ οἱ ἐκείνῳ συνομοσάμενοι ῥᾷστα τὸ βούλευμα ᾤοντο γενέσθαι ἀνύσιμον. Οὐ μόνον γὰρ ἡ πρὸς τὸν βασιλικὸν κοιτωνίστον πάροδος ἐκείνῳ ἄνετος ἦν, κἂν ἔτυχεν ὑπνώττων ὁ βασιλεὺς, κἂν καὶ τῇ βασιλίδι συνίαυεν, ἀλλὰ καὶ τὰς τῶν ἀπορῥήτων εἰσόδων κλεῖς ἐμπεπίστευτο. Καὶ ἤχθη ἂν εἰς ἔργον τὸ διαβούλιον, εἰ μή τις αὐτὸ τῷ βασιλεῖ κατεμήνυσε τῶν κοινωνησάντων τοῦ σκέμματος. Ἦλω τοίνυν ἐπ' αὐτοφώρῳ καὶ τὸ ξίφος αὐτὸ κατέχων ᾧ τὸν αὐτοκράτορα ἔμελλεν αὐτίκα διαχειρίσασθαι. Ἀλλ' ὁ μὲν διὰ τὸ τοῦ κρατοῦντος ἀβέλτερον, οὐδὲν ὑπέστη ἀνιαρὸν, οἱ δὲ τῆς ἐπιβουλῆς ἐκείνῳ συνίστορες οὐκ ἔμειναν ἀτιμώρητοι. Οὗτος ὁ βασιλεὺς φιλότιμος δοκεῖν ἐθέλων καὶ ἐλευθέριος, μὴ μετιὼν δὲ σὺν ἐπιστήμῃ τὴν ἀρετὴν ὡς ἐχρῆν, εἰς κακίαν ταύτην μετήνεγκεν. Ἀντὶ γὰρ μεγαλοπρεπείας εἰς ἀσωτίαν μετακεκόλιστο, οὔτε ὑίς ἔδει παρέχων τὰ δημόσια χρήματα οὔτε ὅσαπερ ἔδει οὔθ' ὅτε χρεών. Καὶ τὴν μονὴν δὲ τὴν τῶν Μαγγάνων (40) οἰκοδομῶν (λέγεται δὲ τῆς οἰκοδομῆς ἄρξασθαι διὰ τὴν ἐρωμένην αὐτῷ, τὴν Σκλήραιναν λέγω, ἵν' ἐκείνῃ προσ-

## Variæ lectiones et notæ

(40) **Μονὴν τῶν Μαγγάνων.** Ut in condendo S. Georgii ad Mangana monasterio imperii thesauros exhauserit Monomachus, qualisve fuerit et quam magnifica illius structura, præ cæteris narrat Michael Psellus, lib. v Hist. ms., neque in ea duntaxat, sed et in aliis Deo vel sanctis dicatis ædibus exstruendis: Εἶτα δὴ καὶ πρυτανεῖον νέον ἐπῳκοδόμησε, πτωχοτροφεῖον τοῦτο ἐπονομάσας, καὶ χρυσοῦ ῥεῦμα ἐντεῦθεν πολὺ τοῖς ἀσκεῖν προῃρημένοις ἀφῆκεν.

φοισᾷ συνεχῶς, ἐν τῷ οἴκῳ τοῦ Κυνηγεσίου ἐχούσῃ τότε δὴ τὴν κατοίκησιν) πρόφασιν ἔχων τοῦ σεμνείου τὴν δόμησιν, ἐξήντλησε τοὺς βασιλείους ἢ κοινοὺς θησαυροὺς ὅθεν χρημάτων δεόμενος, οὐδὲ τῶν ἀπειρημένων ποτισμάτων ἀπείχετο. Ἀλλὰ καὶ χωρῶν οὐσῶν, αἳ πρὸς τὸ δημόσιον τοῖς βασιλεῦσιν οὐ δασμοὺς συνεισέφερον, ἀλλ' ἀντὶ πάσης δασμοφορίας, δυστχωρίας ἐφρούρουν, καὶ τοῖς Βαρβάροις τὴν εἰς τὰς Ῥωμαίοις ὑποκειμένας χώρας ἀπετείχιζον πάροδον, ἐκεῖνος φόρους ταῖς χώραις ἐπιτάξας, ἐσχόλασε τὰς φρουράς. Κἀντεῦθεν ἡ πρὸς τὰς Ῥωμαίας χώρας ῥᾴστη τοῖς Βαρβάροις ἐγένετο πάροδος. Ἐκεῖνος τοίνυν ὁ ἀνὴρ αἴτιος τοῖς ἀπαθῶς λογιζομένοις κριθήσεται, τοῦ τὴν Ἑῴαν μοῖραν δουρὶ κυριευθῆναι βαρβαρικῷ.

ΚΗ'. Τῆς δὲ βασιλίδος Ζωῆς (41) ἐν γήρᾳ βαθεῖ (ὑπὲρ γὰρ τὰ ἑβδομήκοντα ἔτη παρεξετάθη αὐτῇ τὸ βιώσιμον) καταλυσάσης τὴν ζωήν, οὐκ ἀνδρικῶς ἐκεῖνος ἐθρήνησεν, ἀλλὰ μέντοι γε μειρακιωδῶς. Λέγεται δὲ καὶ ἀγγέλοις αὐτὴν παρεξισοῦν, ἐπειδή που τοῦ μνήματος ἐκείνης μύκης ἔκ τινος ὑγρότητος ἀνεβλάστησε, καὶ τοῦτο καλεῖν σημεῖον ἄνωθεν οἰκονομηθὲν, ἵνα μὴ ἀγνοῆται ἡ βασιλὶς ταῖς νοεραῖς συντεταγμένη δυνάμεσι. Τῆς δ' ὡς εἴρηται θανούσης, ὁ βασιλεὺς ἔτι φλεγμαίνων περὶ τοὺς ἔρωτας ἐπεισάγει τοῖς βασιλείοις μείρακά τινα ὅμηρον δοθεῖσαν Ῥωμαίοις ἐξ Ἀλανῶν, παῖδά τινος τῶν παρ' ἐκείνοις ἀρχηγετούντων, καὶ ταύτην σεβαστὴν ἀνομάσας, βασίλειον αὐτῇ τὴν θεραπείαν ἀπέταξε καὶ πλούτου χορηγίαν δαψιλεστάτην. Καὶ εἰ μὴ τὴν βασιλίδα, τὴν Θεοδώραν λέγω, πεποίητο δι' αἰδοῦς, ᾗ μᾶλλον τὸ τῆς τετραγαμίας ἠσχύνετο ἄθεσμον, καὶ βασίλισσα ἂν τὴν ἐρωμένην ταύτην ἀνεῖπε, καὶ διαδήματι κατεκόσμησεν ἄν. Ἐκείνου δὲ θανόντος, οὐ παρέμεινε τῇ σεβαστῇ τὸ εὐτύχημα. ἀλλ' εἰς τὴν προτέραν τῆς ὁμηρίας τύχην ἐπανελήλυθεν. Ἄρτι δὲ καὶ περὶ τοῦ τέλους ἱστορητέον τούτου τοῦ αὐτοκράτορος. Οὐ μακρὸς ἐξεμετρήθη χρόνος, ἐξότου τῆς ἡγεμονίας τῶν Ῥωμαίων γέγονεν ἐγκρατής, καὶ οἱ νόσοι ἀρθρῖτις ἐνέσκηψεν, ἢ πρότερον τοῖς ποσὶν ἐκείνου τοῦ ῥεύματος ἐπήνεγκε τὴν φοράν, ὥστε τὰς βάσεις αὐτοῦ πρὸς πορείαν καὶ στάσιν ἀδυνατεῖν. Εἰ δέ ποτε καὶ κινήσεως ἀνάγκην ἔσχηκεν, ἢ πρός τινων ὑποστηριζόμενος προέβαινε δυσχερῶς, ἢ καὶ πάμπαν ἑτερόκλινητος ἦν. Τοῦ χρόνου δὲ προϊόντος, καὶ ταῖς χερσὶν ἐπερρύητο αἴτιον· εἶτα καὶ τοῖς ὤμοις ἐπήνεκτο, καὶ τέλος ὅλον αὐτῷ τὸ σῶμα τῷ ῥεύματι κατεκλύζετο, καὶ παρεῖτο, καὶ ἐξηρθροῦτο, τοῖς τῶν ἄρθρων κοιλώμασιν ἐγκλειομένου τοῦ ῥεύματος. Ἔκαμνεν οὖν οὕτω πρὸ μακροῦ τὸ σῶμα τῷ βασιλεῖ. Εἶτα καί τι ἕτερον ἐπισυμβεβηκὸς (τὸ δ' ἦν ἐκ πνεύματος νυγμὸς περὶ τὴν πλευρὰν) προσδοκήσιμον ἐκείνῳ καὶ τοῖς αὐτῷ παραδυναστεύουσιν ἔθετο τὸ τέλος τῆς βιοτῆς, ὧν τὰ πρῶτα ὁ λογοθέτης ἦν Ἰωάννης, ἐκτετμημένον ἀνδράριον, ἄσημον μὲν ἐκ γένους καὶ δυσγετέστατον, πρὸς δὲ πραγμάτων μεταχείρισιν ἀφυέστατον, γραμματικῆς δὲ τέχνης τοσοῦτο μετεσχηκὸς, ὥστε μήτ' ὀρθοεπεῖν ἀκριβῶς ἀττικίζον, μήτ' ἀπταίστως ὀρθογραφεῖν. Ἐφ' ᾧ δὴ τὴν τῶν

XXVIII. Imperatrice Zoe provecta ætate mortua (septuagesimum enim annum excesserat) obitum ejus non ut vero dignum est, tulit, sed muliebriter luxit, eamque angelis æquiparasse fertur: cum ob loci humiditatem ex ejus monumento fungus germinasset, quem signum divina providentia editum vocavit, ut ne ignoraretur imperatricem in cœtum intelligentium Potestatem esse receptam. Verum adhuc amoris incendio flagrans, adolescentulam quandam Alani principis filiam, obsidem Romanis datam, in regiam introductam Augustam appellat, addita custodia regia et sumptibus liberalissimis. Quod ni Theodoram imperatricem reveritus esset, ac potius quarti conjugii dedecus et nefas, amicam suam etiam imperatricem appellasset, et diademate exornasset. Cæterum illa Augustæ felicitas non diu duravit: nam post imperatoris obitum ad pristinam conditionem est reversa. Nunc de exitu imperatoris est dicendum. Non multo post quam sceptro potitus esset, morbus eum articularis **261** invasit, humoribus principio ad pedes decurrentibus, ut neque stare, neque ingredi posset. Quando autem eum moveri necesse erat, aut ab aliis sullultus ægre ingrediebatur, aut gestabatur. Verum progressu temporis, fluxiones in manus etiam incumbebant, deinde humeros vexabant, denique totum corpus infestabant et laxabant, cavitatibus articulorum se insinuantes. Ad hæc aliud accessit malum, vellicatio lateris ex anhelitu, qua fiebat, ut nec ipse vitæ diuturnioris spem haberet, nec ejus proceres, quorum primarius erat logotheta Joannes, castratus homuncio, obscuro et ignobilissimo genere ortus, et ad res gerendas ineptissimus, grammaticæ artis adeo peritus, ut in affectatione Alticismi, neque recte loqui, neque citra errorem scribere posset. Ei summam rerum imperator commisit: eumdem principem senatus designavit. Nam prius reipublicæ administratio penes virum, huic omnino et genere et facundia et scientia regendæ civitatis dissimilem fuerat: qui cum imperator aliquid secus quam conveniebat, juberet, non statim ad voluntatem ejus propendebat, sed refragabatur et deterrebat. Quod cum sæpius fieret, ille graviter et iniquo animo liber-

## Variæ lectiones et notæ.

(41) Τῆς δὲ βασιλίδος Ζωῆς. Annum obitus Zoes indicat Lupus Protospatha: *An.* 1050, *indict.* 3, *obiit Zoe imp. soror Theodoræ, quæ fuerunt filiæ Constantini imp. Zoe enim habuit viros tres, primum Romanum, secundum Michaelem, tertium Constantinum Monomachum Regnavit cum his tribus viris ann.* 22, *post mortem vero prædictæ Zoes regnavit ipse Constantinus imperator cum Theodora sua cognata jam novem annis.*

tatem illius ferens, homini (Lichudes is vocabatur), ut adversatore careret, munus id creptum, in Joannem transfert, ne suæ cupiditates inhiberentur. Is igitur Joannes et alii magnates, desperata imperatoris vita, ei auctores sunt de successore deliberandi: monentque, Protevontem aptum esse ad imperium, qui cum Bulgariam regeret, ab urbe aberat. Missus igitur est, qui eum accerseret: idque clam Theodora, non tamen ita, quin arcano illo consilio deprehenso, ægrotum polestatem in alium transtulisse cognorit. Itaque illa moribundo in Manganis regiis relicto, industria ministrorum suorum conscensa nave ad magnam regiam appellit. Ibi et imperatoriis satellitibus, et selectis senatoribus ad eam confluentibus, imperatrix ab omnibus est salutata, ut ad quam imperium jure hereditario pertineret. Eo res Monomacho dolorem auxit: cumque non amplius vixisset, quam ut suspirio dolorem et tristitiam inde **262** conceptam testari posset, exspiravit. Regnavit annos XII et menses octo: sepultus est in Manganorum monasterio a se condito.

Α κοινῶν πραγμάτων διοίκησιν ὁ βασιλεὺς ἐποιήσατο, καὶ τῶν τῆς βουλῆς ἀπέδειξεν ἁπάντων κορυφαιότατον. Ἦν μὲν γὰρ ἐπὶ τῶν βασιλικῶν διοικήσεων πρώην ἀνὴρ τούτῳ τὰ πάντα ἀντίρροπος καὶ γένος καὶ λόγον, καὶ τὴν περὶ τὰς πολιτικὰς οἰκονομίας ἀκρίβειαν. Τοιοῦτος δ' ὢν, ὀπτηνίκα τι παρὰ τὸ καθῆκον ἐπέταττεν αὐτῷ ποιῆσαι ὁ βασιλεὺς, οὐκ ἦν τῇ προαιρέσει τοῦ κρατοῦντος ἐπικλινὴς, ἀλλ' ἀντέλεγέ τε καὶ ἀνεῖργε τοῦ μὴ προσήκοντος. Ὁ δὲ ἐχαλέπαινε, καὶ πολλάκις τούτου γινομένου, ἐμηνία τῇ τοῦ ἀνδρὸς ἐκείνου ἐλευθερίᾳ, καὶ ἵνα τὸ ἀντίξουν ἀποφορτίσαιτο, μεθιστᾷ μὲν ἐκεῖνον τῆς τῶν κοινῶν διοικήσεως (ὁ Λειχούδης ἦν οὗτος), ἀντεισάγει δὲ τὸν Ἰωάννην, καὶ τούτῳ τὴν τῶν πολιτικῶν πραγμάτων ἐγχειρίζει κυβέρνησιν, ἵνα μὴ πρός τινος ἐφ' οἷς ὁρμήσει ἀνείργοιτο. Οὗτος τοίνυν ὁ Ἰωάννης καὶ ἕτεροι, μέγα κἀκεῖνοι δεδυνημένοι παρὰ τῷ βασιλεῖ, ἀπεγνωκότες αὐτῷ τὸ βιώσιμον, πείθουσι τὸν κάμνοντα φροντίσαι περὶ διαδοχῆς, καὶ ὑποτιθέασιν αὐτῷ εἶναι πρὸς τὴν ἀρχὴν ἐπιτήδειον τὸν Πρωτεύοντα (42)· ὁ δὲ τὴν τῆς Βουλγαρίας ἀρχὴν περιέζωστο, καὶ ἀπεδήμει τῆς βασιλίδος τῶν πόλεων. Ἔσταλτο τοίνυν ὁ τὸν ἄνθρωπον μεταπαλεσόμενος· ἐκ δὲ τῆς βασιλίδος Θεοδώρας ἡ βουλὴ ἀπεκέκρυπτο. Ἀλλ' οὐκ εἰς τέλος τὸ βούλευμα τὴν βασιλίδα διέλαθε. Γνοῦσα δὲ ὡς οὐκ ἐπ' αὐτῇ ποιεῖται τὸ κράτος ὁ τελευτῶν, τὸν μὲν ἐᾷ δυσθανατοῦντα κατὰ τὰ ἐν τοῖς Μαγγάνοις βασίλεια· ἐκείνη δὲ σπουδῇ τῶν ὑπηρετουμένων αὐτῇ ἐμβεβηκυῖα νηΐ, εἰς τὸ μέγα προσωρμίσθη ἀνάκτορον. Καὶ αὐτῇ ἥ τε βασιλικὴ δορυφορία προσερρύη αὐτίκα, καὶ τῆς γερουσίας τὸ ἔκκριτον, καὶ αὐτοκράτωρ πρὸς πάντων ἀνερρήθη, ὡς αὐτῇ κατὰ κλῆρον τῆς ἀρχῆς προσηκούσης. Τοῦτο τῷ Μονομάχῳ γνωσθὲν, προστίθησιν ἄλγημα, καὶ βραχύ τι ἐπιστενάξαι τοῖς γενομένοις καὶ ἀθυμῆσαι ἐξέλιπε, βασιλεύσας ἔτη δώδεκα καὶ μῆνας ὀκτὼ, καὶ κατετέθη εἰς τὴν παρ' αὐτοῦ δομηθεῖσαν μονὴν τῶν Μαγγάνων.

B

XXIX. Theodora sola potita rerum, jam effeta ætate, imperatorem sibi adjungere noluit, sed delecta imperio, quoad vixit, omnia in sua potestate habuit, idque consilio et opera ministrorum quoque suorum, quos summis magistratibus præfecit. Rerum civilium administrationem Leoni syncello, cognomento Paraspondylo, mandavit, qui olim imperatori Michaeli operam navarat. Ipsa vero pro tribunali præsedit, legatis respondit, magistratus creavit, jus dixit, suffragia tulit, sententiam suam in rebus privatis et communibus interposuit. Ac fortunata fuit ejus gubernatio. Neque enim quisquam illi se opposuit, neque subditi decreta ejus neglexerunt, neque ulla gens tum Romanis bellum fecit, sed et anni partes suam temperiem habuerunt, et terra uberes fructus tulit. Quamvis autem natu grandis, ut dictum est, sceptris potita esset, tamen adhuc longum sibi vitæ tempus pollicebatur, cum corpore firmiore esset, quod laboribus haud facile cederet. Sed cum et ipsam fata urgerent (etsi monachi quidam nescio quot ei sæcula viræ promittebant) et familiares ejus ob morbum gravissimum, quem Iliacum medici vo-

C

Κθ'. Ἡ δὲ βασιλὶς Θεοδώρα, ἔξωρος τῆς αὐταρχίας κρατήσασα, βασιλέα τοῖς πράγμασιν ἐπιστῆσαι οὐκ ἤθελεν. ἀλλ' ἡδυνημένη τῇ ἐξουσίᾳ, παρ' ὅσον ἐπεδίω τῇ βασιλείᾳ καιρὸν, αὐτὴ τῶν ὅλων ἦν ἐγκρατὴς, πρὸς τοῦτο καὶ παρὰ τῶν αὐτῆς θεραπόντων ἐμβιβασθεῖσα, οὓς καὶ ταῖς μεγίσταις ἐπέστησε τῶν ἀρχῶν. Τὴν δὲ τῶν πολιτικῶν πραγμάτων διοίκησιν τῷ συγκέλλῳ (43) Λέοντι, ὃς Παρασπόνδυλος ὠνόμαστο, ἐνεχείρισε, τὸ πάλαι τῷ βασιλεῖ Μιχαὴλ ὑπηρετήσαντι. Ἡ δὲ προὐκάθητο ἐπὶ βήματος, καὶ ἐχρημάτιζε πρέσβεσι, καὶ ἦν ἀρχαιρεσιάζουσα, καὶ δίκαις ἐνθεμιστεύουσα, καὶ ψήφους ἐκφέρουσα, καὶ διαιτῶσα δημοσίαις καὶ κοιναῖς ὑποθέσεσι, καὶ εὔδαιμον ὑπῆρξεν αὐτῇ τὸ αὐτοκρατές. Οὔτε γάρ τις ἀντῆρε χεῖρα αὐτῇ, οὔτ' ὀλιγώρως πρὸς τὰ ἐκείνῃ δεδογμένα ὤφθη διατεθὲν τὸ ὑπήκοον, οὔτ' ἔθνη τότε κατὰ Ῥωμαίων κεκίνηντο, ἀλλὰ καὶ εὐκρασία γέγονε τῶν ὡρῶν, καὶ ἡ γῆ τοὺς καρποὺς ἀφθόνους ἐξήνεγκεν. Ἔξωρος (44) δὲ, ὡς εἴρηται, καὶ πλήρης ἡμερῶν ἡ βασιλὶς αὕτη τῶν σκήπτρων κρατήσασα, ὅμως μακροὺς ἔτι τῆς ζωῆς ἑαυτῇ ἐπεμέτρει ἐνιαυτούς. Εἶχε δὲ καὶ τὸ σῶμα ἐρρωμενέστερον, καὶ μὴ ῥᾳστα πόνοις καμπτόμενον. Ἐπεὶ

D

## Variæ lectiones et notæ.

(42 Πρωτεύοντα. Nicephorum vocat Scylitz. Vide *Gloss. med. Græc.* in Πρωτεύων.

(43) Συγκέλλῳ. Ita reposuimus ex duob. Reg. pro Συγγέλῳ, quomodo scripserat Wolfius, et alter e Reg. præfert. Sic hanc vocem corrupisse sequiorem Græciam constat. Vide *Gloss. med. Græcit.*

(44) Ἔξωρος. Addunt duo codd. μοναρχήσασα, pro τῆς αὐταρχίας κρατήσασα. Ita non semel habentur in mss. synonyma, quæ sæpe omisimus, ut et Wolfius.

δὲ καὶ ταύτην κατήπειγε τὸ χρεὼν (εἰ καί τινες αὐτῇ μοναχοὶ αἰῶνας ἔτι ζωῆς ἐπηγγέλλοντο) καὶ νόσῳ περιεπεπτώκει δεινῇ, ἣ τοῖς Ἀσκληπιάδαις ὠνόμασται εἰλεὸς, καὶ τοῖς περὶ αὐτὴν αἱ ἐλπίδες αἱ περὶ αὐτῆς ἀπεγνώσθησαν, συλλεγέντες βουλεύονται, τίνα ἂν εἰς τὴν ἀρχὴν ἀντεισαξωσιν, ὃς αὐτοῖς τὴν εὐετηρίαν τηρήσει καὶ τὸ εὐτύχημα. Ἔδοξεν οὖν πρὸς τοῦτο σφίσι κατάλληλος ὁ Στρατιωτικὸς Μιχαὴλ (45), ἀνὴρ ἐκ Βυζαντίου μὲν γεγονὼς, πρὸς πραγμάτων δὲ, καὶ ταῦτα τοσαύτης ἡγεμονίας μεταχείρησιν ἀποπεφυκὼς, ἔκ τε φυσικῆς νωθείας καὶ ἀφελείας, καὶ διὰ χρόνου μῆκος, ὃ τῇ ἐκείνου παρεξετάθη ζωῇ. Ἤδη γάρ οὐ γέρων ἦν, ὡς παρὰ τοῦ δημώδους πλήθους ὠνόμαστο, ἀλλὰ πρεσβύτης. Τοῦτον οὖν πείθουσι τὴν Θεοδώραν ἀντικαταστῆσαι τῇ βασιλείᾳ. Ἡ δὲ αὐτίκα ταινιοῖ τῷ βασιλείῳ τὸν Μιχαὴλ διαδήματι, πρότερον ὅρκοις προκαταληφθέντα φρικώδεσι, μήτι τῆς ἐκείνων γνώμης χωρὶς ἐπὶ ταῖς τῆς βασιλείας οἰκονομήσασθαι διοικήσεσιν. Ἐπὶ τούτοις τὴν βασιλίδα τὸ πνεῦμα ἐξέλιπε, μοναρχήσασαν ἔτος ἓν ἐπὶ ἐννέα μησίν.

A cant, de salute illius desperassent: in unum congressi deliberant, quis in ejus locum substituendus essel, a quo prosperitas illa et felicitas conservaretur. Eis porro deliberantibus talis visus est Michael Stratioticus, vir Byzantius ille quidem, sed ad tractationem rerum, tanti præsertim principatus, cum ob ætatem longissimam ineptus. Neque enim senex erat, ut vulgo vocabatur, sed pene decrepitus. Persuadent igitur imperatrici, ut eum in imperio collocet: a qua statim diademate redimitus est, sanctissimo prius jurejurando adactus, se nihil sine illorum consensu in imperatoriis administrationibus decreturum. His peractis, imperatricem spiritus defecit, cum annum unum et menses novem imperasset.

# LIBER DECIMUS OCTAVUS.

Λ'. Ὃν οὖν εἴρηται τρόπον ὁ πρεσβύτης (46) Μιχαὴλ αὐτοκράτωρ ἀναρρηθεὶς, τοῖς μὲν τῆς γερουσίας καὶ τῷ δημώδει πλήθει καὶ παρὰ τὸ προσῆκον ὤπτο φιλοτιμώτατος, ἕκαστον τούτων εἰς βαθμοὺς προβιβάζων ἀξιωμάτων, καὶ τιμὰς προσνέμων ἀκαταλλήλους τοῖς πλείοσι. Τοῖς δὲ στρατιωτικοῖς καταλόγοις, καὶ μάλιστα τοῖς τούτων ἐξόχοις, οἷς στραταρχεῖν τε καὶ ἱλαρχεῖν ἀπονενέμητο πρὸ πολλοῦ, καὶ λίαν ἀντιβρόπως τοῖς ἄλλοις ἐκέχρητο. Οὔτε γὰρ φιλότιμόν τι πρὸς αὐτοὺς ἐπεδείξατο, ἄρτι καταλαβόντας τὴν βασιλίδα τῶν πόλεων, οὔτε μὲν πραέσιν αὐτοὺς ἐδεξιώσατο ῥήμασιν. Ἥστην δὲ τούτων πρωτεύοντε ἄνδρε διττὼ, μαγίστρων μὲν ὄντε καὶ ἄμφω, λαμπρὼ δὲ τὰ γένη, καὶ οὐχ ἧττον στρατηγικῇ συνέσει καὶ κράτει χειρῶν καὶ θάρσει ψυχῶν εὐχέτην τὴν περιφάνειαν. Τούτων ἕτερος ἦν ὁ Κομνηνὸς Ἰσαάκιος (47), ὁ δὲ λοιπὸς ὁ Κεκαυμένος Κατακαλών, ᾧ Κολώνεια ἡ πατρὶς, ὃν καὶ δοῦκα Ἀντιοχείας τυγχάνοντα, ἅμα τῇ ἀναῤῥήσει παρέλυσε τῆς ἀρχῆς, τὸν οἰκεῖον ἀνεψιὸν Μιχαὴλ αὐτίκα μάγιστρόν τε καὶ δοῦκα τῆς Ἀντιοχείας προχειρισάμενος, καὶ Οὐρανὸν ἐκείνῳ θέμενος τὸ ἐπώνυμον, ἵνα πρὸς τὸν ἀρχαῖον Οὐρανὸν ἀναφέρειν δοκῇ τὸ γένος. Τοῦτον τοίνυν τὸν Κεκαυμένον, ὡς δῆθεν μὴ καλῶς χρησάμενον τῇ ἀρχῇ, ἀλλὰ τάς τε δυνάμεις καταλελυκότα, καὶ φορτικὸν τοῖς ὑπὸ χεῖρα

**263** I. Michael senex hoc modo imperator appellatus, senatores et plebeiam multitudinem benignissime tractavit, ad dignitatum gradus promovendo, et honores plerisque tribuendo, qui captum illorum excederent. Cum militaribus autem catalogis, ac iis potissimum qui cæteris antecellentes, multo ante exercituum alarumque ductores fuerant, longe secus egit. Nam recens urbem ingressis, neque ullum honorem habuit, neque benignis alloquiis eos delinivit. Eorum primarii duo viri fuere, uterque magister, et illustri genere ortus, splendorem illum imperatoria arte, robore manuum et fiducia animorum magis etiam assecutus: alter, Isaacius Comnenus, alter Ambustus Catacalo, patria Coloncensis, cui simul ac designatus fuerat imperator, Antiochiæ ducatum ademit, suumque consobrinum Michaelem statim magistrum et ducem Antiochiæ declaravit, Urani cognomento addito, ut genus ad veterem illum Uranum referre videretur. Eum igitur Ambustum, quasi male gesto magistratu, et copiis militaribus imminutis, et gravem obvio cuique, acrius objurgavit, ac ne probris quidem et contumeliis abstinuit: cumque alii splendidissimi viri, collegæ ejus, hominem defensuri essent, ne contra illos quidem linguæ moderatus est, aut ipsum Comnenum reveritus.

## Variæ lectiones et notæ.

(45) Ὁ Στρατιωτικὸς Μιχαήλ. Hunc *Bringam* cognominat Lupus protospatha: *Anno 1057 mortua est Theodora Augusta, et Michael Bringa factus est imperator.* Mox: *Mortuus est Bringa imperator, et Isachius Ochonus* (Commenus) *factus est imperator*. Meminit Zonaras in Romano puero, et in Nicephoro Phoca Josephi Bringæ cubiculi præfecti, cujus magna fuit in aula auctoritas.

(46) Πρεσβύτης Anonymus Barensis, an. 1056, ind. 9: *Elevatus est Michael imp. nobicio.* Sed quid sonet hæc postrema vox non percipio.

(47) Ὁ Κομνηνὸς Ἰσαάκιος. Quem Colonea urbe (de qua agit Constantinus, lib. 1 *De Themat.* cap. 10) oriundum scribit Michael Psellus, in Hist. ms. Ἦν δ' ὁ Κομνηνὸς οὗτος Κολωνειάθεν. Vide *Famil Constantinopolit.*

Ea res militum animos dejecit, qui Michaelem in alios liberalissimum, se ne verborum quidem Benignitate dignari viderent: neque tamen ad res novandas concitati sunt, priusquam denuo periculum ejus fecissent. Sed antequam ad illorum seditionem veniam, alius motus est exponendus. Constantini Monomachi patruelis. Theodosius præsses, Michaelis designationem ægre ferens, statim ministeris suis assumptis, et nonnullis aliis eadem animi levitate laborantibus ascitis, crepusculo iis satellitibus circumdatus, per medium forum incessit, imperium ob Monomachi cognationem ad se pertinere dicens, atque injuriam sibi fieri clamitans. Cum vero ad publicum carcerem, quod Prætorium **264** dicitur, venisset, claustris perruptis, exitum clausis patefecit. Idem in ea quoque custodia fecit, quæ ad Chalcen est, eorum opera se voti sui fore compotem sperans. Verum ubi cognovit militares copias circa regiam contra se collectas jamjam affore, ad Magnam ecclesiam convertitur, ex eaque solus cum filio relictus, gregalibus suis dilapsis, educitur, et relegatur. Hoc eventu conatum ejus consecuto, plebea multitudo per ludibrium hanc cantilenam in eum cecinit:

*Factus Monomachus, quod cogitavit, egit.*

Res quidem ita se habuerunt.

II. Cæterum Orientales duces injuriis affecti, denuo fortunam periclitaturi, Leonem protosyncellum communia negotia procurantem adeunt, eo intercessore imperatorem precaturi, ne soli negligerentur, cum cæteri omnes liberalitatis ejus fructum aliquem percepissent; aliis præsertim suaviter viventibus, se vero in acie stantibus, Romanumque imperium propugnantibus. At ille nihilo dexterior imperatore, ad tractandos viros dolentes, et tumorem ex dolore ortum reprimendum, asperitatem eorum adeo non leniit, ut etiam auxerit, singulorum virtutem elevando, et omnes sine honore dimittendo. Hac secunda repulsa irritati, non diutius sibi cunctandum esse censuerunt, sed quisque proximum cohortatus, animo conceptum facinus ad exitum perducere decreverunt. Visum autem eis est Bryennium quoque virum illustrem, Macedonicarum copiarum ducem, et Cappadociæ præfectum in consilium et auxilium adhibere, qui causas et ipse simultatis contra imperatorem habe-

γενόμενον, καὶ ἐπέλπηξεν ἧταμώτερον, καὶ ὀνειδεσιν ἔβαλε, καὶ οὐδ' ἐφείσατο ὕβρεων. Ἀλλὰ καὶ τῶν ἄλλων λαμπροτάτων ἀνδρῶν, καὶ συνταγματαρχούντων ἐκείνῳ, ὑπεραπολυγήσασθαι τοῦ ἀνδρὸς ὡρμηκότων, οὐδ' ἐπ' ἐκείνους τῆς γλώττης ἐφείσατο, οὔτε μὴν αὐτὸν ἠδέσθη τὸν Κομνηνόν. Ταῦτα τοὺς στρατιώτας εἰς ἀθυμίαν ἐνέβαλε, τοῖς μὲν ἄλλοις φιλοτιμότατον ὁρῶντας τὸν Μιχαὴλ, ἑαυτοῖς δὲ μηδ' ἐν λόγοις τὸ εὐμενὲς ἐνδεικνύμενον, ὅμως μέντοι ἐπέσχον μηδέν τι νεωτερίσαι, ἀλλὰ καὶ δευτέραν πεῖραν ἐπαγαγεῖν ἐβουλεύσαντο. Προτέραν δ' ὁ λόγος ἑτέραν κατὰ τοῦ βασιλίως διηγησάσθω νῦν ἐπανάυτασιν, καὶ οὕτω πρὸς τὴν τῶν ἀνδρῶν τούτων ἐπανελεύσεται. Ὁ γὰρ τοῦ βασιλέως Κωνσταντίνου τοῦ Μονομάχου ἐξάδελφος, ὁ πρόεδρος Θεοδόσιος, ἄρτι τοῦ Μιχαὴλ ἀναρρηθέντος, ἐν δεινῷ ποιησάμενοι τὴν ἐκείνου ἀνάρρησιν, τοὺς οἰκείους θεράποντας προσλαβόμενος, καί τινας ἄλλους ὅσοι κατ' ἐκεῖνον ἐλαφρίαν ἐνόσουν φρενῶν, περὶ δείλην ὀψίαν διὰ τῆς ἀγορᾶς ἀπήει, τούροις δορυφορούμενος, ἑαυτῷ προσήκειν τὸ κράτος λέγων, διὰ τὴν πρὸς τὸν Μονομάχον συγγένειαν, καὶ ἀδικεῖσθαι ἐπιβοώμενος. Γενόμενος δὲ κατὰ τὴν δημοσίαν εἱρκτὴν, ἣ Πραιτώριον (48) κέκληται, τὰ κλεῖθρα διαῤῥήξας, τοῖς ἐν αὐτῇ καθειργμένοις ἄνετον παρέσχε τὴν ἔξοδον. Τὸ δ' αὐτὸ καὶ ἐν τῇ τῆς Χαλκῆς εἰργάσατο φυλακῇ, ἐλπίσας διὰ τούτων τοῦ κατὰ σκοπὸν ἐπιτεύξασθαι. Ὡς δ' ἔμαθε στρατιωτικὴν ἀθροίζεσθαι περὶ τὰ βασίλεια δύναμιν, στέλλεσθαι κατ' αὐτοῦ, πρὸς τὴν Μεγάλην τρέπεται ἐκκλησίαν, καὶ μόνος σὺν τῷ υἱῷ περιληφθεὶς, τῶν ἑπομένων αὐτῷ διασκεδασθέντων ἐξάγεται τῆς ἐκκλησίας, καὶ ὑπερορίαν καταδικάζεται. Εἰς τοῦτο δὲ τέλος τοῦ ἐπιχειρήματος αὐτῷ καταντήσαντος, ὁ δημώδης ὄχλος ἐπιγελῶντες αὐτῷ, ῥήματά τινα συνθέντες, ἐπῇδον αὐτῷ· τὰ δ' ἦσαν,

Ὁ μωρὸς ὁ Μονομάχος, εἴ τι ἐφρόνει, ἐποίησε.

Καὶ ταῦτα μὲν ἔσχον οὕτως.

Β'. Οἱ δ' ἐμπαροινηθέντες τῶν Ἑῴων ἀρχόντων, καὶ αὖθις πεῖραν προσάγουσι, καὶ προσίασι τῷ τὰ κοινὰ διοικοῦντι τῷ πρωτοσυγκέλλῳ (49) Λέοντι, καὶ ἱκετεύειν δι' ἐκείνου ἐπεχείρουν τὸν βασιλέα, μὴ μόνοι αὐτοὶ καταλειφθῆναι ἀγέραστοι, πάντων τοῦ φιλοτίμου καταπολαυσάντων τοῦ αὐτοκράτορος, καὶ ταῦτα τῶν ἄλλων εὐπαθούντων, αὐτοὶ καὶ παρ' ἀσπίδα ἱστάμενοι, καὶ προπολεμοῦντες τῆς Ῥωμαίων ἀρχῆς. Ὁ δὲ οὐδὲν ἧττον τοῦ βασιλέως ἀδέξιος ὢν μεταχειρίσασθαι λυπουμένους ἄνδρας, καὶ καταστεῖλαι τὸ ἐκ τῆς λύπης αὐτοῖς γενόμενον οἴδημα, οὐ μόνον οὐκ ἐλέανεν ἐν λόγοις τῶν ἀνδρῶν τὴν τραχύτητα, ἀλλὰ καὶ μᾶλλον αὐτοὺς ἐξενράχυνεν, ἐκφαυλίσας ἕκαστον, καὶ ἀτίμους πάντας ἀποπεμψάμενος. Οὕτως οὖν καὶ τῆς δευτέρας πειραθέντες πείρας, οὐκέτι μέλλειν ἔκριναν, ἀλλ' ἕκαστος τὸν πλησίον παρακροτήσαντες, ξσπευδον εἰς προῦπτον ἐκφῆναι τὸ μελετώμενον. Ἔδοξεν οὖν αὐτοῖς καὶ τὸν Βρυένιον σχεῖν συνίστορα καὶ συλλήπτορα τοῦ ἐπιχειρήματος, ὄντα τε τῶν ἐπιφανῶν, καὶ στρα-

## Variæ lectiones et notæ.

(48) Πραιτώριον. De prætorio et carceribus prætorii egimus in *Constantinopoli*, lib. II, sect. 9, II, 6, quibus hæc addi velim ex Vita ms. S. Stephani junioris: Ὡς δὲ ἐξίει σῳρόμενος εἰς τὴν πρώτην πύλην τοῦ ἁγίου μεγαλομάρτυρος Θεοδώρου, etc.

(49) Πρωτοσύγκελλος. Quem supra nude σύγκελλον appellavit.

τηγουντε τῶν ἐκ Μακεδονίας δυνάμεων, καὶ τὴν τῆς Καππαδοκίας περιεζωσμένον ἀρχήν, λύπης τ' αἰτίας κἀκεῖνον ἐσχηκότα κατὰ τοῦ αὐτοκράτορος. Ὡς δ' οὖν κἀκεῖνον ἕτοιμον εὗρον πρὸς τὸ σφέτερον βούλευμα, ἐζήτουν τὸν ἐξ αὐτῶν βασιλεύσοντα, καὶ πᾶσιν ὁ Κομνηνὸς ἀπάντων προὐκέκριτο. Ἐπεὶ δὲ ταῦτα συνέθεντο, ἐπ' οἴκου ξύμπαντες ἀνεχώρησαν, τῷ βασιλεῖ προσειπόντες τὰ ἐξιτήρια. Ἀπῄει δὲ καὶ ὁ Βρυέννιος μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων, καὶ ἐν τῷ θέματι τῶν Ἀνατολικῶν γεγονὼς, τὴν τῶν στρατιωτικῶν ὀψωνίων διανομὴν ἐκεῖ διετίθετο· συνῆν γὰρ αὐτῷ καὶ ὁ πατρίκιος Ἰωάννης ὁ Ὀψαρᾶς χρυσίον ἐπιφερόμενον. Ἤδη δὲ τῆς διανομῆς ἠργμένης, ὁ Βρυέννιος προσετίθει τοῖς στρατιώταις τὰ σιτηρέσια, καὶ ηὔξει τὸ ἑκάστῳ νενεμημένον ποσόν. Ὁ δὲ τοῦ χρυσοῦ ταμίας ὁ εἰρημένος ἀνὴρ μὴ τοῦτο ἔλεγεν ἐντετάλθαι οἱ πρὸς τοῦ αὐτοκράτορος. Καὶ ὁ Βρυέννιος σιωπᾷν αὐτῷ, καὶ ποιεῖν τὸ ἐπιτασσόμενον ἐνεκελεύετο ἱταμώτερον. Ὡς δ' ἔτι ὁ Ὀψαρᾶς οὐκ ἐπείθετο, ἀλλὰ καὶ θρασύτερον ἐκείνῳ ἀντέλεγεν, ὁ Βρυέννιος, θυμῷ ληφθεὶς, ἀνέθορέ τε τῆς καθέδρας, καὶ τῶν τῆς κεφαλῆς τριχῶν, τῆς τε ὑπήνης λαβόμενος τοῦ ἀνδρὸς προσαρράσσει τῇ γῇ, καὶ περιβάλλει δεσμοῖς. Ἔγγυς δέ που στρατοπεδεύων ὁ τῶν Πισιδῶν καὶ τῶν Λυκαόνων στρατάρχης, καὶ τὰ περὶ τοῦ Ὀψαρᾶ μαθὼν, καὶ τυραννίδος ταῦτα κρίνας ἀρχήν, ἀθρόον ἔπεισι μετὰ τῶν ὑπ' αὐτὸν ταγμάτων τῇ τοῦ Βρυεννίου σκηνῇ. Καὶ δεσμεῖ μὲν ἐκεῖνον, λύει δὲ τὸν Ὀψαρᾶν τῶν δεσμῶν, καὶ αὐτῷ τὸν Βρυέννιον παραδίδωσιν· ὁ δὲ αὐτίκα τοὺς ὀφθαλμοὺς ἐκκόπτει ἐκείνου, καὶ οὕτω τὸν ἄνδρα τῷ βασιλεῖ ἐξαπέστειλεν, ἐπιστείλας αὐτῷ καὶ ὅσα τετόλμηκε. Καὶ ταῦτα μὲν συνεκόρησεν οὕτωσί· ὁ δέ γε Κομνηνὸς καὶ οἱ ἐκείνῳ συνομοσάμενοι συνελθόντες, ἔργου ἥπτοντο, τῶν στρατιωτικῶν καταλόγων ἄλλοθεν ἄλλου προσρυϊσκομένων αὐτοῖς. Ἦν μὲν γὰρ τῷ στρατιωτικῷ παντὶ ἔφεσις στρατιώτην τὴν βασίλειον ἀρχὴν περιζώσασθαι. Ἦχθετο γὰρ ὑπὸ τοῦ πολιτικοῦ μέρους ἀρχόμενον, ἀλλ' οὐκ ἐθάρρει τὸν πόθον εἰς προῦπτον ἐξενεγκεῖ, ἔκρυπτε δὲ τὸν ἔρωτα, καὶ ὤδινε τὸν περὶ τούτου σκοπόν. Ἐπεὶ δὲ τὸν Κομνηνὸν τυραννίδι ἐπιχειρήσαντα μεμαθήκεσαν, καὶ αὐτὸν μὲν κορυφαῖον εἶναι τοῦ δράματος, τὰ δὲ κράτιστα τῶν γενῶν τῆς ἐπιχειρήσεως αὐτῷ συλλαμβάνεσθαι· τοῦτ' εἶναι τὸ ὑπ' αὐτῶν μελετώμενον δόξαντες, ἁρπάζουσι τὸν καιρὸν, καὶ ἕκαστος τὸν πέλας προφθάσαι ἠπείγετο. Ἐντεῦθεν τῷ Κομνηνῷ βαρεῖα συνέστηκε δύναμις· στείλας οὖν κατὰ ξύμπασαν τὴν Σῴαν, τοὺς φόρους ἐπράττετο, ἀποδεκτῆρας τούτων τάξας, καὶ τῶν προσαγομένων ἀπογραφεῖς. Εἶτα ἄρας ἀπῄει πρὸς Νίκαιαν, ἤδη βασιλεὺς πρὸς πάντων τῶν σὺν αὐτῷ στρατευομένων ἀναῤῥηθείς, ταύτης ἐγκρατὴς γενέσθαι βουλόμενος, ἵν' ἔχῃ τὴν πόλιν ὁρμητήριον ἢ καταφύγετον, ὁποτέρως ἂν βέψῃ τὰ τῆς τύχης αὐτῷ, καὶ τὴν μὲν λαμβάνει, αὐτὸς δὲ φρουρὰν ἀρκοῦσαν ἐγκαταστήσας αὐτῇ, πρὸ δώδεκα σταδίων ταύτης στρατοπεδεύεται. Καὶ ὁ βασιλεὺς δὲ Μιχαὴλ τὰς Δυτικὰς ἀγείρας δυνάμεις, καὶ εἴ τινές που τῶν Ἑῴων

A ret. Qui cum operam promisisset, in deliberatione deligendi imperatoris, omnium suffragiis Comnenus cæteris est prælatus. His compositis, domum omnes redierunt, discessu suo imperatori denuntiato. Abiit et Bryennius cum suis legionibus: cumque in Orientalem provinciam unacum Joanne Opsara patricio, qui aurum vehebat, venisset, militarium stipendiorum distributionem administrabat: qua jam inchoata, singulis militibus frumentum admetiebatur, et pecuniæ summam augebat. Opsara vero quæstore negante, se id ab imperatore in mandatis **265** habere: Bryennius eum insolentius tacere, et quod juberetur, facere jussit. Adhuc detrectantem et audacius refragantem, ira percitus, arrepta coma et barba ejus, solo illisum, in B vincula conjecit. Quo dux Pisidarum et Lycaonum, qui castra in propinquo habebat, cognito, id facinus tyrannidis principium judicans, Bryennii tabernaculum cum suis legionibus ex improviso invadit, solutoque Opsaræ illum tradit, qui hominem statim effossis oculis ad imperatorem cum facinorum ejus commemoratione misit. Hoc ita gesto, conjurati congressi in unum, rem nihilominus urgebant, ex militaribus catalogis aliundo alio ad ipsos confluente. Omnibus enim militibus in votis erat, ut miles imperio poliretur. Nam iniquis animis togato parebant, neque tamen desiderum suum prodere ausi, cupiditatem illam, dum se maturandi facinoris offerret occasio, tegebant. Verum ubi Comnenum affectasse regnum compererunt, atque ipsum caput esse negotii, et a fortioribus provinC ciis adjutari: id demum esse rati, quod diu animis agitassent, arrepta opportunitate alii alios antevertere properarunt. Unde Comnenus maximis copiis comparatis, tributa per totum Orientem exegit, quæstoribus et inscriptoribus eorum quæ allata essent, constitutis. Deinde versus Nicæam movit, jam imperator ab omnibus suis militibus appellatus, ea potiri cupiens, ut haberet urbem unde progredi, quoque confugere tuto velut in asylum quoddam quovis eventu posset, eaque occupata, et justo præsidio imposito, duodecim inde stadiis castrametatur. Michael vero imperator, Occidentalibus legionibus convocatis, et si quæ ex Orientalibus a fide non discesserant: ducem eum imperio præfecit Orientis domesticum Theodorum spaD donem, imperatricis Theodoræ ministrum, adjuncto collega magistro Aarone fratre conjugis Comneni. Qui castris contra hostes positis, prælium commisere in loco qui ab incolis Orcus appellatur. Ubi a sinistro cornu imperatoriorum, dextrum Comneniorum profligatum est, et qui in eo curabat, Romanus Sclerus vivus captus. Sed hostium sinistrum cui Ambustus præerat, dextro imperatoriorum **266** cornu in fugam verso, in castra usque penetravit, et tentoria discerpta subvertit. Id factum ut Comneniorum animos vehementer auxit, sic imperatoriorum adeo dejecit, ut se fugæ mandarent, in qua multi cæsi sunt non gregarii duntaxat

milites, sed duces etiam, pluribus captis, Comneno victoria minime dubia potito.

A περιελείφθησαν, μὴ συναπαχθεῖσαι τῷ Κομνηνῷ, ἐφιστᾷ τούτοις στρατηγὸν αὐτοκράτορα, τὸν δομέστικον τῆς Ἀνατολῆς τὸν ἐκτομίαν Θεόδωρον, τὸν τῆς βασιλίσσης Θεοδώρας θεράποντα· συζεύξας αὐτῷ συνάρχοντα καὶ τὸν μάγιστρον Ἀαρών, σύγγονον ὄντα τῆς συνοικούσης τῷ Κομνηνῷ. Οἳ τοῖς ἐναντίοις ἀντιστρατοπεδευσάμενοι, συγκροτοῦσι καὶ πόλεμον κατά τινα τόπον, Ἄδην τοῖς ἐγχωρίοις καλούμενον, καὶ τὸ μὲν εὐώνυμον κέρας τῶν βασιλικῶν ἥττησε τὸ δεξιὸν κέρας τῶν περὶ τὸν Κομνηνόν, καὶ τὸν ἐφεστηκότα τούτῳ Ῥωμανὸν τὸν Σκληρὸν συνέσχε ζῶντα. Τὸ δέ γε τῶν ἐναντίων εὐώνυμον οὗ κατῆρχεν ὁ Κεκαυμένος, τὸ δεξιὸν ἐτρέψατο τῶν βασιλικῶν, καὶ εἰς αὐτὸ τὸ στρατόπεδον εἰσῆλθεν αὐτῶν, καὶ τὰς σκηνὰς διέρρηξε, καὶ ἐρήμωσε κατὰ γῆς. Τοῦτο τοῖς περὶ τὸν Κομνηνὸν θάρσους ὡς μάλιστα ἐνεποίησε, τοῖς δ' ἀντιπολεμοῦσι κατέβαλε τὰ φρονήματα, καὶ φεύγειν ἀνέπεισε. Γίνεται τοίνυν τῶν βασιλικῶν φόνος πολύς, οὐ κοινῶν μόνον στρατιωτῶν, ἀλλὰ καὶ στραταρχῶν, καὶ πλείους δὲ ἐζωγρήθησαν, καὶ ἡ νίκη ἀναφανδὸν τῷ Κωμνηνῷ ἐπεμειδία.

III. Eo cognito Michael desperato bello, imperium deponere voluit: sed id consilium, familiaribus improbantibus, exsequi non potuit. Legantur igitur ad Comnenum selecti viri ex Patribus conscriptis, Constantinus Lichudes præses, Leo præses Alopus, et Michael Psellus, princeps philosophorum, cujus legationis ea summa fuit: Comnenum ab imperatore adoptatum iri, et Cæsarem designandum esse, concessa venia et oblivione injuriarum iis qui tyrannidis adjutores fuerunt. Quæ cum audiente exercitu Comneno nuntiarentur, milites tumultuabantur: negantes se passuros suum præfectum in alio habitu conspici, aut exui vestem imperatoriam, qua jam indutus esset. Quæ verba a pluribus per assentationem, quam ex animo, jactabantur. Soluto conventu, Comnenus legatis seductis, ait: *Si arcana quædam imperatori se renuntiaturos promisissent, se expositurum ea, quæ animo celaret.* Qui cum taciturnitatis fidem dissent, *se nunc*, ait, *habitu Cæsaris contentum esse, nec requirere imperatorium: sed id postulare, ut imperator nulli alii unquam tradituram imperium, et iis, quos donasset, præmia non erepturum confirmet, et aliquid imperatoriæ potestatis impertiatur, ut minoribus dignitatibus nonnullos ornare liceat, et ad militares magistratus evehere. Quæ si impetrasset, se pace facta in urbem venturum, et quia illa suis displicerent, binas scripturum litteras, quarum alteris facum militibus faceret, alteris arcana mandaret. Præterea perum communium administrationem ei adimendam esse, qui nunc sibi et suis infensus, ea fungeretur.* His dictis litterisque traditis, hortatur abire legatos. Senex Michael cum litteris acceptis, tum arcanis mandatis auditis, delectatus, ad omnia illius postulata annuit, atque adjecit: *Quemadmodum Comnenus sibi per illos occulta quædam significasset, ita se illi per* 267 *eosdem occultiora nuntiaturum, ut jurejurando confirmarent videlicet, non multum temporis intercessurum, quin illum collegam imperii asciturus esset: nunc vero se id certis de causis differre.* Hæc per legatos nuntiata Comnenus cupide admisit, nec alii inviti acceperunt, præsertim quod rerum communium procuratori potestas adimenda esset, jamque omnibus decretum erat, positis armis tyrannide abstinere. At senex imperator, priusquam cum Comneno transigerat, togatorum erga se benevolentiæ, ut putabat, confirmandæ ergo,

Γ'. Τοῦτο μαθὼν ὁ βασιλεὺς Μιχαὴλ ἀπεγνώκει τὰ τοῦ πολέμου, καὶ τὴν ἀρχὴν ἀποθέσθαι ἠβούλετο, ἀλλὰ τοῖς περὶ ἐκεῖνον τοῦτο ἀβούλητον ἦν, ὅθεν οὐδ' εἰς ἔργον ἀγαγεῖν συνεχωρήθη τὸ βούλημα. Στέλλονται τοίνυν πρὸς τὸν Κομνηνὸν πρεσβεύσοντες, B ἄνδρες τῶν ἐκκρίτων τῆς συγκλήτου βουλῆς· οἵδ' ἦσαν ὁ πρόεδρος Κωνσταντῖνος ὁ Λειχούδης, ὁ πρόεδρος Λέων ὁ Ἀλωπὸς, καὶ Μιχαὴλ ὁ σοφώτατος Ψελλὸς, τῶν φιλοσόφων ὢν ὕπατος. Τὰ δὲ παρὰ τούτων καταγγελλόμενα, υἱοθέτησις ἦν τοῦ Κομνηνοῦ εἰσποιηθησομένου τῷ βασιλεῖ, καὶ ἀναγωγὴ πρὸς τὴν τιμὴν τὴν τοῦ Καίσαρος, καὶ τοῖς τὴν τυραννίδα συμμελετήσασιν ἄφεσίς τε καὶ ἀμνηστία τοῦ πλημμελήματος. Οἱ μὲν οὖν ταῦτα τῷ Κομνηνῷ ἀπηγγέλκασιν ἐν ἐπηκόῳ τοῦ πλήθους, τὸ δὲ ἐθορυβήθη, μὴ βούλεσθαι λέγον ἐν ἄλλῳ σχήματι τὸν αὐτῶν προεστηκότα θεάσασθαι, μηδ' ἀποδύσασθαι ἀνασχέσθαι αὐτὸν τὴν στολὴν τὴν βασίλειον ἣν ἤδη ἐνδέδυται. Ἔλεγον δὲ ταῦτα οἱ πλείους οὐχ οὕτω φρονοῦντες, ἀλλὰ τὸν τυραννοῦντα θωπεύοντες. Ἐπεὶ C δὲ διελύθη ὁ σύλλογος, ἰδίᾳ τοὺς πρέσβεις ὁ Κομνηνὸς προσλαβόμενος, Εἴ τινά μοι, φησὶν, ἀπόῤῥητα διαπορθμεῦσαι πληροφορήσετε πρὸς τὸν αὐτοκράτορα, ἐρῶ ὑμῖν ὅσα μοι κατὰ τὴν καρδίαν ἐγκέκρυπται. Τῶν δὲ κατασθεμένων ἀνέκφορον τηρῆσαι ἅπαν ἀπόῤῥητον, ἔφη ἀρκεῖσθαι νῦν τῷ σχήματι τῷ τοῦ Καίσαρος, καὶ μὴ ζητεῖν τὸ βασίλειον, αἰτεῖν δὲ πληροφορίαν ἐκ τοῦ κρατοῦντος, ὡς οὐχ ἑτέρῳ δώσει τὴν ἀρχήν ποτε, καὶ ὡς συντηρήσει ἑκάστῳ τῶν σὺν ἐμοὶ, εἴτι τούτοις περιλοτίμηται παρ' ἐμοῦ, καὶ ὡς καί τινος μεταδώσει μοι νῦν ἐξουσίας βασιλικῆς, ἵν' ἔχω τινὰς τιμᾶν τοῖς τῶν ἀξιωμάτων ἐλάττοσι καὶ εἰς ἀρχὰς ἐνίους στρατηγικὰς προχειρίζεσθαι, καὶ εἴ μοι ταῦτα ἐπιτελῇ γίνοιτο, σπείσομαι καὶ ἀφίξομαι. Ὅτι δὲ τοῖς πλήθεσι ταῦτα τοῖς σὺν ἐμοὶ ἀπαρέσκουσι, διττὰς πρὸς τὸν κρατοῦντα ἐγχαράξω ἐπιστολὰς, καὶ τῇ μὲν καταδημαγωγήσω τὸ στρατιωτικὸν, τῇ δ' ἐγγράψομαι τὰ ἀπόῤῥητα. Ἐπὶ τούτοις καὶ τὸν τὰ κοινὰ μεταχειριζόμενον ἥξει μεταστῆναι τῆς διοικήσεως, ὡς ὕποπτον αὐτῷ καὶ τοῖς μετ' αὐτοῦ. Ὁ μὲν οὖν ταῦτα εἰπὼν, καὶ τὰς ἐπιστολὰς αὐτοῖς ἐγχειρίσας, ἀπελθεῖν προετρέπετο. Οἱ δ' ἐπανῆλθον ἐπὶ τὸν γηραιὸν αὐτοκράτορα, τὰς ἐπιστολάς τε φέροντες, καὶ ὅσα ὁ Κομνηνὸς αὐτοῖς ἐν ἀπορῥήτοις ἔφη διὰ ζώστης φωνῆς ἀπαγγέλλοντες. Ἰσθεὶς οὖν ἐν

D

τούτοις ὁ βασιλεὺς, πάντα πληρῶσαι ὅσα ἐκεῖνος ἤτησεν ἐπηγγείλατο, καὶ προσεπήγαγεν, ὅτι Ὥσπερ ἐκεῖνος ἀπορρήτους μοι γνώμας ἐδήλωσε δι' ὑμῶν, οὕτως αὖθις κἀγὼ δι' ὑμῶν μυστικώτερά τινα ἐκείνῳ διὰ τῶν αὐτῶν ἀνατίθεμαι ὑμῶν. Διώμνυσθε τοίνυν τῷ ἀνδρὶ ὅτι οὐ μακρὸν ἂν εἴη τὸ μέσον διάστημα, καὶ συμμέτοχον αὐτὸν τοῦ κράτους ποιήσομαι, νῦν δ' ἀναβάλλομαι τοῦτο διά τινα αἴτια. Ἐπὶ τούτοις ἀπῆλθον αὖθις οἱ πρεσβευταὶ, καὶ ὁ Κομνηνὸς ἄσμενος τὰς ἀγγελίας ἐδέξατο, καὶ τοῖς ἄλλοις οὐκ ἀπυθύμια τὰ μηνύματα ἔδοξαν· καὶ μᾶλλον, ὅτι μεταστῆναι τῶν διοικήσεων τὸν ἐγκεχειρισμένον αὐτὰς μεμαθήκεσαν, καὶ ἤδη καταθεῖναι τὰ ὅπλα ἔδοξεν ἅπασιν, ὡς καὶ τῆς τυραννίδος ἀφέξεσθαι. Ὁ πρεσβύτης δὲ βασιλεὺς, πρὸ τοῦ τὰς συμβάσεις αὐτῷ πρὸς τὸν Κομνηνὸν γενέσθαι, τῆς πολιτικῆς μοίρας εὔνοιαν περιποιούμενος ἑαυτῷ, ὥσπερ ἦρετο, ἔγγραφόν τι συγγεγραφὼς, ὅρκοις καταδεσμοῦν καὶ ἀραῖς ἕκαστον, ὥστε μήτε βασιλέα καλέσαι τὸν Κομνηνὸν, μηδὲ τιμὴν αὐτῷ πρυσοῖσειν βασίλειον, τοὺς μὲν τῶν συγκλητικῶν χρήμασι, τοὺς δ' ἀξιωμάτων διανομαῖς· καὶ ἄλλους ἄλλοις θελκτηρίοις, ἀνέπειθε τῷ ἐγγράφῳ ὑποσημαίνεσθαι, καὶ τὰ ἐν αὐτῷ βεβαιοῦν. Ἐπεὶ δ' ἥκειν τὸν Κομνηνὸν ἠκηκόεισαν, ὡς κατὰ τὴν ἐπιοῦσαν εἰσελευσόμενον· στασιώδεις τινὲς τῶν τῆς συγκλήτου βουλῆς ἔωθεν τῷ τεμένει τῆς τοῦ Θεοῦ Λόγου Σοφίας προσεληλύθεσαν, οἷς καὶ οἱ τῶν ἑταιρειῶν συνήνεσαν ἄρχοντες, καὶ κραυγαῖς προσεκαλοῦντο τὸν πατριάρχην εἰς θέαν σφίσιν ἐλθεῖν. Ὁ δὲ τὰς θύρας αὐτοῖς ἀπανταχόθεν ἐπιζυγώσας, τοὺς ἀδελφιδοὺς αὐτοῖς ἐκπέμπει πυνθανομένους ὅ τι φασὶν· οἱ δὲ θορυβοῦντες εἰς πλῆθος ἤδη συστάντες πολλῶν συρρεύσαντων ἐκεῖ, συνέσχον τοὺς τοῦ πατριάρχου ἀδελφιδοὺς, καὶ, εἰ μὴ αὐτίκα πρὸς αὐτοὺς ἐξελεύσεται ὁ ἀρχιερεὺς, διαθήσειν ἐκείνους ἠπείλουν κακῶς. Λέγεται δὲ ταῦτα σκῆψις εἶναι καὶ προβουλεύματα, ἵν' ἄκων δυκοίη συνολθεῖν ὁ πατριάρχης τοῖς στασιάζουσι. Κατῆλθεν οὖν ἐκ τῶν ὑπερῴων, τὴν ἱερατικὴν ἐνδεδυμένος στολὴν, ἐπεγκαλῶν ὅθεν τοῖς παροῦσιν ὡς βιαζόμενος. Οἱ δὲ τῶν στασιαζόντων θρασύτεροι, ἢ μᾶλλον δι' ὧν ἡ στάσις συνίστατο, μέσον ἀπειληφότες αὐτὸν, πρεσβευτὴν ἠξίουν γενέσθαι πρὸς τὸν βασιλέα, ἵν' αὐτοῖς ἀποδοθείη τὸ ἔγγραφον, ὃ βιασθέντες ὑπογεγράφασιν, ἐπεὶ τῷ Κομνηνῷ ἐκεῖνος ἐσπείσατο. Ὁ δὲ πληρώσειν αὐτῶν τὸ αἴτημα κατετίθετο· ἀλλ' ἦσαν προσποίησις ἅπαντα. Βραχείας γὰρ παρελθούσης ὥρας βασιλέα καὶ αὐτοκράτορα φανερῶς ἀνεῖπον τὸν Κομνηνόν, αὐτοῦ τοῦ πατριάρχου συνευδοκοῦντός τε καὶ συμπράττοντος καὶ τῷ μὲν Κομνηνῷ μὴ μέλλειν δηλώσαντος, ἀλλὰ σπεύδειν, καὶ ἀμοιβὰς αἰτοῦντος τῆς ἀναῤῥήσεως τῷ δ' ἕως τότε βασιλεύοντι κατιέναι τῶν ἀνακτόρων ἑταμώτερον ἐπιτάττοντος. Ἀρχιερέων δὲ τῷ γέροντι Μιχαὴλ τὰ τοῦ πατριάρχου κομισάντων μηνύματα, ἐκεῖνος ἔφη, Τί δέ μοι ἀντὶ τῆς βασιλείας παρέξετε; Οἱ δὲ, Τὴν οὐράνιον βασιλείαν, ἀνταπεκρίθησαν. Αὐτίκα τοίνυν ἀποῤῥίψας τὰ τῆς βασιλείας παράσημα, ἀπῆλθε τῶν βασιλείων (50). Ὁ δέ γε Κομνηνὸς κουροπαλάτην τιμήσας τὸν Κεκαυμένον, στέλλει τὸν ἄνδρα μετά τινος δυνάμεως παραληψόμενον τὰ ἀνάκτορα. Τὸ μέντοι πλῆθος τῆς πόλεως εἰς ὑπαντὴν τοῦ νέου βασιλέως ἐκκέχυτο, λαμπρότατά οἱ ποιοῦν τὰ εἰς τὴν βασιλεύουσαν εἰσιτήρια.

Δ'. Ἕνα μὲν οὖν ὁ γηραιὸς Μιχαὴλ αὐταρχήσας ἐνιαυτὸν, τῆς βασιλείας ἐκπέπτωκε, καὶ οὐ πολὺ ἐν ἰδιωτικῷ σχήματι βιώσας, ἀπέτισε τὸ χρεών. Ὁ

A scriptum quoddam confecerat, quo singulos jurejurando et diris obstringebat, ut Comnenum neque imperatorem nominarent, neque imperatorium honorem ei deferrent, atque senatorium alios pecunia, alios dignitatum largionibus, alios aliis illecebris impulerat, ut subscriptione sua earum litterarum sententiam confirmarent. Verum audito Commeni adventu, qui postridie urbem ingressurus esset, quidam ex Patribus conscriptis factiosi homines mane se in templum divini Verbi Sapientiæ contulerunt, quibus se etiam sodalitatum principes aggregarunt, et patriarchæ præsentiam vociferationibus efflagitarunt. At ille foribus undique occlusis, fratris filios percontatum misit, quid velint? quos illi, concursu multitudine aucta, comprehensos male tractaturos esse, comminati sunt, B nisi patriarcha statim egrederetur. Feruntur autem illa ficta fuisse et simulata, ut patriarcha invitus ad seditiosos prodire videretur. Cum igitur ex superiori ædium parte descendisset, pontificia stola indutus, eos qui aderant incusans, ut a quibus vis sibi fieret scilicet: audaciores ex seditiosis ac potius seditionis auctores, corona circa eum facta petiverunt, ut legatus ad imperatorem iret, ac scriptum sibi restitui postularet, cui subscribere coacti essent. Sed id quoque commentitium erat. Nam paulo post Comnenum aperte imperatorem salutarunt, etiam patriarcha suffraganie et adjutante, qui illi nuntiarat, ne cunctaretur, et præmium suffragii postularat, et imperatori insolentius denuntiarat, ut regia decederet. Quo nuntio a primariis sacerdotibus accepto, senex **268** Michael percontatus est: *Quod sibi præmium pro imperio daturi essent*, illisque respondentibus, *Regnum cæleste*, statim insignibus abjectis regia decessit. Commemus autem Amustum, quem curopalatem fecerat, cum copiis ad regiam occupandam misit, populo ad novi imperatoris occursum effuso, ac illustrissimum reddente ejus in urbem ingressum.

C

IV. Senex igitur Michael cum unum imperasset annum regno excidit, neque diu post superstes fuit. At Comnenum, firmato imperio, adoptionem

D

## Variæ lectiones et notæ.

(50) Ἀπῆλθε τῶν βασιλείων. Et in monasterium concessit. Anonymus Barensis: *An.* 1058. ind. 11: *Surrexit Comminiano imp.*; *Michael vero imp. induerat habitum monarchicum.*

ejus non Deo, sed sibi ascripsisse ex eo apparet, A quod in nummis suam imaginem stricto ense insculpendam curavit, tantum non clamitans, *eum sibi nequidquam aliud regnum peperisse*. Eos a quibus adjutus fuerat, liberalissime est remuneratus, relataque festinanter omnibus gratia, operum dedit, ut domos suas quique redirent, ne in urbe obærantes vel tumultum excitarent, vel contra populum insurgerent. Patriarcham magnopere veneratus est, et fratris ejus filios magnis honoribus allectos superbis magistratibus præfecit. Præterea in patriarchæ gratiam, etiam ecclesiasticarum rerum procurationem Ecclesiæ attribuit. Nam cum ad id usque tempus et magnus œconomus, et sacrophylax ab imperatore designari solerent, utrumque id munus patriarchæ potestati subjecit, amota publica auctoritate. Deinde vitæ sociam Augustam appellavit, fratrem autem Joannem curopalatem et magnum domesticum nominavit. Porro cum omnes ejus post Basilium Porphyrogenitum decessores, fisci et ærarii pecuniam parum recte collocassent, partim in suas voluptates, et monasteriorum ædificationes insumptam, partim sine delectu ac pro libidine sua condonatam : tam imperatorii thesauri exhausti fuerunt, quam ærarium pecunia vacuum : id vitium correcturus, emendationem non pedetentim est agressus, sed utin stateræ se incidi jussit, erecta manu strictum ensem sustinentem, ita etiam in negotia se ingessit, statim ad secundos tumores paratus, non adhibitis medicamentis, quæ exulceratas partes mollirent ac foverent. Itaque ex quo tyrannidem cum legitime **269** imperio commutavit, decessoris sui acta sine discrimine abrogavit : si quid ille cuiquam largitus fuerat, id eripiebat : sed et superiorum imperatorum multa acta evertit, et abrogavit, neque id in vulgi duntaxat fraudem, sed ne senatui quidem perpercit. Denique progressu temporis contra res sacras se convertit, multa monasteriis quæ ab iis constructa fuerant, collata truncavit, ac potius monachos publicis rationibus subjecit, sumptibus necessariis duntaxat illi relictis, cæteris vero fisco attributis. Dum igitur in dies hoc modo aliud ex alio novat, omnium in se odia suscepit, tam Patrum conscriptorum quam plebis, atque etiam militum, quibus nec ipsis pepercit, quominus opere eorum immineret, præ cæteris autem D omnibus eorum qui in monasteriis ætatem exigunt. Verum nihil illum ab instituto deduxit, non oratio, non metus, non odium, non reprehensio : adeo sustulerat animos atque intumuerat.

δὲ Κομνηνὸς τῇ βασιλείᾳ ἐγκαταστὰς, ἑαυτῷ τὴν ταύτης ἐπιτυχίαν, καὶ οὐ τῷ θεῷ ἐπιγράψατο καὶ τοῦτο δῆλον, ὅτι τῷ νομίσματι ξιφήρη ἑαυτὸν ἐνεχάραξε, μόνον οὐχὶ βοῶν, ὅτι Τοῦτό μοι τὴν βασιλείαν, καὶ οὐχ ἕτερόν τι προύξένησε. Τοὺς δὲ συναραμένους αὐτῷ φιλοτιμότατα ἀντημείψατο, καὶ ἔσπευσεν ἑκάστῳ τὰς ἀμοιβὰς ἀποδοὺς, πάντας οἴκαδε παρασκευάσαι ἀποχωρεῖν, ἵνα μή τι θορυβήσωσιν, ἢ τοῦ δήμου κατεξαναστῶσιν ἀστυπολοῦντες. Τὸν δὲ πατριάρχην δι' αἰδοῦς ἦγεν ὅτι πολλῆς, καὶ τοὺς αὐτοῦ ἀδελφοπαίδας δι' ἐκεῖνον τιμαῖς ἐτίμησε μείζοσι, καὶ ἀρχαῖς ὑπερηφάνοις ἐπέστησε. Χαριζόμενος δ' ἔτι τῷ πατριάρχῃ, καὶ τὴν τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκονομίαν τῇ Ἐκκλησίᾳ ἀπένειμε, μέχρι τότε τοῦ μεγάλου οἰκονόμου προχειριζομένου παρὰ τοῦ βασιλεύοντος, ἀλλὰ μὴν καὶ τοῦ σκευοφύλακος, ἐκεῖνος δὲ καὶ ἄμφω ὑπὸ τὴν τοῦ πατριάρχου ἔθετο ἐξουσίαν, ἀποξενώσας ἀμφοῖν τὸ δημόσιον. Εἶτα τὴν μὲν τοῦ βίου αὐτῷ κοινωνὸν (51) Αὐγούσταν ἀνηγόρευσε, τὸν δὲ ἀδελφὸν Ἰωάννην κουροπαλάτην τετίμηκε, καὶ ὠνόμασε μέγαν δομέστικον. Τῶν δὲ πρὸ αὐτοῦ βασιλέων ὅσοι μετὰ τὸν Πορφυρογέννητον ἐκεῖνον Βασίλειον τῆς βασιλείας ἐπέβησαν, οὐ καλῶς χρησαμένων τοῖς βασιλείοις καὶ κοινοῖς πράγμασιν, ἀλλὰ τὰ μὲν εἰς οἰκείας ἀπολαύσεις, καὶ εἰς ἀσκητηρίων κατασπαθησάντων οἰκοδομὰς, τὰ δὲ δωρουμένων οἷς ἔτυχεν, ἢ τέως οἷσπερ ἐβούλοντο, οἱ βασιλικοὶ θησαυροὶ ἐκκεκένωντο, καὶ τὰ δημόσια πρυτανεῖα χρημάτων ἐσπάνιζον· τοῦτο τοίνυν ὁ Κομνηνὸς προθέμενος διορθώσασθαι, οὐκ ἠρέμα οὐδὲ κατὰ βραχὺ τῇ διορθώσει ἐπεχείρησεν, ἀλλ' ὡς τῷ στατῆρι ἑαυτὸν ἀνεστήλωσεν, ἀνατεταμένον τὴν χεῖρα, φέρουσαν τὸ ξίφος γυμνὸν, οὕτω καὶ τοῖς πράγμασιν ἐπήνεγκεν ἑαυτὸν, καὶ τέμνειν αὐτίκα παρεσκεύαστο τὰ οἰδήματα, ἀλλ' οὐ μαλάσσειν οὐδ' ἐμπλάττειν τὰ ὕπουλα. Ὅθεν οὐδὲ ἐξ οὗπερ τοῦ κράτους ἐπέβη, καὶ εἰς ἔννομον ἀρχὴν τὴν πρὶν αὐτοῦ τυραννίδα μετήνεγκεν, ἀναποδίσας τὴν τοῦ πρὸ αὐτοῦ πρᾶξιν ἀνέτρεψε, καὶ εἴτι ἐκεῖνός νισιν ἐδωρήσατο, ἀφῃρεῖτο καὶ ἀπεστέρει τοὺς εἰληφότας, ἀλλὰ καὶ τῶν πρὸ ἐκείνου πολλὰ καθήρησε καὶ ἠθέτησε, καὶ οὐ μόνον ταῦτα πρὸς τὸ δημῶδες ἐποίει, ἀλλ' οὐδὲ τῶν τῆς γερουσίας ἐφείδετο. Εἶτα προβαίνων καὶ κατὰ τοῦ θείου ἐχώρησε, καὶ πολλὰ τῶν τοῖς παρ' ἐκείνων δομηθεῖσι φροντιστηρίοις ἀφιερωμένων ἠκρωτηρίασεν, ἢ μᾶλλον ἐκλογισμοῖς ὑποβάλλων τοὺς ἐν αὐτοῖς ἀσκουμένους, καὶ τὴν ἀποχρῶσαν αὐτοῖς δαπάνην ἀπονέμων, τὰ λοιπὰ τῷ δημοσίῳ ἀφωσίου καὶ ἀνελάμβανε. Καὶ ἄλλο ἐπ' ἄλλῳ καθ' ἑκάστην ἐνεόχμου τοιοῦτον. Ἐντεῦθεν ἅπασιν ἦν μισητὸς, τῷ τε δημοτικῷ πλήθει, τῇ τε συγκλήτῳ βουλῇ, ἀλλὰ μέντοι καὶ τῷ στρατιωτικῷ, οὐδὲ γὰρ οὐδ' ἐκείνου ἀπείχετο, ἀλλὰ κἀκείνοις ἀπεμείου τὰς εὐπορίας, καὶ τῶν ἄλλων μᾶλλον τοῖς ἐν τοῖς σεμνείοις τὴν ζωὴν διανύουσι. Τὸν δὲ οὐδὲν ἀπῆγε τῶν ἐγχειρήσεων, οὐ λόγος, οὐ δέος, οὐ μῖσος, οὐ ψόγος, οὕτως ἐπῆρτο τὸ φρόνημα καὶ οἰδῶσαν ἐκέκτητο τὴν ψυχήν.

V. Neque vero patriarcha superbia illi cedebat, sed Ε'. Ἀλλ' οὐδ' ὁ πατριάρχης ἦττον ἐκείνου πε-

## Variæ lectiones et notæ.

(51) Τοῦ βίου αὐτῷ κοινωνόν. *Aicatherinam*, ad quam scripta legitur Pselli epistola in cod. Reg. hoc titulo, Τῇ δεσποίνῃ Αἰκατερίτῃ.

φρονημάτιστο. Ἤθελεν οὖν ἐπιτάσσειν αὐτῷ, καὶ εἴποτε πρὸς τὰ αἰτούμενα ἀπετύγχανεν, ὁ δὲ ἔδυσχέραινε, καὶ ἠπείλει καὶ ἐπετίμα, εἶτα καὶ ὡς αὐτὸς αὐτῷ τὴν βασιλείαν ἀπονενεμηκὼς, αὐτὸς καὶ ἀφελέσθαι ταύτην εἰσαῦθις ἠπείλησε. Ταῦτα οὐκ ἦν οἴσειν τὸν βασιλέα ἐκεῖνον ἐπιεικῶς, διὸ καὶ δράσαι πρίν τι πάθοι προεμηθεύσατο. Τοῦ γοῦν πατριάρχου εἰς τὴν οἰκείαν ἀπελθόντος μονὴν, ἤδη τῆς πανηγύρεως ἐφεστώσης τῶν ἐν αὐτῇ τιμωμένων οὐρανίων Δυνάμεων, ἵν' ἑορτάσῃ λαμπρότερον· πέμψας ἐκεῖ χεῖρα στρατιωτικὴν ὁ κρατῶν (οὐ γὰρ ἤθελεν ἐκ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας τὸν ἄνδρα καταγαγεῖν, ἵνα μὴ παρὰ τῷ κλήρῳ, ἢ καὶ τῷ δήμῳ θόρυβος γένηται), ἐκεῖνόν τε καὶ τοὺς ἐκείνου ἀνεψιοὺς συνόντας αὐτῷ ὑπερορίους ποιεῖ. Εἶτα καὶ καθαιρέσει ὑποβαλεῖν αὐτὸν διὰ φροντίδος ἐτίθετο, καί τισι τῶν ἀρχιερέων συνεργοῖς πρὸς τοῦτο ἐκέχρητο, καὶ τῷ Ψελλῷ αἰτιαμάτων (52) πολλῶν καὶ ἀλλοκότων συναγωγεῖ, ἃ ἐν τῷ κατ' ἐκείνου λόγῳ συνήθροισέ τε καὶ συνεγράψατο, δηλοῖ τε διά τινων τῷ ἀνδρὶ, ἀπείπασθαι τὴν ποιμαντικὴν, ἵν' ἐκὼν αὐτὴν δοκῇ παραιτεῖσθαι, ὡς εἰ μὴ τοῦτο, καὶ ἄκων αὐτὴν ἀφαιρεθήσεται, εἰς μέσον κατ' αὐτοῦ προτιθεμένων αἰτιαμάτων. Ὡς δ' ἐκεῖνος οὐκ ἦν ὑπείκων τῷ τοῦ βασιλέως θελήματι, φροντὶς ἦν τῷ κρατοῦντι περὶ τῆς αὐτοῦ καθαιρέσεως. Ἀλλ' ἔφθη λύσας τὴν φροντίδα τοῦ πατριάρχου ὁ θάνατος. Μετ' ὀλίγου γὰρ μεθίσταται τῶν ἐνθένδε ὁ πατριάρχης, καί τις τῷ Κομνηνῷ τὴν ἐκείνου εὐηγγελίσατο τελευτὴν, ὡς φροντίδων αὐτὸν ἀπαλλάττουσαν. Ὁ δ' εὐθὺς μετεγνώκει καὶ ἀνωλόλυξε, καὶ τὸν ἐκείνου νεκρὸν μετ' ἐντίμου τῆς προπομπῆς ἐκ τῆς ὑπερορίας ἀναγαγὼν, εἰς τὴν αὐτοῦ μονὴν ἐναπέθετο, καὶ τοὺς ἐκείνου ἀδελφιδοῦς αὖθις ἀποκατέστησεν ἐς τὰς προτέρας τιμάς. Τῇ δ' Ἐκκλησίᾳ τὸν πρόεδρον καὶ πρωτοβεστιάριον Κωνσταντῖνον τὸν Λειχούδην ἀντικατέστησε, ἄνδρα ταῖς τῶν κοινῶν πραγμάτων ἐπὶ μακρὸν ἐμπρέψαντα διοικήσεσι, καὶ ἀνέγκλητον διαμείναντα, ὅπερ ὁ Μονομάχος καὶ τὴν τῶν Μαγγάνων ἀνέθετο πρόνοιαν, καὶ τὰ περὶ τῆς ἐλευθερίας αὐτῶν ἐνεπίστευσεν ἔγγραφα. Ἅπερ ὅφ' ἑαυτὸν ὁ Κομνηνὸς ἐθέλων ποιήσασθαι, σκέμμα τι μηχανᾶται πονηρίας ἀνάμεστον, καὶ τόκον νοὺς κακοδαίμονος. Ἐπεὶ γὰρ ὁ Λειχούδης ἐψήφιστό τε καὶ προκεχείριστο, καὶ ἱερεὺς ἤδη κεχειροτόνητο, δι' ἀπορρήτων αὐτῷ μηνύει, λέγεσθαί τινα κατ' αὐτοῦ, ἀπείργοντα τοῦ ἱεράσθαι αὐτὸν, καὶ εἰ μὴ ταῦτα λαληθεῖεν καὶ λυθεῖεν συνοδικῶς, μὴ οἷόν τε εἶναι τοῦ χρίσματος αὐτὸν τῆς ἀρχιερωσύνης τυχεῖν. Εἰ δὲ δοίης μοι, ἔφη, τῶν Μαγγάνων τὰ δικαιώματα, παραβλέψομαι τὰ λεγόμενα, καὶ παραχωρήσω χρισθῆναί σε. Συνιδὼν οὖν ὁ Λειχούδης, ὡς οὐκέτι αὐτῷ εἰς τὴν προτέραν ἐπανελθεῖν κατάστασιν ἔξεστιν, οὕτω δὲ μένειν δι' αἰσχύνης ποιούμενος, φέρων δίδωσι τὰ αἰτούμενα, καὶ οὕτω παραχωρεῖται τελεσθῆναι τὴν ἀρχιερατικὴν τελετήν.

ς'. Ὁ δὲ Κομνηνὸς κατὰ τῶν Οὔγγρων καὶ τῶν Σκυθῶν, οἳ Πατζινάκαι λέγονται, ἐκστρατεύσας,

A imperare illi volebat, ac si quando non impetrasset ea quæ petierat, ægre ferebat, increpabat; denique minabatur quemadmodum imperium illi contulisset, seidem illi ereptum. Quæ cum talis imperator ferre æquo animo haud utique posset, providit, ut malum daret potius quam ferret. Cum igitur patriarcha in suum monasterium, instente sanctorum Angelorum, qui ibi colebantur, festo, ut illud splendidius celebraret, iturus esset: missa illuc cohorte militum (nec enim eum ex ecclesia Verbi divini Sapientiæ avellere voluit, ne vel cleri vel populi motus oriretur) et ipsum et nepotes ejus relegat. Deinde de abrogando illi patriarchatu cogitans, opera quorumdam primariorum sacerdotum utitur, et Pselli variarum et absurdarum criminationum

B concervatoris, quas in oratione contra illum scripta congessit, et per quosdam viro significat, ut simulet, se ultro pontificatu cedere, quem alioquin invitus cum publica infamia sit amissurus. Ut autem ille refragabatur, imperatoris de ejus exauctorationis sollicitudinem mors sustulit. Neque enim multo post illius obitus a quodam est ei nuntiatus. Qui cum se **270** lætum illi afferre nuntium et curas adempturum putaret: ille statim mutata sententia ejulavit, ejusque cadaver cum honorifico comitatu ab exsilio revocatum in monasterio ab illo condito reposuit, nepotibus ejus pristina dignitate restituta. In Ecclesia vero Constantinum Lichudem præsidem et protovestiarium constituit, virum longo tempore in administrationibus

C rerum communium cum laude versatum, spectatæque fidei, cui Monachus etiam Manganorum œconomia commissa, tabulas de illorum immunitate commiserat, quas cum sibi vindicare Comnenus conaretur: commentum improbitatis plenum excogitat, ac plane partum quemdam diabolicæ mentis edit. Nam cum Lichudes per suffragia electus, ac sacerdos jam creatus esset, arcano eum monet, dici quædam quæ a patriarchali officio illum arcerent, et si in synodo agitarentur, nec rite confutarentur, non posse eum pontificatus unctionem adipisci. Verum si Manganorum sibi privilegia traderet, se neglecturum criminationes illas neque impedimento fore quominus ungatur. Lichudes, qui videret non licere sibi ad pristinam

D conditionem redire, sic vero manere turpe esse, propere allatis iis quæ putebantur, nemine obstante, pontificio ritu initiatur.

VI. Posthæc Comnenus expeditione contra Hungaros et Scythas, qui Patzinacæ dicuntur, sus-

Variæ lectiones et notæ.

(52) Καὶ τῷ Ψελλῷ αἰτιαμάτων. Exstat inter opera Pselli calumniatoria ista in Michaelem Cærularium patr. Constantinopol. ad synodum dicta oratio quæ propediem cum ejusdem historia et aliquot aliis opusculis et epistolis, prodibit cum versione Combefisii ex typographia Regia.

cepta, Hungaris potentibus pacem concessit. Scythas vero aggressuro, cæteri quidem cessere, pacem et ipsi amplexi (neque enim eidem omnes duci parebant) : unus vero eorum Seltes, cæteris audacior, cum parte quadam Romanorum copiarum congressus, vincitur, et multis suorum amissis aufugit. Imperator autem castris inde motis, sub finem mensis Septembris, Lobitzum concessit : ubi vehementi imbri et nive intempestiva et maxima plerique equi perierunt, multique milites ex frigore sunt periclitati ; cumque flumina exundantia et stagnantia commeatum subito intercepissent, et homines et jumenta rerum necessariarum penuria laborarunt. Cæterum, pluvia et nive paulisper sedata, imperator tabernaculo egressus sub magnam **271** quamdam quercum in proximo concessit, circumstantibus procerum quibusdam. Orto autem in eo loco fragore, et ipse et sui inde discesserunt, atque arbor statim radicitus evulsa concidit. Reversus igitur in magnam urbem, ad grates, ob salutem acceptam Deo persolvendas, intra palatium Sanctæ Theclæ protomatyris ædem ille quidem condidit, quod eo die, quo illius memoria celebratur, quercus illud periculum effugerat, sed talem, quæ magnam ejus animi pusillitatem arguat : quam ejus ex fratris filio nepos imperator Joannes, Alexii filius, magnificentissime instauravit, nomine Servatoris nostri Jesu Christi.

A τοῖς μὲν Οὔγγροις εἰρήνην αἰτησαμένοις ἐσπείσατο. Κατὰ δὲ τῶν Σκυθῶν ὁρμήσαντι, οἱ μὲν ἄλλοι ὑπέκυψαν καὶ εἰρήνευσαν (οὐ γὰρ ὑφ' ἕνα καὶ πάντες ἡγεμόνα ἐτάττοντο), εἷς δ' αὐτῶν ὁ Σελτὲ θρασυνθεὶς, καὶ μοίρᾳ τινὶ τῆς τῶν Ῥωμαίων δυνάμεως συμβαλὼν, ἥττητο, καὶ τὸ πολὺ τῶν οἰκείων ἀποβαλὼν, μετὰ τῶν περιλειφθέντων ἀπέδρα. Ἀναζευγνὺς δ' ἐκεῖθεν ὁ βασιλεὺς, ἐσκήνωσεν ἐν τῷ Λοβίτζῳ, ἤδη τοῦ τέλους ὄντος ἐγγὺς τοῦ Σεπτεμβρίου μηνός. Ὄμβρου δὲ βαγδαίου καταῤῥαγέντος, καὶ χιόνος πεσούσης πρὸ ὥρας πολλῆς, τῆς ἵππου τε τὸ πλέον διέφθαρτο, καὶ στρατιῶται πολλοὶ τῷ ψύχει κεκινδυνεύκασι, καὶ ποταμοὶ δ' ὑπερχειλεῖς γεγονότες καὶ πελαλίσαντες τὰ ἐπιτήδεια σφῶν ἀθρόον παρέσυραν, ὡς καὶ τῷ στρατιωτικῷ καὶ τοῖς ὑποζυγίοις αὐτοῦ τὰ ἀναγκαῖα ἐπιλιπεῖν. Εἶτα τοῦ ὗειν τε καὶ τοῦ νίφειν ἐπὶ μικρὸν παυθέντων, τῆς βασιλείου σκηνῆς προῆλθεν ὁ βασιλεὺς, καὶ ὑπὸ δρῦν ἕστη παμμεγέθη, ἐκεῖ που ἑστῶσαν· καί τινες τῶν ἐν ὑπεροχαῖς αὐτὸν περιίστανται. Βοῆς δ' ἐν τῷ τόπῳ συμβάσης, μετέστησαν τῆς δρυὸς ὁ βασιλεύς τε καὶ οἱ περὶ αὐτὸν, ἡ δ' αὐτίκα ῥιζόθεν ἐκσπασθεῖσα κατέπεσεν. Ὁ δ' αὐτοκράτωρ ἐπανελθὼν εἰς τὴν μεγάλην πόλιν, καὶ ἀποτινὺς ὑπὲρ τῆς σωτηρίας ταύτης τῷ Θεῷ χαριστήρια, ναὸν ἐντὸς τῶν βασιλείων ἀνήγειρε τῇ πρωτομάρτυρι ἁγίᾳ Θέκλᾳ. Κατὰ τὴν ἡμέραν γὰρ ἐν ᾗ τελεῖται ἡ μνήμη ταύτης, τὸν ἐκ τῆς δρυὸς ἐξέφυγε κίνδυνον, ναὸν δὲ πολλὴν κατηγοροῦντα τῆς ἐκείνου προαιρέσεως μικροπρέπειαν, ὃν ὁ ἐκείνου καθελὼν ἐξανέψιος ὁ αὐτοκράτωρ Ἰωάννης ὁ τοῦ Ἀλεξίου υἱὸς σφόδρα μεγαλοπρεπῶς ἀνεδομήσατο εἰς ὄνομα τοῦ Σωτῆρος (53) ἡμῶν Ἰησοῦ Χριστοῦ.

B

C

VII. Nunc illud dicendum est, quemadmodum Isaacius hic imperium deposuerit, etsi scriptores in eo non consentiunt. Nam eruditissimus et eloquentissimus Psellus narrat, eum venationibus deditum, cum hasta sæpe et ursos et apros feriret : frigido vento ictum esse latus, atque inde febrim ex imo coortam efferbuisse. Postridie cum lateris doloribus urgeretur, et spiritum ægre traheret, dubia spe vitæ, ac potius plane desperata vita, Constantino Ducæ imperio tradito, vitæ melioris institutum amplexum esse. Thracesius autem refert, circa Neapolim venanti visum esse aprum horrendum aspectu, quem dum laxatis equo habenis persequeretur, ingenti spumarum vi ac fremitu in eum ferri, ac dentibus ejus femur transfigere, ac deinde in fugam se conjicere. Quo ille ictu, ut ferebat, ad mortem usque vulnerato, ipse quoque ex equo delapsus, ac pedibus aprum insequens, ubi ad quercum pervenit, ingenti ramo ejus caput percussit, ac deinde ipse quoque ad terram corruit. Quo ictu aper ille mortuus est, ipse vero ex eo tempore ægrotare cœpit, et ad mortem usque decubuit. Quæ cum ita sint, Psellus ea omnia ad Isaacii ignaviam et desidiam refert, qui ea tempestate, qua Turcis Romanum imperium vastantibus, Romanorum res ad summum discrimen adducta est, in venationibus tempus consumpserit. Sed hæc quidem ita se habent. Nos vero, quæ ab aliis de Isaacio dicta sunt, ea omnia ad verbum exponemus.

Χ'. Ἀλλ' ἤδη ῥητέον καὶ ὅπως τὴν βασιλείαν ἀπέθετο οὗτος ὁ Ἰσαάκιος, εἰ καὶ μὴ συμφρονοῦσιν οἱ συγγεγραφότες περὶ αὐτοῦ. Ὁ μὲν γὰρ πολὺς τὴν γλῶτταν (54) ὁ σοφώτατος Ψελλὸς ἐν θήραις ἐκεῖνον λέγει τὸν βασιλέα σχολάζοντα, καὶ συχνάκις τὴν δεξιὰν λογχοφόρον ἐπ' ἄρκτους καὶ σύας ἐπανατείνοντα, βληθῆναι πνεύματι ψυχρῷ τὴν πλευρὰν, κἀντεῦθεν φρίκην ἐπισυμβῆναι αὐτῷ, καὶ πυρετὸν ἐκ τοῦ βάθους ἀναφλεγῆναι, εἰς δὲ τὴν ἐπιοῦσαν νύττεσθαι τὴν πλευρὰν, καὶ τὸ ἄσθμα, μὴ ἐῤῥῶσθαι αὐτοῦ, κἀκ τοῦτων ἀμφισβητήσιμον γενόμενον εἰ βιώσεται, ἢ καὶ ἀπεγνωκότα τέλεον τὴν ζωὴν, καὶ νὸν Δοῦκαν Κωνσταντῖνον (55) τῇ βασι-

D

## Variæ lectiones et notæ.

(53) Εἰς ὄνομα τοῦ Σωτῆρος. De hac æde egimus in *Constantinopoli Christ*, ubi de æde S. Theclæ. Videtur porro illa ipsa ædes quam a Joanne conditam aiunt sub nomine τοῦ Παντοκράτορος. De hac pariter in eadem lucubratione sat multa a nobis observata : cujus et am. ut hoc obiter moneam, ea erat prærogativa, ut illius Hegumenus multis aliis monasteriis una esset præfectus, nisi forte exarchii obierit dignitatem, de qua consulere licet Glossarium ad scriptores med. Græcit., ita ut visitatoris potius officium exercuerit. Balsamon, ad *Nomocanon* Photii, tit. 1. c. 20 : Εἰ γὰρ οὐκ ἐφεῖται κληροῦσθαί τινα εἰς δύο Ἐκκλησίας, πολλῷ, πλέον οὐδὲ κεφαλὴ μία δύο σωμάτων. Τὸ δὲ προϊστασθαι τὸν παντοκρατορηνὸν Ἡγούμενον πολλῶν μοναστηρίων, οὐκ ἐναντιοῦται τῷ κανόνι· τὰ γὰρ πολλὰ μοναστήρια ὡς ἓν λογίζονται, διὰ τὸ κατ' ἐπίδοσιν περιελθεῖν εἰς παντοκράτορα.

(54) Πολὺς τὴν γλῶτταν. *Eloquentissimus* reposuimus, pro *homo verbosus*, uti verterat interpres, quem inde multis exagitat Allatius in Dissertat. de Psellis, p. 38. Porro Michaelis Pselli verba sunt: Πολλάκις δὲ τῇ βολῇ τῆς λόγχης ἐπὶ τὰς ἄρκτους καὶ συνεχῶς ἐπανατείνων τὴν δεξιὰν ψυχρῷ πνεύματι βάλλεται τὴν πλευρὰν, καὶ τότε μετὰ οὐ πάνυ καταδήλος ἡ πληγὴ ἐγεγόνει. τῇ δ' ἐφεξῆς ῥιγώσαντας, πυρετὸς διαδέχεται, etc.

(55) Κωνσταντῖνον. Anonymus Barensis : *Anno* 1060, *ind.* 13, *Comminiano voluntarie dedit* (forte cedi.) *domino suo Constantino Duhixxi, et induit sibi habitum monachicum.*

λεια ἐγκαταστήσαντα, πρὸς τὴν κρείττω μετατάξασθαι βιοτήν. Ὁ δέ γε Θρᾳκήσιος, θηρᾷν κἀκεῖνος τὸν βασιλέα τοῦτον ἱστόρησε περὶ τὴν Νεάπολιν, σὺν δ' ἐπιφανῆναί ποθεν, τήν θέαν φρικτὸν, καὶ τὸν Κομνηνὸν ἐνδεδωκότα τῷ ἵππῳ τὸν χαλινὸν, διώκειν τὸν σὺν, τὸν δὲ εἰσδῦναι τὴν θάλασσαν, γενέσθαι τε ἀφανῆ, ὃν οὐ σὺν οἱ πολλοὶ, φάντασμα δέ τι δαιμόνιον ὑπειλήφασιν· ἐν τοσούτῳ δ' ὡς ἐξ ἀστραπῆς ἐνσκῆψαι λαμπηδόνα τῷ βασιλεῖ, καὶ τῇ ταύτης Βολῇ διαταραχθέντα τὸν αὐτοκράτορα, τοῦ ἵππου τε ἐκπεσεῖν, καὶ κεῖσθαι παρὰ τῇ γῇ ἀφρὸν τοῦ στόματος ἀποπτύοντα, καὶ μηδὲν τῶν κατ' αὐτὸν αἰσθανόμενον, ἀκατίῳ δ' ἐκεῖθεν ἐμβιβασθέντα, κομισθῆναι εἰς τὰ βασίλεια, καὶ νοσήσαντά τι βραχὺ, εἶτα δὴ καὶ ἀπογνωσθέντα, κείρασθαί τε τὴν τρίχα, καὶ ἀντὶ τῆς πορφύρας τραχὺ τριβώνιον ἀμφιέσασθαι, τὸν Δοῦκα Κωνσταντῖνον βασιλέα προχειρισάμενον, καὶ οὕτω τῇ τοῦ Στουδίου προσορμίσαι μονῇ, κἀκεῖ τὸ λοιπὸν καταβιῶναι τῆς βιοτῆς ἀναῤῥιωσθέντα ἐκ τοῦ νοσήματος. Ἐβασίλευσε δὲ δύο ἐνιαυτοὺς καὶ μῆνας τρεῖς, δραστήριος ὢν, καὶ τὸ ἦθος σοβαρὸν ἐνδεικνύμενος, πρὸς πράξεις ὀξύτατος, στρατηγικώτατος τὰ πολέμια. Λόγοις μὲν οὐχ ὡμιληκὼς, προσέχων δ' αὐτοῖς, καὶ τοὺς τούτων τροφίμους ἀποδεχόμενος, σιῶφρών τε τὰ πρὸς εὐνήν. Λέγεται γαρ ποτε νοσῆσαι τῆς οἰκίας ἀποδημῶν, καὶ παρὰ τῶν ἰατρῶν γυναικὶ μιγῆναι πρὸς θεραπείαν τῆς νόσου προτρέπεσθαι· τὸν δὲ μὴ ἀνασχέσθαι ἑτέρᾳ πλησιάσαι παρὰ τὴν σύνοικον. Αἰτιώμενος δὲ ὅτι τυραννίδι ἐπικεχείρηκεν, Ὤκνουν, ἔλεγε, τῷ συνδούλῳ δουλεύειν, καὶ τῶν εἰκότων μὴ τυγχάνειν.

A relur, in mare demersum evanuisse, et a plerisque non aprum, sed spectrum quoddam diabolicum esse judicatum: atque interim fulgore quodam instar fulguris perstrictum imperatorum, equo præterrore excussum, et spumam ore rejicientem, humi attonitum jacuisse, atque inde navicula in regiam revectum, cum paulisper ægrotasset, jam deploratum, raso capillo et purpuræ loco aspera lacerna sumpta, atque Constantino Duca imperatore designato, in Studiense monasterium se contulisse, ubi recuperata etiam valetudine, vitæ reliquum exegerit. Regnavit biennium et tres menses, homo strenuus, ingenio arroganti, in rebus gerendis celerrimus, rei bellicæ peritissimus. In litteris non quidem versatus, sed litterarum studiosus, et doctorum amans; in conjugio adeo castus, ut cum peregre in morbum incidisset, et a medicis **272** moneretur, ut consuetudine mulieris morbum levaret, cum ulla præter uxorem suam, rem habere recusarit. Cum ei regni affectatio objiceretur, respondit: *Se puli non poluisse conservi imperium, a quo justa sibi præmia negarentur.*

Η'. Ὁ πρόεδρος δὲ Κωνσταντῖνος ὁ Δούκας, τῆς βασιλείας τυχὼν ἀπραγμόνως, ὡς εἴρηται, πολλοὺς τῶν τῆς συγκλήτου βουλῆς καὶ τοῦ δημώδους πλήθους εἰς μείζονας ἀξιωμάτων βαθμοὺς προεβίβασε. Καὶ ὅσους δ' ὁ Κομνηνὸς ἀφείλετο τὰς οἰκείας τιμὰς (πολλοὶ δ' ἦσαν καὶ οὗτοι), εἰς ταύτας αὖθις αὐτὸς ἐκείνους ἀποκατέστησεν. Ἐπιβουλῆς δὲ κατ' αὐτοῦ συσκευασθείσης, μικροῦ δεῖν ἐγένετο ἂν ὑποβρύχιος. Ἦν μὲν γὰρ ἐν τοῖς βασιλείοις τῶν Μαγγάνων· ἐσκέψαντο δὲ οἱ συνομοσάμενοι, ὡς εἰ θόρυβος ἐν τῇ τῆς πόλεως γεγονὼς ἀγγελθείη αὐτῷ ἀγορᾷ, αὐτίκα διὰ τῆς θαλάσσης ἐκεῖνος ἀπελεύσεται πρὸς τὸ μέγα ἀνάκτορον. Προφκονόμητο δ' αὐτοῖς, μὴ εἶναι τὴν βασιλικὴν τριήρη ἐκεῖ, καὶ τοὺς ἐκείνης οἰακοστρόφους, οὓς πρωτοκαράβους ἡ δημώδης λέγει φωνὴ, τῆς συνομοσίας μετέχειν σπουδάσαντες. Ὁ μὲν οὖν βασιλεὺς ὡς τὸν θόρυβον ἐνωτίσατο, ἀπιέναι δεῖν ἔκρινε τῶν ἀνακτόρων εὐθύ. Ἐπεὶ δ' οὐχ εὑρητο ἡ βασιλικὴ τριήρης ἐκεῖ, εἰς τὸ τυχὸν ἐμβεβήκει ἀκάτιον· ἀπιόντος δὲ, ἀνεφάνη καὶ ἡ ναῦς ἡ βασίλειος, καὶ εἰρεσίᾳ πολλῇ σὺν ῥύμῃ σφοδρᾷ τὸ ῥόθιον τέμνουσα, πρὸς τὸ πλοιάριον, ᾧπερ ὁ βασιλεὺς ἐμβεβήκει, πρὸς τῶν πηδαλιούχων ἐθύνετο. Ἦν δ' αὐτοῖς τὸ βουλόμενον, ἐπιβιβάσαι τὴν τριήρη τοῦ πλοιαρίου, ἵν' αὐτὸ καταδύσῃ καὶ σὺν τῷ βασιλεῖ ποιήσηται ὑποβρύχιον. Ὡς δ' εἶδον τὴν τῆς τριήρους ἐπιφορὰν οἱ τῷ κρατοῦντι συμπλέοντες, ἀνέκραξάν τε καὶ ἐπέχειν θρασύτερον ἐξεβόησαν, καὶ μετατρέπειν τοὺς οἴακας. Ταῖς οὖν ἐκείνων βοαῖς ὥσπερ ἐμβροντηθέντες οἱ ἐπὶ τῶν οἰάκων (θείας δ' ἦν τὸ ξύμπαν προμηθείας) ἀπεδειλίασαν. Καὶ οὕτω τὸν κίνδυνον ὁ βασιλεὺς ἐκφυ-

VIII. Constantinus Ducas præses, imperio citra laborem, ut dictum est, positus, multos senatorii ordinis et plebeiæ conditionis ad altiores dignitatis gradus evexit: atque illos etiam, quos Comnenus honoribus spoliarat, qui multi fuerunt, in integrum restituit. Sed parum abfuit, quin per insidias submergeretur. Nam cum in Manganico palatio ageret, conjurati ratione inita, si ei tumultus in foro urbis nuntiaretur, statim mari in magnam regiam transiturum, curarant, ut imperatoria triremis, illiusque gubernatores, qui protocarabi vulgo appellantur, et in conjurationis societatem asciti erant, abessent. Imperator, audito tumultu, recta in regiam abeundum esse censuit. Sed cum imperatoria triremis ibi non inveniretur, proximum lembum conscendit. Inter navigandum vero etiam navis imperatoria apparuit, quæ frequenti remigio et vehementi impetu fluctus secans, a gubernatoribus recta ad lembum dirigebatur, eo consilio, ut illo suppresso imperator demergeretur. Iis vero qui cum eo vehebantur, exclamantibus, et confidentius vociferantibus, ut inhibitis remis gubernacula converterent; gubernatores velut allociti, Deo ita volente, paruerunt. Sic periculo evitato, quo paulo et a quibus paratæ essent insidiæ cognovit, ac sontes bonis duntaxat ademptis ultus est. Etsi autem ex veterum Ducarum Andronici, Pantherii, et Constantini familia se ortum esse gloriabatur, tamen eam familiam, cum Constantinus (ut supra dictum est) regnum affectasset, Constantino Porphyrogenito imperatoris Leonis Philosophi filio regnante, et ob immaturam ætatem adhuc sub tu-

B C D

toribus agente, funditus eversam esse constat, nullo mare relicto. Hujus igitur majores, ut fertur, a femina quadam originem duxerunt. Unde non germanus Ducas censebatur, sed promiscuus, cognatione illa velut adulterata. Itaque a plerisque non **273** Ducas, sed Ducitzes per diminutionem vocabatur. Cæterum vir pius fuit erga Deum, moribus commodis, justitiæ amans, sed ingenio tardo et hebeti; et ut iis delectabatur, quorum spectata erat integritas, sic pecuniam supra modum amabat, et rationes excogitabat, quibus multos thesauros coacervaret. Quamobrem duabus rebus magnum impendit studium, quarum una erat, ut publica vectigalia augeret, eaque de causa curias rationibus quæstoriis destinatas quibusvis vendebat, et vectigalium collectionem publicanis cum pacto auctarii credebat; altera, ut controversias audiret, et decreta scriberet. Verum in jure dicendo non semper præscripta legum observabat, sed alicubi etiam erat pro ratione voluntas, ut commutatis calculis in pronuntiando personarum rationem haberet. Jam ut erat tenax et parcus, cum animo suo constituit, nolle se bellis conflictari, sed gentes muneribus et aliis obsequiis devincire, et Romano imperio reconciliare; qua re duo commoda venabatur, alterum ne plura in expeditionibus consumeret: alterum, ut per summum otium cumulandis thesauris invigilaret. Ita fiebat, ut militares catalogos negligeret, ac potius fortissimos quosque ob stipendii magnitudinem deleret. Unde Barbari ferociores evadebant: Romanæ vero legiones timidiores et humiliores, atque imperium minuebatur. Nam multæ tum Orientales provinciæ partim diripiebantur et vastabantur, partim ab hostibus occupabantur.

(74*) Ἡ ἐν Χώναις πολιτεία. Ita Scylitzes τὴν ἐν Χώναις πολιτείαν dixit. Chonæ vero olim Palassæ dictæ, urbs episcopalis Laodiceno metropolitano subjecta, ut est apud Nicetam in Vita S. Ignatii patr. Constantinopol., ob templum S. Michaelis Archangeli, magnitudine, pulchritudine et mirabili artificio insigne celeberrima: de qua ita Nicetas, ipse Choniates, in Manuele, l. VI, n. 1: Ἀφικνεῖται εἰς Χωνας, πόλιν εὐδαίμονα καὶ μεγάλην, πάλαι τὰς Παλασσὰς, τὴν ἐμοῦ τοῦ συγγραφέως πατρίδ, καὶ τὸν Ἀρχαγγελικὸν νεὼν εἰσιὼν μεγέθει μεγιστον καὶ κάλλει κάλλιστον ὄντα, καὶ θαυμασίας χειρὸς ἔργον, ἅπαντα ἐκεῖθεν ἐξελάσας, etc. Et in Isaacio, l. II, n. 11, de eodem templo: Ἀλλὰ καὶ τὸν νεὼν τοῦ ἀρχιστρατήγου Μιχαὴλ ὁ ἄνομος οὗτος διαφῆκεν ἐμπρῆσαι, ἔργον μέγιστον καὶ περίποστον ὄντα, καὶ ὑπερβαίνοντα ἐς κάλλος καὶ τὴν εἰς μῆκος ἕκτασιν τὸ ἐν τῇ βασιλίδι πόλει τοῦ καλλιμαρ- D τυρος Μωκίου τέμενος. Constantinus Porph. l. I, them. 3, ubi de themate Thracesio: Κολοσσαὶ, αἱ νῦν λεγόμεναι Χῶναι, οὗ ἐστι ναὸς διαβόητος τοῦ ἀρχαγγέλου Μιχαήλ. Celeberrimum nempe fuit et famosum S. Archangeli Michaelis Chonense templum, ob miraculum in archippo illius Mansionario patratum, cujus historia passim exstat apud Metaphrastem, hoc titulo: Διήγησις τοῦ γενομένου θαύματος παρὰ τοῦ ἀρχαγγέλου Μιχαήλ, etc. et apud Pantaleonem diaconum et chartophylacem Magnæ ecclesiæ, hoc titulo, Περὶ τοῦ Προσμοναρίου Ἀρχίππου, καὶ τοῦ θαύματος ὧν ποταμῶν ἐν Χώναις. In cod. Reg. 2455 et 2449.

(75) Τὰ δωμάτια. Ita 2 Regii: alii duo δώματα.

(76) Ὃ καὶ τούτῳ κακὸν οἰώνισμα. Sic mss. Wolfius legendum putabat, καὶ τούτῳ scilicet Diogeni.

(77) Θεοδοσιόπολιν. Ita codd. Reg.

τευμα, καὶ μοῖραν μὲν τῷ Ῥουσελίῳ (78) παρέσχεν. Ἀνὴρ δ' οὗτος Λατῖνος πολεμικώτατος, καὶ κατὰ τοῦ Χλιὰτ αὐτὸν ἐξαπέστειλεν. Ἑτέραν δὲ μοῖραν ἑτέρῳ προσένειμε, προστάξας αὐτῷ πορθῆσαι τὸ Μανζικίερτ (79)· αὐτὸς δὲ ὁ βασιλεὺς μετὰ τῶν λοιπῶν, οὐκ ἀξιομάχων ὄντων, περιελέλειπτο. Τὸ μὲν οὖν Μανζικίερτ δι' ὁμολογίας τῷ βασιλεῖ παραδέδοτο, ἀποδεδειλιακότων τῶν Τούρκων καὶ πίστιν αἰτησαμένων, καὶ τούτου ἐκστάντων. Στρατιῶται δὲ εἰς συλλογὴν ἐξελθοῦσι τῶν χρειωδῶν πολέμιοι ἀθρόοι ἐπῆλθοσαν. Ὁ γοῦν ὁ βασιλεὺς τὸν μάγιστρον Νικηφόρον τὸν Βρυένιον ἐπ' αὐτοὺς ἐξαπέστειλε μετά τινος συντάγματος, ὃς, τοῖς Τούρκοις προσβαλών, καὶ κάμνουσαν βλέπων τὴν μετ' αὐτοῦ δύναμιν, στείλας ἤτει ἐπικουρίαν. Ὁ δὲ βασιλεύς, ἀγνοῶν τῶν ἐναντίων τὴν δύναμιν, δειλίαν κατέγνω τοῦ Βρυενίου, καὶ κατὰ τοῦ ἀνδρὸς ἐτραχύνετο. Ἔτυχε δὲ τότε ὁ ἱερεὺς ἀναγινώσκων τὸ Εὐαγγέλιον, καὶ λέγων· Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. Ὅμως ἔστειλε καὶ τὸν μάγιστρον Νικηφόρην τὸν Βασιλάκιον μετὰ μοίρας στρατιωτῶν, ὧν πρωστεθέντων τῷ Βρυενίῳ, μέχρι μέν τινος ἰσοπαλὴς ἦν ὁ ἀγών· εἶτα τοῦ Βασιλακίου ὁρμήσαντος ἐν προμάχοις κατὰ τῶν ἐναντίων μετὰ τῶν περὶ αὐτὸν, τὰ νῶτα ἔστρεψαν οἱ πολέμιοι, ὁ δὲ ἐδίωκε, τοῦ Βρυενίου σὺν τοῖς ἀμφ' αὐτὸν μὴ διώκοντος. Ὡς δὲ περὶ τὸν χάρακα τῶν ἐναντίων ἐγένετο, πληγέντος αὐτῷ τοῦ ἵππου, ἀπέβη αὐτοῦ, καὶ διὰ τὸ τῶν ὅπλων βάρος οὐκ εὐκίνητος ὢν κυκλοῦται παρὰ τῶν πολεμίων, καὶ ζωγρηθεὶς, τῷ σουλτάνῳ προσάγεται· οὔτε δ' ἐκεῖνος δουλικώτερον αὐτῷ προσήει, οὔτε μὴν ὁ σουλτὰν ὡς αἰχμαλώτῳ αὐτῷ προσήνεκτο. Συχνάκις δὲ τὸν ἄνδρα μεταπαλούμενος, περὶ τοῦ βασιλέως διεπυνθάνετο, καὶ τὰς οἰκείας δυνάμεις ἐδείκνυεν. Ὁ δὲ καὶ ἐπῄνει τὸν σουλτὰν καὶ ἐθαύμαζεν, οὐ μέντοι συμφέρειν αὐτῷ ἔλεγεν ἀντιπαρατάξασθαι τῷ βασιλεῖ. Ὁ δέ γε βασιλεὺς μετὰ τῶν περιλοίπων ἐξῆλθε τοῦ χάρακος κατασκοπήσων τί τὸ γινόμενον· ἑστὼς δ' ἐπὶ γεωλόφων μέχρις ἑσπέρας ὑπέστρεψε. Καὶ εὐθὺς οἱ Τοῦρκοι ἐκύκλωσαν τὸ στρατόπεδον, καὶ τοῦτο περιιππεύοντες βέλη ἔβαλον, καὶ βοαῖς ἀσήμοις καὶ ὀλακαῖς περιῄχουν τὴν στρατιάν. Οὕτω μὲν οὖν ἡ νὺξ ἐκείνη παρῆλθεν. Ἕωθεν δὲ Οὔζων τι σύνταγμα πρὸς τοὺς πολεμίους ἀπηυτομόλησε. Καὶ τοῦτο ὕποπτον καὶ τὸ μεῖναν ἔτι πλῆθος τῶν Οὔζων ἐποίησεν.

A bello gerendo non pares. Ac Mantziciertum quidem, Turcis perterritis, fide accepta, et urbe relicta, deditionem fecit. Milites autem pabulatum **282** egressi, ab hostibus sunt subito oppressi, quo imperator cognito, Nicephorum Bryenium magistrum cum aliquot cohortibus adversus eos misit, qui cum Turcis congressus, cum suas copias fatigatas videret, subsidium petiit. Imperator vero vires hostium ignorans, Bryenium ignaviæ accusavit, viroque succensuit (accidit autem ut sacerdos eo tempore Evangelium illud recitaret: *Si me persecuti sunt, et vos persequentur* [1]), et tamen Nicephorum Basilacium magistrum cum parte copiarum misit, quibus Bryenio conjunctis, aliquantisper utrinque par certamen fuit. Deinde Basilacius cum suis, Bryenio non consecuto, inter primos invectus, hostes in fugam conjecit, quos dum ad vallum usque persequitur, equo vulnerato in pedes desilit; et quia ob armorum pondus parum se movere poterat, ab hostibus circumventus capitur. Dum vero ad sultanum adducitur, nec ipse aliter quam ingenuum decet, se gerit, nec sultanus eum pro captivo tractat, sed sæpius accersitum de imperatore interrogat, copiis suis ostentatis, quas ille etsi laudabat, tamen e re ejus esse negabat, ut cum illo decerneret. Imperator vero cum reliquis exercitus vallo egressus, ut specularetur quid fieret, in collibus usque ad vesperam stetit. Cum in castra redisset, Turci ea circumdederunt, et obequitantes tela conjecerunt, clamoribus inconditis et ululatibus exercitum circumsonantes, et hoc modo nocte illa exacta. Mane Uzorum quidam cohors ad Turcos transfugit, atque eos etiam Uzos qui manserant, suspectos fecit.

ΙΔ'. Ὁ δὲ βασιλεὺς, ἀξύτατα πέμψας εἰς τὸ Χλιάτ, μεταπαλεῖται τὰ ἐκεῖσε στρατεύματα. Ὡς δ' οὐκ ἀφίκοντο (ὁ γὰρ Ταρχανειώτης, οὗτος γὰρ ἦν ὁ εἷς τῶν ἐκεῖ στραταρχῶν, μαθὼν τοῦ σουλτὰν τὴν ἄφιξιν, παρέπεισε καὶ τὸν Ῥουσέλιον· καὶ μετὰ τῶν ὑπ' αὐτοὺς δυνάμεων ἄραντες, φυγῇ πρὸς τὰ Ῥωμαίων ἐχώρησαν ὅρια), ἔγνω ὁ Διογένης μετὰ τῶν συνόντων αὐτῷ διαγωνίσασθαι ἐς τὴν αὔριον, καὶ ἅμα πρωΐ πρὸς τὸν πόλεμον ἐξηρτύετο. Ἐν τούτῳ δὲ πρέσβεις ἦκον ἐκ τοῦ σουλτὰν περὶ εἰρήνης διαλεξόμενοι. Ὁ δὲ βασιλεὺς οὐ πάνυ φιλανθρώπως τοὺς πρέσβεις ἐδέξατο· ὅμως μέντοι καὶ λόγον σφίσι μετέδωκε, καὶ ἀπελθεῖν πρὸς τὸν κύριον αὐτῶν προε-

XIV. Imperator igitur celerrime Chliatum misit, ad revocandos exercitus, qui cum non venirent (nam Tarchaniotes, unus ex illis ducibus, cognito sultani adventu, persuaserat Ruselio, ut una cum suis copiis in Romanorum fines confugeret), decrevit Diogenes postridie cum suis Martis aleam experiri. Interea legati a sultano veniunt de pace acturi, quos imperator parum humaniter suscepit, tamen et dicendi copiam fecit, et hortatus est, ut suo domino renuntiarent: *Si de conditionibus loqui vellet, ut relicto loco in quo jam castra haberet, tabernacula procul transferret, ut ipse vallum ibi* **283** *communiret, ubi tum Barbarorum tentoria essent.*

[1] Joan. xv, 20.

## Variæ lectiones et notæ.

(78) Ῥουσελίῳ. Ita Scylitzes: at Nicephorus Bryenius, l. II, n. 4, Οὐρσέλιον vocat, ut et Latini Scriptores, de cujus gestis et familia pluribus egimus ad eumdem Bryenium, p. 340.

(79) Μανζικιέρτ. De hoc oppido quædam etiam observamus in Notis ad eumdem Bryenium, qui consulendus an ea quæ hic narrat Zonaras.

Hæc arrogantius loculus legatos statim abire jussit. Qui cum sultano imperatoris verba renuntiassent, illo cum suis de pacis conditionibus deliberante, imperator superbia elatus, fidem quibusdam habuit familiarum suorum, qui sultanum timere dicebant, et quod justas copias non haberet, propterea de pace agere, ut per inducias alium exercitum adduceret: non exspectato legatorum reditu, nec ulla re alia considerata, signa canere jussit. Barbaros etsi res improvisa commovit, tamen aciem instruxerunt, nec quamvis a Romanis invaderentur, contraibant, sed sensim recedebant, neque fugientes, neque pugnantes. Cum autem serum dici esset, imperator, ut qui castrorum custodiam justo minorem esse sciret, veritus ne ab hostibus diriperentur, statuit omissa pugna redire ad vallum. Cum igitur imperatorio vexillo converso, exercitui denuntisset, ut idem faceret : ii qui circa ipsum orant, citra tumultum jussa sunt exeeuti, sed quorum ordines longius distabant, recessum imperatoris, fugam interpretati sunt, eo sermone ab Andronico Cæsaris filio apud phalanges spurso. Nam Cæsar ejusque filii subindo imperatori obtrectabant, et clanculum insidiabantur. Is igitur Andronicus, cum non minimæ parti exercitus imperaret, statim cum suis equo concitato, in vallum rediit, quæ res cæteros etiam in fugam convertit. Quos cum ita perturbate reverti videret imperator, substitit, et abeuntes etiam ut subsisterent, hortatus est : sed obsurdueranl omnes, nec fugam remittebant. Cum autem hostes inopinatam Romanorum fugam ex divina ira coortam intelligerent, statim imperatorem invaserunt. Is vero cum suis pugna non detrectata, ad tempus fortiter restitit. Deinde aliis cæsis, aliis captis, circumventus a Barbaris, ne sic quidem cessit. Enimvero cum multos vulnerasset, multos occidisset, tandem et ipse fatigatus, cum manu vulnerata, nec vim amplius propulsare, nec, equo cæso, extra telorum jactum fugere posset, captivus est abductus ad Barbaros Romanorum imperator. Quo nuntio accepto, sultanus nomine Axan, gravisus est, **284** ut natura fert, neque tamen superbia elatus. De cujus moderatione et justitia multa memorantur. Unde captivitatem imperatoris haud credebat, ob immoderatum successum : eoque viso non prius acquievit, quam legati quos dudum miserat, cum agnoverunt: et Basilacius, qui ibi tenebatur, adductus, ad pedes ejus flens se prostravit. Tum quasi numine afflatus e solio exsiliit, et de more humi jacentem calcavit. Deinde erexit atque amplexus est, cum hujusmodi verbis : *Noli mœrere, imperator, ita enim sunt res humanæ. Ego vero te non ut captivum, sed ut imperatorem tractabo.* Et statim ei tabernaculum designat, et ministeria imperatoria, mensæque adhibi-

A τρέψατο καὶ ἀπαγγεῖλαι ὡς Εἰ βούλοιτο περὶ συμβάσεων διαλέξασθαι, καταλιπέτω τὸν τόπον ἐν ᾧπερ ἐστρατοπέδευται, καὶ πόρρω ποι κατασκηνωσάτω, ὥστε με μετὰ τῆς Ῥωμαϊκῆς στρατιᾶς τὸν χάρακα πῆξασθαι, ὅπου νῦν ἐστιν ἡ τῶν βαρβάρων παρεμβολή. Ταῦτα τοῖς πρέσβεσι διαλεχθεὶς ἀλαζονικώτερον, συντόμως ἐπανελθεῖν ἐνετείλατο. Οἱ μὲν οὖν τῷ σουλτὰν τοὺς τοῦ βασιλέως λόγους ἀπήγγελλον, κἀκεῖνος μετὰ τῶν περὶ αὐτὸν περὶ τῶν τῆς εἰρήνης συνθηκῶν ἐβουλεύετο. Ὁ δέ γε βασιλεὺς, ὑπερφρονήσας, καί τισι πεπεισμένος τῶν ἀκειωμένων αὐτῷ, δεδειλιακέναι λέγουσι τὸν σουλτὰν, ὡς μὴ ἀξιόμαχον ἐπαγόμενον δύναμιν, καὶ διὰ τοῦτο τὴν εἰρήνην ζητεῖν, ἵνα, τῆς μάχης ὑπερτεθείσης, καὶ ἄλλην δύναμιν προσαγάγηται, μήτε τὴν τῶν πρέσβεων ἀναμείνας ὑποστροφὴν, μήθ' ἕτερόν τι σκοπήσας, τοῖς σαλπιγκταῖς ἐκέλευσεν ἠχῆσαι τὸ ἐνυάλιον. Τοὺς δὲ Βαρβάρους τὸ αἰφνίδιον διεθρόησεν, ἀλλὰ καὶ οὕτω εἰς ἀντιπαράταξιν ἔστησαν, καὶ ἐπιόντων αὐτοῖς τῶν Ῥωμαίων οὐκ ἀντεπῆλθαν, ἀλλ' ἀνεχάζοντο, μήτε τὰ νῶτα τρέποντες, μήτε μέντοι μαχόμενοι. Ὡς δὲ περὶ δείλην ὀψίαν ἡ ἡμέρα ἐγένετο, εἰδὼς ὁ Βασιλεὺς ὅτι φυλακὴ περὶ τὸ στρατόπεδον οὐκ ἦν ἀξιόλογος, δείσας μὴ ἐπελθόντων τῶν ἐναντίων αὐτῷ διαρπαγῇ, ἔγνω τὴν μάχην λῦσαι καὶ ἐπαναζεῦξαι περὶ τὸν χάρακα. Ἐπιστρέψας οὖν τὴν βασιλικὴν σημαίαν, αὐτός τ' ἐπανῆλθε καὶ τὴν στρατιὰν ταυτὸ ποιεῖν διεσήμαινεν. Οἱ μὲν οὖν περὶ αὐτὸν ὄντες ἀθορύβως ἐποιοῦντο τὸ κελευσθέν. Ὅσοι δὲ πόρρω ποι τὰς παρατάξεις ἐκέκτηντο, φυγὴν τοῦ βασιλέως τὴν ὑποστροφὴν ὑπετόπησαν, Ἀνδρονίκου τοῦ υἱοῦ τοῦ Καίσαρος τὸν λόγον ὑποβαλόντος ταῖς φάλαγξιν. Ἀεὶ γὰρ δ' τε Καῖσαρ καὶ οἱ τούτου υἱεῖς ἐφθόρευον τῷ βασιλεῖ, καὶ ἀφανῶς ἐπεβούλευον. Ἅρας οὖν αὐτίκα μετὰ τῶν περὶ αὐτὸν ὁ Ἀνδρόνικος (ἐξῆρχε γὰρ οὐκ ἐλαχίστης μοίρας στρατιωτῶν) ἀπὸ ῥυτῆρος ἐπανελήλυθεν εἰς τὸν χάρακα. Τοῦτο καὶ τοὺς λοιποὺς ἐτρέψατο εἰς φυγήν, οὓς οὕτω, ἀκόσμως ἐπανιόντας ὁ βασιλεὺς θεασάμενος, ἔστη, στῆναί τε καὶ τοῖς ἀπιοῦσιν ἐνεκελεύετο. Ἀλλ' ἐξεκεκώφεισαν ἅπαντες, καὶ τῆς φυγῆς οὐ μεθίεντο. Ὡς δὲ τὸ παράλογον τῆς φυγῆς δυστύχημα τῶν Ῥωμαίων, καὶ μήνιμα θεῖον ἔγνωσαν οἱ πολέμιοι, εὐθὺς ἐπῆλθον τῷ βασιλεῖ. Ὁ δὲ μετὰ τῶν περὶ αὐτὸν τὴν μάχην ἐδέξατο, καὶ μέχρι μέν τινος ἐρρωμένως ἀντεῖχον· εἶτα τῶν μὲν πεσόντων, ἑαλωκότων δ' ἑτέρων, περιεστοιχίσθη πρὸς τῶν Βαρβάρων ὁ βασιλεύς. Ἀλλ' οὐδὲ οὕτως ἐνέδωκε. Πολλοὺς δὲ πλήξας καὶ ἀνελών, ἐπλήγη κἀκεῖνος τὴν χεῖρα, καὶ οὕτως ἀποκαμών, καὶ μηκέτι ἀμύνεσθαι τοὺς ἐπιόντας δυνάμενος, μήτε μέντοι φυγεῖν, ἤδη τοῦ ἵππου αὐτοῦ πεπτωκότος ἐκ τῶν βελῶν, ἑάλω καὶ ἀπῆκτο τοῖς Βαρβάροις ὁ βασιλεὺς Ῥωμαίων αἰχμάλωτος (80). Ἀγγελθεῖσα δὲ ἡ τοῦ βασιλέως ἅλωσις τῷ σουλτὰν, χαρὰν μὲν, ὡς εἰκὸς, ἐνεποίησεν, οὐ μέντοι ἐπῆρεν

B

C

D

## Variæ lectiones et notæ.

(80) Αἰχμάλωτος. Accidit hæc clades mense Julio an. 1072, ind. 10, ut est apud anonymum Barensem.

αὐτὸν, ὥστε καὶ δυηλοφρονῆσαι· Ἄξαν ἐκεῖνος ὠνόμαστο, οὗ πολλὰ ἐπὶ δικαιοσύνῃ καὶ μετριοφροσύνῃ ᾄδονται διηγήματα. Ὅθεν ἡπίστει καὶ τῇ τοῦ βασιλέως ἁλώσει διὰ τὸ τοῦ εὐτυχήματος ἄκρατον. Καὶ ἰδὼν αὐτὸν, οὐ πρότερον πιστὸν τὸ πρᾶγμα ἐδέξατο, ἕως καὶ οἱ παρ' αὐτοῦ σταλέντες πρέσβεις αὐτὸν ἀνεγνώρισαν, καὶ ὁ Βασιλάκιος ἐκεῖ κατεχόμενος, ἀχθεὶς καὶ ἰδὼν αὐτὸν, εἰς τοὺς πόδας αὐτοῦ θρηνῶν κατέβαλεν ἑαυτόν. Τότε δὲ τοῦ θρόνου τε ἀνεπήδησεν ἔνθους ὥσπερ, καὶ τεθέντα κατὰ γῆς, ὡς ἔθος (81), πατήσας αὐτὸν, ἀνέστησέ τε καὶ περιεπτύξατο, καὶ, Μὴ λυποῦ, βασιλεῦ, ἔφη· τοιαῦτα γὰρ τὰ ἀνθρώπινα. Ἐγὼ δὲ σοι οὐχ ὡς αἰχμαλώτῳ, ἀλλ' ὡς βασιλεῖ προσενεχθήσομαι. Καὶ αὐτίκα σκηνὴν αὐτῷ ἀποτάττει, καὶ θεραπείαν βασίλειον, κοινωνεῖ τε τραπέζης, ὁμόθρονον ἑαυτῷ ποιησάμενος, λύει τε τῶν αἰχμαλώτων αὐτῷ ὁπόσους ἤτητο, καὶ οὕτως ἐφ' ἡμέραις τισὶ συνομιλήσας καὶ συνδιαιτηθεὶς τῷ ἀνδρὶ, καὶ τιμήσας ὑπερβαλλόντως, εἶτα καὶ συνθήκας θέμενος ἐπὶ εἰρήνῃ διηνεκεῖ, καὶ κήδους ὑπόσχεσιν ἐπὶ παισὶ ποιησάμενος, ἀφῆκε τὸν Διογένην ἀπιέναι μεθ' ὅσης οὐκ ἄν τις ἤλπισε δορυφορίας τε καὶ τιμῆς. Ὅτε εἰς Θεοδοσιόπολιν ἀπελθὼν, ἐσταλμένος βαρβαρικῶς (ὁ γὰρ σουλτὰν οἰκείας αὐτῷ παρέσχε στολὰς), τήν τε χεῖρα ἐκεῖ προσμείνας ἐθεραπεύετο, καὶ τὴν ἀμφίασιν πρὸς τὸ Ῥωμαϊκώτερον μεθηρμύζετο. Ἐκεῖθεν δὲ προήει ἐπανιὼν, ἄγων μεθ' ἑαυτοῦ καὶ πρέσβεις τοῦ σουλτάν. Ἀλλ' ὁ μὲν οὕτως ἐπανήει· τῆς δ' ἁλώσεως αὐτοῦ ἀγγελθείσης εἰς τὰ βασίλεια, ἐν διχονοίᾳ οἱ περὶ ταῦτα γεγόνασιν. Οἱ μὲν γὰρ τῇ βασιλίσσῃ καὶ αὖθις τὴν ἐξουσίαν ἐδίδοσαν, οἱ δὲ τῷ πρεσβυτέρῳ τῶν ταύτης υἱέων τὸ ξύμπαν ἐπεψηφίζοντο, οἱ δὲ κοινοπραξίαν τῇ τε μητρὶ καὶ τῷ υἱεῖ ἀπένεμον.

A tum juxta se collocat, captivis quotquot peteret, redditis. Ad hunc modum per dies aliquot cum conversatus et collocutus, et insigni honore prosecutus, pace perpetua sancita, promissaque affinitate inter liberos ipsorum contrahenda, Diogenem dimisit, cum majore comitatu et honore, quam sperari potuisset. Imperator igitur Barbarica veste ornatus (sultanus enim gentilitiam illi stolam dederat) Theodosiopolim profectus, ibi exspectavit, dum vulnus manus curaretur, et vestem pro Romana consuetudine immutavit. Inde cum sultani legatis urbem versus contendit. Cæterum ejus captivitate in regia nuntiata, inter proceres controversia fuit, aliis imperatrici potestatem restituendam censentibus, aliis natu maximo ex ejus filiis imperium decernentibus, aliis communem et matri et filiis auctoritatem tribuentibus.

ΙΕ'. Ἐν τούτοις δὲ λυθεὶς, τῆς αἰχμαλωσίας ὁ Διογένης ἀγγέλλεται· κομίζεται δὲ καὶ ἰδιόγραφος ἐκείνου ἐπιστολὴ, τὰ αὐτῷ συμβεβηκότα διδάσκουσα. Τοῦτο μείζονα θροῦν ἦρε, καὶ ἀπορίᾳ πάντας εἶλε τοῦ τί δέοι δρᾶν. Ὁ γοῦν Καῖσαρ Ἰωάννης καὶ οἱ ἐκείνου υἱοὶ ἀεὶ, ὡς εἴρηται, ἐγκοτοῦντες τῷ Διογένει, ἁρπάζουσι τὸν καιρὸν, καὶ προσλαβόμενοι τῶν τῆς συγκλήτου ἑνίους, ὅσοι ὠμοφρόνουν αὐτοῖς, ὧν ἐξῆρχεν ὁ Ὑπέρτιμος ὁ Ψελλὸς (82), δύσνους καὶ αὐτὸς τῷ Διογένει τυγχάνων, τὴν βασίλισσαν Εὐδοκίαν εἰς τὴν παρ' αὐτῆς δομηθεῖσαν μονὴν κατὰ τὸν ἐν τῇ Προποντίδι πορθμὸν περιορίζουσι, τὸν δὲ Μιχαὴλ ἀνακηρύττουσιν αὐτοκράτορα. Εἶτα πανταχοῦ διαπέμπονται βασίλεια γράμματα μήθ' ὑποδέχεσθαι, μήτε τιμῆς βασιλικῆς ἀξιοῦν ἐπανιόντα τὸν Διογένην, κελεύοντα. Τούτου δὲ τοῦ βουλεύματος εἰσηγητὴς ὁ Ψελλὸς γέγονεν, ὡς καὶ αὐτὸς ἐν

XV. Interea Diogenis liberatione nuntiata, allataque ab eo epistola, ipsius manu scripta, qua edocebat ut secum esset actum, major ortus est tumultus, magisque dubitatum quid agendum esset. Joannes igitur Cæsar ejusque filii, Diogeni semper (ut dictum est) infesti, arrepta occasione, quibusdam ex senatu sui facinoris, quorum Psellus Hypertimus princeps erat, et ipse Diogenis inimicus, adhibitis, imperatrice Eudocia in monasterium, quod ipsa circa fretum Propontidis struxerat, relegata, Michaelem imperatorem appellat. Deinde quovis imperatorias litteras mittit, quibus provinciales **285** Diogenem redeuntem neque suscipere, neque imperatorio honore dignari jubebantur: cujus consilii auctor fuit Psellus, ut ipse in illius historia commemorat. Quo Diogenes cognito, cum ad Doccam castellum castra posuisset, Cæsar Con-

## Variæ lectiones et notæ.

(81) Ὡς ἔθος. Continuator Theophanis, I. III, n. 24, ubi de Theophilo imp. quem ab hostibus capiendum exemit Manuel: Ἐτρώθη τὴν ψυχὴν ὁ ἀνὴρ, βασιλέα Ῥωμαίων αἰχμάλωτον γενέσθαι φοβούμενος, καὶ τῶν ἐχθρῶν ὑποπόδιον. Vide notata ad Nicephorum Bryennium, I. I, n. 17. Neque tamen id Saracenis peculiare fuisse docemur ex Chronico ms. Georgii Hamartoli in Michaele Balbo qui devicto Thoma tyranno, τὸν τράχηλον αὐτοῦ κατὰ τὴν ἀρχαίαν συνήθειαν πεπατηκὼς, καὶ ἀκρωτηριάσας αὐτοῦ χεῖρας καὶ πόδας, καὶ οὕτως ἀνασκολοπίσας, civili bello post triennium finem imposuit. Sed et legimus apud Theophanem, Cedrenum, et nostrum Zonaram, Constantinum Copronymum, captis Apsimaro et Leontio, iisque in circum traductis, eorum colla pedibus calcasse: Καὶ ἐπάτησε τὸν τράχηλον αὐτῶν ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου.

D Apud Scylitzem, p. 637, legimus Constantinum Porphyrogenitum Apolasacrum, Chabdani Tarsensis Amiræ cognatum, captum in prælio a Nicephoro Phoca, θρίαμβον ποιήσαντα κατὰ τοῦ τραχήλου calcavisse.

(82) Ὑπέρτιμος Ψελλός. De Hypertimi titulo quædam adnotamus in *Gloss. med. Græc.* Wolfius *vir honoratissimus*, verterat, reposuimus *Hypertimus*, cum sit nomen dignitatis. Is porro Psellus, Constantinus vocatur a Scylitze, p. 836, qui emendandus videtur: Ἦσαν δὲ ὅ τε Παλαιολόγος Νικηφόρος ὁ Ὑπέρτιμος καὶ τῶν φιλοσόφων ὕπατος Κωνσταντῖνος ὁ Ψελλός. Interserenda enim particula καὶ ante ὁ Ὑπέρτιμος, quam vocem per *honestissimo loco natus*, perperam vertit interpres. Ita etiam Constantinum p. 846, ubi Zonaras paulo infra Michaelem, vocat.

stantinum filium præsidem contra eum mittit. Inde Diogenes in Cappadociam profectus, cum Crispinus Francus cum suis popularibus Constantino se sociasset, Theodorum Halyatem contra illos misit, cui victo et capto oculi sunt effossi. Id molestissime ferenti Diogeni, et in Tyropœo castello munitissimo castra habenti, Antiochiæ dux Chataturius Armenius se conjungit, multos adducens milites, assumptoque Diogene, et in Ciliciam perducto, a sultano exspectat auxilium, et ipse copias colligit. Quare denuo contra eos mittitur natu maximus Cæsaris filius Andronicus præses. Commisso autem prælio, et Chatalurio interfecto, milites ejus ad Diogenem Adanam confugiunt. Quam urbem Andronico obsidente, Diogenes deditionem facit, iis conditionibus, ut imperio deposito, rasaque coma, privatam vitam ageret. Nam primarii sacerdotes ab imperatore missi, jurejurando confirmarant, nihil eum molesti passurum esse. Quibus fretus, pulla veste indutus, Andronici fidei se permittit. Is eo accepto, ubi Colyalum pervenit, exspectavit, dum mandaretur quid sibi faciendum esset, ægrotante Diogene ex veneno per insidias, ut putabatur, propinato. Ibi igitur imperatorio mandato, insonti statim sunt effossi oculi, primariis quoque sacerdotibus præsentibus, et hominis calamitatem graviter ferentibus. Verum nemo eos curabat. Ita luminibus crudelissime orbato, justa curatione non adhibita, caput intumuit, et e vulneribus vermes scaturierunt, adeo ut ex putrefactione illa aer circa ipsum teterrimo fœtore compleretur. In tanta calamitate in Protam insulam perducitur, in cujus editiore loco monasterium ædificarat. Ubi non diu superstes, corpus terræ reddidit, ab imperatrice Eudocia funere ejus splendissime curato, cum triennium et menses octo imperasset. Ea vero quæ hic vir perpessus est, jussu Cæsaris acta esse omnia feruntur, Michaele imperatore 286 ignaro, qui quidem molli esset ac socordi ingenio, atque adeo

τῇ περὶ τούτου φησὶ συγγραφῇ. Ὅπερ ὁ Διογένης μαθών, τὴν Δόκειαν (83) κατασχὼν (φρούριον δ' αὕτη) παρ' αὐτῇ ἐστρατοπεδεύσατο. Καὶ ὁ Καῖσαρ τῶν σφετέρων υἱέων τὸν νεώτερον τὸν πρόεδρον Κωνσταντῖνον στέλλει κατὰ τοῦ Διογένους μετὰ δυνάμεως. Ὁ δὲ Διογένης εἰς Καππαδοκίαν ἀφίκετο. Προσγενομένου δὲ τοῦ Κρισπίνου (84) Φράγγος δ' οὗτος) σὺν ὁμοφύλοις τῷ Κωνσταντίνῳ, ὁ Διογένης Θεόδωρον τὸν Ἁλυάτην κατ' αὐτῶν ἐξαπέστειλεν. Ὁ δὲ συμμίξας αὐτοῖς ἡττήθη, καὶ ἁλοὺς ἐξεκόπη τὰ ὄμματα. Τοῦτο τὸν Διογένην λίαν ἤνίασεν· Ὄντι δ' ἐν τῷ Τυροποιῷ (τοῦτο δ' ἐστὶ φρούριον ἐρυμνότατον), πρόσεισιν αὐτῷ τῆς Ἀντιοχείας ὁ δοὺξ (οὗτος δ' ἦν ὁ ἐξ Ἀρμενίων ὁ Χατατούριος), στρατιώτας συχνοὺς ἐπαγόμενος. Παραλαβὼν οὖν τὸν Διογένην οὗτος, καὶ εἰς Κιλικίαν ἀπαγαγὼν, ἐκ τοῦ σουλτὰν ἐκαραδόκει βοήθειαν, καὶ αὐτὸς δὲ συνέβροιζε στράτευμα. Στέλλεται γοῦν αὖθις κατ' αὐτῶν ὁ πρεσβύτερος τῶν παίδων τοῦ Καίσαρος ὁ πρόεδρος Ἀνδρόνικος, καὶ εἰς Κιλικίαν γενόμενος, τῷ Χατατουρίῳ (85) προσμίγνυται, καὶ ἀναιρεῖται μὲν ὁ Χατατούριος, οἱ δὲ περὶ ἐκεῖνον εἰς Ἀδάναν (86) συμπεφεύγασιν, ἔνθα ὁ Διογένης διέτριβε. Περικαθίσας δὲ τὴν πόλιν ὁ Ἀνδρόνικος ἐπολιόρκει αὐτήν. Εἶτα ἐπὶ συνθήκαις ἑαυτὸν ὁ Διογένης παρέδωκεν· αἱ δὲ συνθῆκαι ἀποθέσθαι μὲν τὴν βασιλείαν αὐτὸν, καὶ ἰδιωτεύειν, τὴν τρίχα κειράμενον. Ἐπὶ ταύταις γὰρ καὶ ἀρχιερεῖς ἐστάλησαν πρὸς τοῦ βασιλεύοντος, πληροφορίαν ἔνορκον διδόντος αὐτῷ, ὡς οὐδέν τι πείσεται ἄχαρι. Θαρρήσας οὖν τούτοις ὁ Διογένης, ἔξεισι μελανείμων, καὶ ἑαυτὸν ἐγχειρίζει τῷ Ἀνδρονίκῳ. Ὁ δὲ τούτων λαβὼν ἐπανήει, καὶ εἰς τὸ Κοτυάειον ἀφικόμενος προσίμεινεν ἐν αὐτῷ ἕως ἂν αὐτῷ κελευσθείη τὸ ποιητέον, τοῦ Διογένους νοσηλευομένου ἐκ πόσεως, ὡς ὑπόληψις, φαρμάκου δηλητηρίου, ἐπιβούλως κερασθέντος αὐτῷ. Ἐκεῖ τοίνυν ἐπέμφθη ψῆφος βασίλειος (87), τοῦ φωτὸς στερηθῆναι τὸν μηδὲν ἠδικηκότα κελεύουσα. Καὶ αὐτίκα

## Variæ lectiones et notæ.

(83) Δοκίαν. Tres mss. Reg. Δόκειαν. Alter Ἀδάναν. Δοκίαν χωρίον Δαρδιδῶν, versus Armeniam memorat anonymus Combefisianus in Romano Lacapene, n. 41.

(84) Κρισπίνου. Crispini gesta et familiam singulari dissertatione prosecuti sumus in Notis ad Nicephori Bryenii *Hist.* I. 1, n. 24.

(85) Χατατουρίῳ. Ita appellatur a Scylitze : Χουτατάριος, a Nicephoro Bryenio l. 1, n. 22. Seriem Ducum Antiochenorum damus in *Familiis Ultramarinis*, necdum editis.

(86) Εἰς Ἀδάναν. Lupus Protospatha : anno 1069 *Romanus Diogenes, qui cum prædicto Michaele privigno suo tenebat imperium, fraude prædicti Michaelis privigni sui apud quamdam civitatem Armeniæ comprehensus et excatus est.*

(87) Ἐπέμφθη ψῆφος βασίλειος. Postquam narravit ut Diogenis libertatis nuntius in urbem venit, quam sua ipsius manu scripta epistola ad Eudociam significavit, Οὐρυβος οὖν (inquit) εὐθὺς καὶ διαδρομαὶ περὶ τὰ βασίλεια, τῶν μὲν θαυμαζόντων τὸ γεγονὸς, τῶν δὲ ἀπιστούντων τῷ πράγματι· ἀπορίᾳ γὰρ καὶ ἡ βασιλὶς συνείχετο, καὶ ἀμφίβολος ἦν δ τι καὶ δράσειεν. Ἐν μέσοις τοῖς ἀπορουμένοις καὶ αὐτὸς γεγονὼς, καὶ πάντων προτρεπομένων μοι τὸ συμφέρον εἰπεῖν, καὶ μάλιστα δὲ τοῦ καλλίστου μοι βασιλέως προσκειμένου καὶ συναναγκάζοντος, ἐγὼ μὲν ἀπεφαινόμην μὴ δεῖν αὐτὸν ἐπὶ τῇ βασιλείᾳ προσδέξασθαι, ἀλλ' ἐκ μέσου ποιεῖν, καὶ πανταχοῦ πέμπειν προστάγματα τὴν ἀρχὴν τούτῳ ἀπαγορευόμενα, ὅπερ τοῖς μὲν λυσιτελὲς ἔδοκει τοῖς καθεστηκόσι, τοῖς δ' ἄλλο τι ἐδέδοκτο. Ἐν τούτῳ δὲ τῶν πραγμάτων ὄντων, ὁ βασιλεὺς Μιχαὴλ, περὶ ἑαυτῷ δείσας, καὶ τὴν τοῦ Διογένους ὑποπτεύσας ὁρμήν, βουλὴν βουλεύεται ἀσφαλεστάτην ἑαυτῷ, εἴποι δ' ἄν τις, καὶ συνετωτέραν· ἀποτρέχει τῆς μητρὸς, καὶ ἑαυτῷ γίνεται. Τοῖς τε ἐξανεψιοῖς συμβούλοις χρησάμενος, φημὶ δὲ τοῖς υἱέσι τοῦ Καίσαρος, τοὺς περὶ τὴν αὐλὴν φύλακας οἰκειοῦται. Idipsum repetit in epistola ad eumdem Diogenem postquam excæcatus fuit, de Michaele imp. Ἤλγησεν ἀκούσας τὴν ψυχὴν, ἐστέναξε μέγα, ἐθρήνησεν, ἐκόψατο περιπαθῶς, etc. Μὴ ἀπιστήσῃς μοι γράφοντι· οὐ ψευδὴς ὁ λόγος, οὐδὲ πρὸς χάριν, ἀλλ' ἀληθὴς, καὶ φωτὸς τηλαυγέστερος.

τοὺς ὀφθαλμοὺς ἐξορώρυκτο, παρόντων καὶ τῶν ἀρχιερέων, καὶ ἐν δεινῷ ποιουμένων τὴν εἰς τὸν ἄνθρωπον συμφορὰν, μηδεμιᾶς μέντοι ἀξιουμένων ἐπιστροφῆς. Ὡμότατα δὲ τὰ ὄμματα ἐκκοπεὶς καὶ μηδ' ἐπιμελείας τῆς δεούσης τυχών, διαβύσκει τὴν κεφαλήν, καὶ αἱ πληγαὶ οἱ ἐξέζεσαν σκώληκας, καὶ ὁ ἀὴρ ὁ περὶ ἐκεῖνον δυσωδίας μεμέστωτο ἐκ τῆς σήψεως. Οὕτως οὖν κακῶς διακείμενος εἰς τὴν καλουμένην Πρώτην τῆσον ἀπάγεται, ἐν ᾗ σεμνεῖον ἐκεῖνος ἀνήγειρε περὶ τὸ τῆς νήσου μετεωρότερον. Βραχύ τι τοίνυν ἐπιβιώσας, ἐκεῖ τὸν χοῦν ἀποτίθεται ἐν αὐτῇ, παρὰ τῆς βασιλίδος Εὐδοκίας λαμπρότατα κηδευθείς, βασιλεύσας ἔτη τρία καὶ μῆνας ὀκτώ. Λέγεται δὲ τὰ εἰς τὸν ἄνδρα τοῦτον γενόμενα πάντα τοῦ Καίσαρος εἶναι διαταγὰς, μηδὲν εἰδότως τοῦ αὐτοκράτορος Μιχαήλ. Ἦν γὰρ Χαῦνος ἄγαν τὸ ἦθος ὁ βασιλεὺς καὶ ἀνειμένος, καὶ πρὸς μεταχείρισιν πραγμάτων καὶ τῶν τυχόντων ἀδέξιος, πολλοῦ γε δεῖ πρὸς βασιλείας διοίκησιν. Κἀντεῦθεν τῆς εὐηθείας ἐκείνου κατατρυφῶν ὁ θεῖος αὐτοῦ Καῖσαρ, πάντα τὰ εἰς τὸν Διογένην ἐτύρευσεν (88) ἐγκοτῶν τῷ ἀνδρί.

A ad imperium ineptus, ut ne levissima quidem negotia administrare posset. Itaque patruus Cæsar, ejus simplicitate abutens, ex privato odio illa omnia in Diogenem perpetravit.

Ις'. Ἀποψηφικῶς δὲ ὁ βασιλεὼς Μιχαὴλ πρὸς τὴν τῆς βασιλείας διοίκησιν, τὸν μητροπολίτην Σίδης Ἰωάννην (89), ἐκτομίαν ὄντα, δρασνήριον δὲ, τοῖς πράγμασιν ἐφιστᾷ. Κθ' ἕτερον ἐκτομίαν τὸν Νικηφόρον, ὃς, νέος προσληφθεὶς παρὰ τοῦ Μονομάχου εἰς τὰ βασίλεια, ὑποκοριζόμενος διὰ τὴν νεότητα Νικηφορίτζης ὠνόμαστο, καὶ ὥσπερ ἐπωνυμίαν ἔσχηκε τοῦτο, ἐξ Ἑλλάδος καὶ Πελοποννήσου τὰς κρίσεις τοῦτον διέποντα μετεπέμπατο. Ἔφθασε γὰρ ὁ ἀνὴρ οὗτος καὶ τῷ πατρὶ τοῦ βασιλέως τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ ὑπηρετήσασθαι. Ἦν δὲ περὶ πραγμάτων μεταχείρισιν δεξιὸς, καὶ λόγοις ὡμιλημένος, τὸ δὲ ἦθος ἔχων ὑποκαθήμενον, καὶ γέμον δεινότητος. Τοῦτο γοῦν ἐγχειρίζει τὰς ἡνίας τῆς βασιλείας, λογοθέτην ὀνομάσας αὐτόν. Ἐντεῦθεν ὁ Σίδης παραγκωνίζεται, καὶ ὁ Καῖσαρ καθίσταται ὕποπτος, καὶ πᾶσα ἡ τῆς βασιλείας, διοίκησις ὑπὸ τὸν λογοθέτην ἐγένετο, καὶ ὁ βασιλεὺς ὑπ' αὐτοῦ ὡς ἀνδράποδον ἦγετο. Καὶ οὐκ ἦν, ὃ μὴ διὰ τοῦ λογοθέτου ἐγίνετο, καὶ πολλοὶ τῶν περιουσιῶν ἐφθερήθησαν, ἄλλοις ἄλλων ἐπεννηνεγμένων λαβῶν, καὶ ἦν τῶν ἀνθρώπων σύντριμμα καὶ ταλαιπωρία, καὶ ὁ τούτων ἐπιστρεφόμενος οὐδαμοῦ. Ὁ γὰρ βασιλεὺς παιδαριώδεσιν ἐσχόλαζε πράξεσι (90), τοῦ ὑπάτου τῶν φιλοσόφων καὶ Ὑπερτίμου Μιχαὴλ τοῦ Ψελλοῦ λόγοις τῷ δοκεῖν αὐτὸν ἐμβιβάζοντος, καὶ διδάσκοντος· νῦν μὲν τὴν γραμματικὴν τέχνην, καὶ μέτρα καὶ διαλέκτους, νῦν

XVI. Michael imperio minime idoneus, Joannem Sidæ metropolitam, spadonem illum quidem, sed virum strenuum, rebus gerendis præfecit. Deinde alium spadonem Nicephorum, qui adolescens a Monomacho in aulam ascitus, ob ætatem per diminutionem Nicephoritzes cognominabatur, ex Græcia et Peloponneso revocavit, ubi judicia exercebat, qui patri etiam Constantino Ducæ inservierat: vir solerti ingenio et eruditus, sed animo dejecto et caliditatis pleno. Is logotheta designatus, imperii habenis acceptis, Sidensem loco movet, et Cæsarem suspectum reddit, ipse omnia imperatoris munia obiens, eumdemque instar mancipii ducens. Neque quidquam erat, quod a logotheta non gereretur. Itaque cum multi bona sua, alii per alias causas, amitterent, hominesque afflorentur, et ærumnis premerentur: nemo erat, cui illa curæ essent. Nam imperator puerilibus rebus occupatus, a supremo philosophorum et Hypertimo Michaele Psello ad litterarum studia deduci videbatur, ac modo in arte grammatica, versibus et linguarum differentiis eruditebatur, modo declamationibus rhetoricis, modo historiis assuefiebat, modo ad audienda philosophica præcepta parabatur, quamvis ad hæc omnia ineptus. Hujusmodi igitur studiis Romanorum imperator affixus, rerum administrationem alteri, eique uni commisit, ut legis auctoritatem haberet, quod logothetæ visum esset,

B

C

D

## Variæ lectiones et notæ.

(88) Ἐτύρευσεν. Ita duo mss. Reg. Alii duo ἐποίησεν habent.

(89) Μητροπολίτην Σίδης Ἰωάννην. Idipsum prodit Balsamon ad can. 4 concilii Chalcedonensis, ubi ait episcopos interdum ab imperatore publicæ rei administrationi præfici posse. Διὰ γὰρ τοῦτο, ὡς ἔοικε, καὶ ὁ μητροπολίτης ἐκεῖνος ὁ Σίδης ἀπαρεμποδίστως τὰ τῆς βασιλείας φρονόμει προσώπῳ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δουκός.

(90) Ὁ γὰρ βασιλεὺς παιδαριώδεσιν ἐσχόλαζε πράξεσι. Infra: Ὁ γὰρ βασιλεὺς περὶ λόγους ἠσχόλητο, καὶ ἰάμβους συντιθέναι πρὸς τοῦ Ψελλοῦ ἐδιδάσκετο. Eadem habet Scyl. Id porro testantur tot Michaelis Pselli scriptæ tum versibus iambicis tum politicis, atque adeo soluta oratione in Epitomen disciplinarum fere omnium redactæ, eidemque inscriptæ lucubrationes, de quibus copiose egit Allatius in laudata dissertatione: ex quarum altera, illa scilicet quam Synopsin legum inscripsit, discimus Psellum a Constantino Duca imperatore superstite Michaeli filio præceptorem datum: sic enim illa concipitur in editione Bosqueti: Τοῦ σοφωτάτου Μιχαὴλ τοῦ Ψελλοῦ καὶ Ὑπερτίμου Σύνοψις τῶν νόμων διὰ στίχων ἰάμβων καὶ πολιτικῶν πρὸς τὸν βασιλέα Καίσαρα Μιχαὴλ τὸν Δουκᾶν ἐκ προστάξεως τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως. Eo vero pacto effecit parens, ut hisce studiis, dum minus etiam idoneus Michael vacat, πρὸς ἅπαν ἔργον ἀδέξιος καὶ ἄπρακτος effectus sit, inquit Zonaras. Hinc Procopius, l. 1 *De bello Gothico*, c. 2, proceres Gothos Amalasunthæ Theodorici regis uxori graviter succensuisse scribit, quod Athalaricum filium præceptoribus litteris imbuendum tradidisset, et oportere longe potius ut in re bellica futurus animosus gloriaque insignis, amoto doctorum metu, armis exerceretur. Sed quibus potissimum disciplinis Michaelis animum informarit Psellus, vel potius quas ille præsertim calluerit, ipsemet Psellus indicat in Historia nondum edita: Ἀλλ' ἔροιτό τις, τίνα τῷ βασιλεῖ παιδικὰ, καὶ οἷς ἂν

Proinde respublica male habebat. Orientales vero provinciæ gravius quam prius vexabantur. Nam sultanus cum didicisset, quemadmodum cum Diogene actum esset, eumque a suis crudelissime interfectum, quem ipse captivum honorifice ad suum imperium remisisset, et pacis conditiones cum illo initæ manere irritas: magno dolore affectus, suas copias contra Romanorum provincias concitavit, quas non jam prædabundi **287** invadebant, sed ut subacturi et possessuri, cum nemo esset, qui obsisteret. Quæ cum illi facerent, imperator coacto exercitu, Isaacium Comnenum ducem creat. Ruselio Latino collega addito, cui ceteri populares ejus parebant. Verum is exercitu ad Iconium perducto, cum suis certa de causa deficit, ac per se alias cum Turcis pugnat, alias Romanas provincias vastat. Isaacius vero Comnenus cum reliquo exercitu a Turcis vincitur, ac multis cæsis, multis captis, castrisque direptis, ipse quoque in hostium potestatem venit, a quibus magna pecunia se redemit. Imperator vero Cæsarem patruum bello prælicit, quo Ruselius cognito, Sangario antequam ille trajiceret, occupato, castra contra eum locat, et quamvis illo veniam delicti promittente, si armis positis ad imperatorem rediret, barbarica insolentia de deditione minime cogitans, prælio commisso, Cæsarem vincit, et cum pluribus aliis captum et vinctum, unaque Basilium Malesam, paulo ante ex captivitate cum Diogene liberatum, Byzantium versus ducit, Botaniata Cæsaris collega cum paucis elapso, ac Chrysopolim se recipit, ubi statim domibus ignem injecit: neque homo barbarus, cum imperator, si arma deponeret, curopalatæ honorem ei offerret, uxoremque cum liberis misisset, ulla re est mitigatus. Itaque Turcis mercede contra se evocatis, cum illis se non esse parem intelligeret, Cæsarem vinculis solutum, imperatorem salutat, multos se cum eo conjuncturos esse ratus. Cum autem Turcos barbarica ferocia inconsiderate aggressus esset, Franci multos straverunt, ceteros in fugam conjectos continenter sunt persecuti: plures tamen substiterunt, equis ita fatigatis, ut longiorem insectationem ferre non possent. Sed Ruselius et Cæsar paucis comitantibus instantes, et longius a suis provecti in aliam Turcarum

A δ' ἵνα κάτα ῥήτορα διαλέγοιτο, νῦν δ' ἱστορίαις αὐτὸν προσεθίζοντος, ἄλλοτε δὲ φιλοσόφων θεωρημάτων ἀκροᾶσθαι παρασκευάζοντος. Ὁ δὲ πρὸς οὐδὲν ἐπιφέρεται. Τούτοις οὖν ὁ Ῥωμαίων αὐτοκράτωρ προστετηκώς, ὑφ' ἕτερον, καὶ τοῦτον ἕνα, τὴν τῶν κοινῶν κυβέρνησιν ἐποιήσατο, καὶ νόμος ἦν τὸ τῷ λογοθέτῃ δοκοῦν. Τὰ μὲν οὖν τῆς πολιτείας οὕτως εἶχον κακῶς. Τὰ δὲ κατὰ τὴν ἕω χεῖρον ἔσχον ἢ πρότερον. Ὁ γὰρ σουλπὰν (91), τὰ κατὰ τὸν Διογένην μαθών, καὶ ὅτι ὃν ἐκεῖνος λαβὼν δορυάλωτον ἐτίμησε, καὶ ἀφῆκεν εἰς τὴν οἰκείαν ἀπελευσόμενον βασιλείαν, τοῦτον οἱ συμφυλέται ἀπηνῶς οἰκτίστῳ θανάτῳ παρέδωκαν, καὶ αἱ πρὸς ἐκεῖνον περὶ σπονδῶν συνθῆκαι ἄπρακτοι μεμενήκασιν, ὑπερῆλθε, καὶ τὰς οἰκείας δυνάμεις κατὰ τῶν Ῥωμαϊκῶν χωρῶν χωρεῖν ἐξηρέθισεν· οὐκετι τοίνυν ὡς ληΐζόμενοι ταῖς χώραις ὑπῆεσαν, ἀλλ' ὡς ταύτας καθέξοντές τε καὶ κυριεύσοντες, τοῦ σφᾶς ἀνείργοντος μὴ παρόντος. Καὶ οἱ μὲν ταῦτα ἐποίουν· ὁ δὲ βασιλεὺς, δύναμιν ἀγείρας, στρατάρχην ταύτης τὸν Κομνηνὸν προβάλλεται Ἰσάκιον, συζεύξας αὐτῷ καὶ τὸν Λατῖνον Ῥουσέλιον, ὁμογενῶν ἄρχοντα τετρακοσίων ἀνδρῶν. Ἐπεὶ δὲ περὶ τὸ Ἰκόνιον ἐγεγόνει τὸ στράτευμα, ἐξ αἰτίας τινὸς ἀποστατεῖ ὁ Ῥουσέλιος, καὶ τοὺς ὁμοφύλους παραλαβών, καθ' ἑαυτὸν ἦν, καὶ πῇ μὲν τοῖς Τούρκοις προσέμισγε πῇ δὲ τὰς χιόρας τὰς Ῥωμαϊκὰς ἐκεράϊζεν. Ὁ δὲ Κομνηνὸς Ἰσάκιος, μετὰ τοῦ περιλοίπου στρατεύματος τοῖς Τούρκοις προσβαλών, ἥττητο, καὶ ἔπεσον μὲν πολλοὶ, καὶ ἐζωγρήθησαν ἕτεροι καὶ αὐτὸς ὁ στρατάρχη, καὶ διήρπαστο ἡ παρεμβολή. Ὁ μὲν οὖν Κομνηνὸς πολλῶν χρημάτων τὴν ἐλευθερίαν ὠνήσατο· ὁ δὲ βασιλεὺς τὸν θεῖον τὸν Καίσαρα τῷ πολέμῳ στρατάρχην ἐφίστησι. Τοῦτο μαθὼν ὁ Ῥουσέλιος, πρὸ τοῦ τὸ Σαγγάριον τὸν Καίσαρα διαβῆναι καταλαβών, ἀντεστρατοπεδεύσατν αὐτῷ, καὶ ὁ Καῖσαρ ἀμνηστίαν αὐτῷ τοῦ πταίσματος ἐπηγγέλλετο, εἰ προσχωρήσαι τῷ βασιλεῖ. Ἀλλ' ἐκεῖνος, βαρβαρικῶς φρυαττόμενος, οὐδὲν ἐφρόνει ἐνδόσιμον. Συρρήγνυται τοίνυν πόλεμος, καὶ ἡττήθησαν οἱ περὶ τὸν Καίσαρα, καὶ αὐτὸς ἐάλω σὺν πλείοσιν ἄλλοις, τοῦ Βοτανειάτου, ὃς συνεστρατηγει τῷ Καίσαρι, μετ' ἀλίγων φυγόντος. Ὁ μέντοι Ῥουσέλιος πρὸς τὸ Βυζάντιον ἦετο ἄγων τὸν Καίσαρα δέσμιον, καὶ τὸν Μαλέσην Βασίλειον, ἄρτι τῆς μετὰ τοῦ Διογένους

Variæ lectiones et notæ.

ἀγλαΐζοιτο. Βιβλία σοφίας παντοδαπῆς, λόγων χαρακτῆρες σοφῶν, ἀποφθέγματα Λακωνικὰ, γνωμολογίαι, καλλιῤῥημοσύνη συνθήκης ὁ ποικίλος τῶν λόγων σχηματισμὸς, ἢ τῶν ἰδεῶν ἐξαλλαγὴ, ἢ καινολογία, ἢ ποιητικὴ τοῦ λόγου κατασκευή· πρὸ δὲ τούτων ἁπάντων ὁ πρὸς φιλοσοφίαν ἔρως. τὸ τῆς ἀναγωγῆς ὕψος, ἢ τῆς ἀλληγορίας μεταβολή. Οὐ γὰρ οἶδα εἴ τις βαθυγνώμων ἕτερος ἐγεγόνει τῶν βασιλέων, ἢ πρὸς ἕκαστον τῶν ζητουμένων εὐθυβολώτατος. Infra: Καὶ γὰρ φιλοσόφοις συνετάζεται, καὶ μετὰ ῥητόρων εἰπών τι περὶ ζεύγματος καὶ ἐμφάσεως· καὶ μετὰ ὀπτικῶν περὶ ἀποστάσεως ἀκτίνων καὶ διαστάσεως· ἀλληγορεῖν δὲ δεῆσαν, πολλάκις τὸν συγγραφέα ὑπερεβάλλετο, ὃν δὴ καὶ καθηγητὴν πρὸ πάντων εἵλετο, καὶ ἐπὶ πᾶσιν ἐδημοσίευε τοὔνομα. Ἰάμβων δὲ μὴ προσχὼν μέτροις, σχεδιάζει τούτους, εἰ καὶ μὴ ἐπιτυγχάνων τὰ πολλὰ τοῦ ῥυθμοῦ, ἀλλ' ὑγιαίνουσαν τὴν ἔννοιαν ἐκδιδούς.

(91) Ὁ γὰρ σουλτάν. Ac tum primum Turci ad Bithiniam usque pervenere, quod Sibyllæ oraculo prædictum volebant Constantinopolitani. Joannes Tzetzes chil. 9, cap. 288:

Καὶ περὶ Διογένους δὲ ἐφοίβασε καὶ Τούρκων·
Καὶ τὰ λοιπὰ ἐάσωμεν, λέξωμεν δὲ βραχέα.
Δὴ τότε Βίθυνον γαῖαν λύκοι οἰκήσουσι,
Ζηνὸς ἐπιφροσύνῃσι, κακὸν δ' ἐπιβήσεται ἄνδρας,
Ἄνδρας οἳ Βύζαντος ἕδος καταναιετάουσιν.

λελυμένον αἰχμαλωσίας, καὶ ἡ Χρυσόπολις εἶχεν τὸν ἀποστάτην, καὶ αὐτίκα πῦρ τοῖς ἐκεῖσε οἰκίαις ἐνῆκεν. Ὁ δὲ βασιλεὺς ἀξίωμά τε κουροπαλάτου αὐτῷ ἐπηγγέλλετο, εἰ τὰ ὅπλα κατάθοιτο, καὶ τὴν γυναῖκα αὐτοῦ μετὰ τῶν τέκνων ἐξέπεμψεν· ἀλλ' ὁ βάρβαρος ἀτίθασσος ἦν. Μετεπέμψατο τοίνυν ὁ βασιλεὺς κατὰ τοῦ Ῥουσελίου Τούρκους ἐπὶ μισθῷ· ὁ δὲ, μὴ ἀξιόχρεως ὢν πρὸς τὸν πόλεμον, λύει τὸν Καίσαρα τῶν δεσμῶν, καὶ εὐφημίαις ἀναγορεύει βασιλικαῖς, οἰόμενος προσβήσεσθαί οἱ πολλούς· Ἀφνης δὲ Τούρκων ἀναφανέντων, ὁ Ῥουσέλιος κατ' αὐτῶν βαρβαρικῇ θρασύτητι ἀπερισκέπτως ἐχώρησε, καὶ πολλοὺς μὲν οἱ Φράγγοι τῶν Τούρκων κατέβαλον, τοὺς δ' ἄλλους ἐτρέψαντο εἰς φυγήν, καὶ ἀκρατῶς ἐδίωκον. Οἱ μὲν οὖν πλείους ὀπίσω που ἀπελείφθησαν, τῶν ἵππων σφίσι μὴ εὐτονούντων πρὸς τὸ πολὺ τῆς διώξεως. Ὁ Ῥουσέλιος δὲ μετὰ τοῦ Καίσαρος σὺν ὀλίγοις ἐπήλασον. Ἤδη δὲ τῶν οἰκείων ἐκρηκυνθεῖσι πολὺ, ἑτέρα πληθὺς ἀνεφάνη Τούρκων εἰς πολλὰς πάνυ χιλιάδας ἀριθμουμένη· ὡς δ' ἐπῆλθον αὐτοῖς οἱ φανέντες, καὶ ἄκοντες αὐτοῖς συνερράγησαν, περιελιηθέντες δ' ὑπὸ τοῦ πλήθους, καὶ τοὺς ἵππους ἀποβαλόντες, ἐάλωσαν ὅ τε Καῖσαρ καὶ ὁ Ῥουσέλιος. Ἀλλὰ τὸν μὲν Ῥουσέλιον ἡ σύνευνος προλαβοῦσα ἐπρίατο, τὸν δὲ Καίσαρα ὁ βασιλεὺς ἐλυτρώσατο. Ὁ δὲ, ἀπαγόμενος πρὸς τὸν βασιλέα, καὶ ἐν τῇ Προποντίδι γενόμενος, κείρεται τὴν τρίχα καὶ μεταμφιέννυται τὴν στολὴν, ῥάκος μοναχικὸν μεταθέμενος· ηὐλαβεῖτο γὰρ μή τι πάθοι πρὸς τοῦ ἀνεψιοῦ διὰ τὴν ἀνάῤῥησιν. Ὁ δὲ Ῥουσέλιος, λυθείς, ὡς εἴρηται, τῆς αἰχμαλωσίας, τὴν γυναῖκα μετὰ τῶν περιλειφθέντων Φράγγων λαβών, εἰς τὸ τῶν Ἀρμενιακῶν θέμα ἐγένετο, ἐν ᾧ διῆγε καὶ πρότερον. Στέλλει τοίνυν ὁ βασιλεὺς κατ' αὐτοῦ τὸν πρόεδρον Ἀλέξιον τὸν Κομνηνὸν, νέον μὲν ὄντα, ἄνδρα δέ γε συνετὸν καὶ δραστήριον. Ὃς, γενόμενος κατὰ τὴν Ἀμάσειαν, δι' ἀπορρήτων δηλοῖ τοῖς Τούρκοις ὡς, εἰ κατασχόντες τὸν Ῥουσέλιον παραδοῖεν τοῦτον αὐτῷ, πολλῶν αὐτοὺς ἐμπλήσει χρημάτων. Φιλίαν οὖν ὑποκριθέντες ἐκεῖνοι πρὸς τὸν Ῥουσέλιον κατέσχον τὸν ἄνδρα καὶ πολλῶν αὐτὸν χρημάτων ἠλλάξαντο, ὃς αὐτίκα παρὰ τοῦ Ἀλεξίου δέσμιος ἀπήχθη πρὸς τὸ Βυζάντιον, καὶ σφοδρῶς αἰκισθεὶς εἰς πύργον δέσμιος κατακέκλειστο. Σίτου δὲ γενομένης ἐνδείας ἐν ταῖς ἡμέραις τοῦ βασιλέως τούτου, ὥστε μὴ ὅλον μέδιμνον εἰς νόμισμα ἀποδίδοσθαι, ἀλλὰ παρὰ πινάκιον, ὅ ἐστι μεδίμνου τὸ τέταρτον, εἰς ἐπώνυμον τῷ βασιλεῖ τὸ κοινὸν δυστύχημα ἐχρημάτισε, ὡς καὶ μέχρι τοῦδε οὕτω τοῦτον καλεῖσθαι τὸν ἄνακτα· οὐ γάρ τις ἄλλως γνωριεῖ τοῦτον τοῖς περὶ αὐτοῦ λέγουσιν, εἰ μὴ τὸν Παραπινάκιον εἴπῃ.

multitudinem quæ multa millia complebat, inciderunt: cum quibus vel inviti pugnare coacti, et a multitudine circumventi amissis equis ambo capiuntur. Ac Ruselium uxor mature redemit, Cæsarem vero imperator; ad quem dum perducitur, eum ad Propontidem venisset, capillo raso, mutataque **284** veste, monasticam lacernam sumit, metuens ne ob imperii titulum a nepote supplicio afficeretur. At Ruselius a captivitate redemptus, ut dictum est, cum uxore et reliquis Francis in provinciam Armeniacorum se contulit, ubi prius etiam vitam egerat. Imperator igitur Alexium Comnenum præsidem, adolescentem illum quidem, sed prudentem et strenuum, contra eum mittit. Qui cum Amasiam pervenisset, Turcis occulte significat, si Ruselium sibi traderent, se illis grandem pecuniæ summam daturum. Itaque illi amicitia simulata, virum comprehensum magna pecunia commutarunt, qui statim ab Alexio Byzantium perductus, et post atrocia tormenta in turri quadam est inclusus. Quia vero sub hoc imperatore annonæ caritate laboratum est, ut non integer medimnus numismate venderetur, sed pinacio minus, qui est medimni quadrans: publica calamitas cognomen illi fecit, ut etiam hodie sic vocetur, neque aliter agnoscatur, nisi Parapinacium dixeris.

ΙΖ'. Τῷ τρίτῳ δ' ἔτει τῆς βασιλείας αὐτοῦ τὸ τῶν Χρυβάτων ἔθνος, οὓς δὴ καὶ Σέρβους τινὲς καλοῦσι, ἐκινεῖτο, τὴν τῶν Βουλγάρων χώραν ἐπικειρεῖν ἐπιχειρηκὸς κατασχεῖν. Ἀλλὰ μὴν καί τινα ταύτης κατεσχηκὸς, πολλαῖς δὲ μάχαις καὶ φθορᾷ πολλῶν ἑκατέρωθεν, τῶν τε κατεσχημένων ἐκπέπτωκε, καὶ καταπολεμηθὲν τῶν Ῥωμαϊκῶν ὁρίων ἐξώσθη, καὶ εἰς τὰ σφέτερα ἤθη μένειν ἠνάγκαστο. Δοῦλος δέ τις τοῦ πατρὸς τούτου τοῦ αὐτοκράτορος Νέστωρ ὄνομα, βεστάρχης δὲ τὸ ἀξίωμα, δουξ τῶν Παριστρίων προχειρισθεὶς, ἦρεν ὅπλα κατὰ τοῦ βασιλέως. Ὑμαιχμίαν γὰρ θέμενος μετά τινος ἀρχηγοῦ Πατζινάκων, ὃς ἐκαλεῖτο Τατοῦς, εἰς τὴν τῶν πόλεων βασιλεύουσαν παρεγίνοντο, καὶ παρενέβαλον πρὸ αὐτῆς. Καταβέσθαι δὲ τὰ ὅπλα τοῦ βασιλέως δηλοῦντος αὐτῷ, ἐκεῖνος ἕτοιμος εἶναι τοῦτο ποιῆσαι ἔλεγεν, εἰ αὐτῷ ὁ λογοθέτης ἐκδοθείη Νικηφόρος, ἢ τέως ἐκ μέσου γένηται, ὡς κοινὴ συμφορὰ καὶ κακὸν ἐπιδήμιον. Τοῦτο δὲ τοῦ

XVII. Tertio porro anno imperii illius gens Crovatorum, quos nonnulli Servios vocant, Bulgarium occupare aggressa est, ac quædam loca cepit, sed multis præliis factis, multis utrinque cæsis, tum iis excidit, quæ tenuerat, tum devicta, et Romana ditione expulsa, in suas redire sedes coacta est. Servus porro quidam paternus imperatoris, Nestor nomine, dignitate vestarches, ripæ Istri dux designatus, arma contra illum cepit, et conspiratione cum quodam Patzinacarum duce Tato inita, castra ante urbem imperatricem posuit. Monitus autem ab imperatore, ut ab armis discederet, id se facturum respondit, si logothela Nicephorus republicæ pestis et clades populi, sibi vel dederetur, vel e medio excederet. Eo ab imperatore negato, relicta urbe, Thraciam et Macedoniam et his finitima Bulgariæ loca prædatus, ad Patzinacas se confert. Michael filium ex Maria Alana, quam Augustam appellarat, susceptum, Constantinum ob patris

memoriam vocavit, et imperii insignibus adornato Longobardiæ ducis Roberti filiam despondit, cui abductæ nomen Helenæ indidit. Ea tempestate Byzantii **289** puer natus caprinis pedibus, uno oculo in fronte præditus Barbaris autem Orientem vastantibus, et obvios quosque ferro trucidantibus, Asiani Constantinopolim confugerunt. Nemine autem bonum publicum curante (nam imperator studiis vacans, iambos scribere a Psello docebatur) urbanos annonæ penuria premere cœpit, quam calamitatem ut evidentius et atrocius declarem, id malum fames fuit, eam pestis comitabatur. Unde hominum interitus tantus et tam frequens est consecutus, ut viventes morientibus sepeliendis essent impares. Tot enim peribant, ut sæpe multi in uno lectulo efferrentur, multi in biviis insepulti jacerent. Quare cum hac de causa, tum ob iniquas exactiones omnia luctu et mœrore plena erant, Eo rerum statu, Orientalium prætorum principes defectionem parturientes. Nicephorum Botaniatem curopalatem prælatum cæteris, imperatorem salutant. Id Michaelem perturbationis et terroris complevit. Canebatur enim litteram N fore superiorem littera M. Erat autem Botaniates claro natus genere, atque a Phoca originem ducere putabatur. Imperator igitur per caduceatores ingenti promissa pecunia, a Turcis petit, ut seditiosos sibi tradant. Botaniates autem imperatorio, ut dictum est, et nomine et habitu usurpato, Byzantium contendit. Sed et ab Occidente alia seditionis tempestas exstitit. Nam Nicephorus Bryennius Dyrrachii dux, cum sibi abrogatam esse dignitatem cognovisset, et ipse deficit, imperii insignibus arreptis, et legionum quas ibi habebat custodia munitus, Adrianopolim petit, unde ortus erat: ubi fratre Joanne adjuncto, et militibus gentilibus et Macedonibus multis ad se pellectis, tyrannidem auspicatur. Theodorocanus autem cum parte copiarum illius congressus et vincitur et capitur. Quin et Radestini et Panii incolæ ad Bryennium confluxerunt. Itaque defectionem naviter urgens, fratrem curopalatem designatum cum copiis Byzantium misit, quasi id statim capturus esset. Eam enim spem alebat, se a senatu tam ex logothetæ Nicephori odio, quam ob Michaelis simplicitatem, obviis (quod dicitur) ulnis susceptum iri. Verum **290** res illi non ex animi sententia cesserunt. Nam ii quos miserat, Blachernarum mœnia adorti, levia quidem prælia fecerunt, sed nihil profecerunt. Unde per pontem in

A βασιλέως μὴ ποιοῦντος, ἀπανίστανται μὲν τῆς πόλεως, τὰ Θρᾳκῶν δὲ καὶ τὰ Μακεδόνων ληΐζεται, καὶ ὅσα τούτοις τῆς Βουλγαρίας παράκειται, καὶ εἰς τὴν τῶν Πατζινάκων μεταχωρεῖ. Γιοῦ δὲ τεχθέντος αὐτῷ ἐκ τῆς ἐξ Ἀλανῶν Μαρίας, ἣν καὶ βασίλισσαν ἔστεψε, Κωνσταντῖνον αὐτὸν ὠνόμασεν ἐπὶ τῷ πατρὶ, καὶ βασιλικῶς ἐταινίωσε, καὶ στείλας πρὸς τὸν Λογγοβαρδίας ἡγεμονεύοντα Ῥομπέρτον, τὴν ἐκείνου θυγατέρα τῷ υἱῷ ἐμνηστεύσατο, ἣν καὶ ἀχθεῖσαν Ἑλένην (92) μετωνόμασεν. Ἐτέχθη δὲ τότε ἐν τῷ Βυζαντίῳ παιδίον ἕνα ἔχον κατὰ τὸ μέτωπον ὀφθαλμὸν, τραγοσκελές. Τῶν μέντοι Βαρβάρων τὴν Ἑῴαν ληιζομένων, καὶ οἷς ἐντύχοιεν ἔργον τιθεμένων μαχαίρας, φεύγοντες οἱ Ἀσιανοὶ τῇ Κωνσταντίνου προσῆεσαν. Μὴ τινος δὲ προνοουμένου τῶν κοινῇ συμφερόντων (ὁ γὰρ βασιλεὺς περὶ λόγους ἠσχόλητο. καὶ ἰάμβους συντιθέναι πρὸς τοῦ Ψελλοῦ ἐδιδάσκετο), σιτοδεία τοὺς ἐν τῇ πόλει ἐπίεζεν. Ἵνα δ' ἐκφαντικώτερον τὸ πάθος ἐκγραφθήσαιμι, λιμὸς ἦν ἄντικρυς τὸ κακὸν, τῷ δὲ παρείπετο καὶ λοιμὸς, κἀκ τούτου συνέβαινον θάνατοι, καὶ οὗτοι συχνοί τε καὶ ἀλλεπάλληλοι, ὥστε ἀδυνατεῖν τοὺς ζῶντας ταφῇ παραδιδόναι τοὺς θνήσκοντας. Τοσοῦτοι γὰρ ἦσαν, ὡς πολλάκις πολλοὺς ἐν μιᾷ κλίνῃ ἐκφέρεσθαι, κἂν ταῖς ἀμφόδοις δὲ ἀτάφους κεῖσθαι πολλούς. Ἐντεῦθεν πάντα κατηφείας μεμέστωτο διά τε ταῦτα, καὶ ὅτι καὶ ἀδίκοις εἴσπραξεσιν ἐπιέζετο τὸ ὑπήκοον. Οὕτω δὲ τῶν πραγμάτων ἐχόντων, οἱ τῶν Ἑῴων ἀρχόντων προέχοντες, συνελθόντες, ἀποστασίαν ὠδίνησαν, καὶ τὸν κουροπαλάτην Νικηφόρον τὸν Βοτανειάτην εἰς βασιλέα προείλοντο καὶ ἀνηγόρευσαν αὐτοκράτορα. Τοῦτο τὸν βασιλέα (93) θορύβου καὶ δέους ἐπλήρωσεν. Ἤδετο γὰρ ὡς ὑπερτερήσει ποτὲ τοῦ Μ στοιχείου τὸ Ν. Ἦν δὲ τῶν εὐπατριδῶν ὁ Βοτανειάτης, ἐκ τοῦ Φωκᾶ τὴν τοῦ γένους ἕλκειν σειρὰν νομιζόμενος (94). Διακηρυκεύεται τοίνυν πρὸς τοὺς Τούρκους ὁ βασιλεὺς, ἀδρὰς αὐτοῖς ἐπαγγελόμενος δωρεὰς, εἰ, τοὺς ἀποστατήσαντας συσχόντες, παραδοῖεν αὐτῷ. Ὁ μὲν οὖν Βοτανειάτης ἐξ Ἑῴας, ὡς εἴρηται, βασιλείας αὐτῷ περιθέμενος καὶ σχῆμα καὶ ὄνομα, ἐφοίτα πρὸς τὸ Βυζάντιον. Ἐξ Ἑσπέρας δ' αὖθις ἑτέρας ἀποστασίας ἐπεκυμάνθη κλυδώνιον. Ὁ γὰρ πρώεδρος Νικηφόρος ὁ Βρυέννιος δοὺξ Δυρραχίου τυγχάνων, ἐπεὶ μεμαθήκει ἀφαιρεθεὶς τὴν ἀρχὴν, ἀφίσταται καὶ αὐτὸς, καὶ περιβάλλεται τὰ τῆς βασιλείας παράσημα, καὶ τοῖς ἐκεῖ παροῦσι δορυφορούμενος τάγμασιν, εἰς τὴν Ἀδριανούπολιν ἀπῆει, ἀφ' ἧσπερ καὶ ὥρμητο. καὶ τῷ ἀδελφῷ Ἰωάννῃ ἐκεῖ ἑνωθεὶς, πλῆθός τε στρατιωτῶν

B

C

D

## Variæ lectiones et notæ.

(92) Ἑλένην. Consule Notas nostras ad Annam Comnenam, p. 229, 233, 234.

(92) Τοῦτο τὸν βασιλέα. Quin etiam tradit Lupus Protospatha Michaelem, audita Botaniatæ rebellione, venisse in Apuliam ann. 1080 et auxilium petiisse a Roberto Guiscardo duce contra eumdem Botaniatam: quod certe simillimum vero non videtur.

(94) Ἐκ του Φωκᾶ τὴν τοῦ γένους ἕλκειν σειρὰν νομιζόμενος. Ex Phocis igitur Botaniates natalium originem arcessebat, quorum gens perillustris fuit, ut quæ imperatorem Nicephorum Phocam protulerit, et ex eo viros dignitatibus et bellica laude eximios, quarum elogia perstrinximus in *Familiis Augustis Byzantinis*, qua quidem tempestate Φωκάδων familiam summa potentia ad sua usque tempora floruisse testatur Basilius Bulgaroctonus imp. in Novella, quæ describitur in Jure Græco Romano, t. II, p. 173.

ἐκεῖθεν ἐθνικῶν τε καὶ Μακεδόνων πεῖσας συνάρασθαί οἱ, τῆς τυραννίδος ἀπήρξατο. Τισὶ δὲ τῶν τοῦ Βρυενίου ὁ Θεοδωροκάνος συμμίξας, ἡττᾶταί τε καὶ ἁλίσκεται. Προσῆρῴησαν δὲ τῷ Βρυενίῳ καὶ οἱ Ῥαιδεστηνοί, ἀλλὰ μέντοι καὶ οἱ οἰκοῦντες τὸ Πάνιον. Εἶχετο τοίνυν τῆς ἀποστασίας ὁ Βρυένιος κραταιῶς, τὸν ἀδελφὸν κουροπαλάτην τιμήσας, καὶ στείλας σὺν δυνάμει πρὸς τὸ Βυζάντιον, ὡς αὐτίκα τοῦτο παραληψόμενον. Ἤώρητο γὰρ ἐλπίσιν ὡς ὑπτίαις, τὸ τοῦ λόγου, χερσὶν οἱ τῆς συγκλήτου βουλῆς αὐτὸν ὑποδέξονται διὰ τὴν πρὸς τὸν λογοθέτην Νικηφόρον ἀπέχθειαν, καὶ τὴν τοῦ βασιλέως ἀφέλειαν· ἀλλ' οὐ κατὰ τὸν σκοπὸν αὐτῷ καὶ τὰ πράγματα ἀπηντήκασιν. Ἐπελθόντες γὰρ οἱ σταλέντες τῷ τείχει τῶν Βλαχερνῶν, ἠκροβολίσαντο μὲν, ἤνυσαν δὲ οὐδέν. Ὅθεν διὰ τῆς γεφύρας (95) διαβάντες εἰς τὴν ἀντικρὺ τῆς πόλεως ἤπειρον, τὰς ἐκεῖ τυγχανούσας οἰκοδομὰς παρέδυσαν τῷ πυρὶ, κἀκεῖθεν εἰς τὸν Ἀθύραν ὑπέστρεψαν. Οὕτω δ' ὁ βασιλεὺς περιστατούμενος πάντοθεν, τὸν Ῥουσέλιον λύει τε τῶν δεσμῶν, καὶ ῥήμασι καὶ χρήμασι τὸν ἄνδρα ἐκμειλιξάμενος, ἐπελθεῖν πείθει τῷ τοῦ Βρυεννίου δμαίμονι μετὰ τοῦ πρωτοβεστιαρίου Ἀλεξίου τοῦ Κομνηνοῦ στρατηγοῦντος τῆς τῷ βασιλεῖ κατὰ τὸ Βυζάντιον προσούσης δυνάμεως. Ὁ μαθὼν ὁ τοῦ Βρυεννίου ἀδελφὸς ἔφθη διαδρᾶς. Τῶν Μακεδόνων μέντοι καταλειφθέντες πολλοὶ, οἱ μὲν ἔπεσον, οἱ δ' ἐάλωσαν.

A obversam urbi continentem progressi, ædificia incenderunt, atque inde Athyram redierunt. Imperator in tantis undique malis Ruselio vinculis soluto, et verbis et pecunia delinito persuadet, ut cum Alexio Comneno præside, qui copiis Byzantinis præerat, Bryenii fratrem Joannem invadat. Sed Joannes ea re maturo cognita, fuga salutem quæsivit. Multi tamen Macedones qui ibi relicti erant, partim cæsi, partim capti sunt.

Οἰκτρὸν γὰρ οἰκτρὸν μὴ ἐκποθήσεις φάος.
Δημυκρατήσει πρὸς μακρὸν, ἄρξει Κάππα,
Τῆς ἐνδεκάτης εἰρημένης ἐκλείψει,
Καὶ πέντε προτόλια τῆς μοναρχίας
Αἴχμας φέροντας, καὶ σποραὶ ἐγκομμέναι,
Δράκοντα συσφίγξουσι τὸν Λιβοκτόνον
Ἄσαρκα μὴ σθείνονται τὰ τούτων κρέη
Καὶ πρὸς μάχην ἔφυλον ἠλλοιωμένον,
Ῥηρίθμῳ ἔργῳ ταρδήσω σῖτα ξίφει,
Πρὸς χιλιάδας ἓξ ἕπτα μετριμένας,
Καὶ πᾶς ἀσελγὴς καὶ φονεὺς καὶ κραμμένος
Κήρυξ βοήσει, πᾶς ἀναφωνήσει μέγα,
Δράμετε πάντες πρὸς δυσμὰς ἐπταλόφου,
Ἐώρηται δ' ἄνδραν οἰκέτην ἐμὸν φίλον,
Μυλόκρανον μήλιβον πρᾶον λαβόντες,
Τὸν δεξιὸν αὐτοῦ ἐξαγάγεται πόδα,
Καὶ τούτου θέασθαι πρὸς βασιλέας δόμους,

Ἀγκῆρι καυθεὶς πεσεῖται· ἀγκῆρι λέγοντες τοὺς συγγραφεῖς ἐκείνους τὸ σιδήριον ἀπεικάσαι, δι' οὗ τὸν στόμαχον καυτηριάζεσθαι εἴθιστται διὰ τὸ κεκάμφθαι πρὸς τὸ ἄκρον αὐτόν. Ἀλλ' οὔθ' ἡ καυτηρία, οὔτε μὴν ἡ τοῦ ἀέρος ἐναλλαγὴ τῷ κάμνοντί τι ἐλυσιτέλησαν, ῥᾳθυμία δὲ πρὸς τὸ τέλος ἐχώρει, οὔτε δὲ οἱ ἰατροὶ ἀπεγνῶσθαι αὐτῷ τὸ βιώσιμον ἔλεγον· καί τινες μοναχοὶ προὔλεγον αὐτῷ μὴ ἄλλως ἐκλιπεῖν, εἰ μὴ πρότερον πρὸς Ἱερουσαλὴμ ἀφίκηται εἰς προσκύνησιν τοῦ ζωηφόρου τάφου τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν, ὅπου καὶ τὸ διάδημα αὐτὸν ἀποθέσθαι μέλλειν ἐχρησμολόγουν. Καὶ οἱ μὲν ταῦτα αὐτῷ ἐπηγγέλλοντο, ὁ δὲ τοῖς λεγομένοις ἐπίστευεν. Ὃ γὰρ ἡμῖν πρὸς βουλῆς, τοῦτο ῥᾴδιον εἰς πίστιν καταγγελλόμενον. Οὕτω δὲ κλεπτόμενος ἔλαθε τῷ τέλει προσεγγίσας τῆς βιοτῆς, καὶ πρὸ τῆς εἰς Ἱερουσαλὴμ ἀφίξεως, ἀποθέμενος, ἀλλ' οὐχ ἑκών, τὸ διάδημα. Εἴη δ' εἰπεῖν πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἐκδημήσας, τὴν τῶν πρωτοτόκων μητρόπολιν, τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς. Πεντεκαιδεκάτην μὲν ὁ Αὔγουστος ἦγε τῆς ἐνδεκάτης ἐπινεμήσεως, καὶ τὰ τελευταῖα ἔπνει ὁ Αὔγουστος, καὶ ὁ μὲν ἔκειτο ἀναφέρων τὸ ἄσθμα πυκνόν τι καὶ ἀδρανές. Ἡ δέ γε βασίλισσα ὅλη τοῦ πάθους ἦν, καὶ συνῆκτο περὶ αὐτὴν τὰ θυγάτρια. Ἤδη μὲν οὖν τῆς ἡμέρας παρεληλύθει τὸ πλέον, καὶ ὁ ἥλιος οὐχ ὑπὲρ κεφαλῆς ἦν ἑστὼς, οὐδ' οἷον εἰπεῖν κατὰ κάθετον ἀλλ' ἐκλίνθη βραχύ τι κατιὼν πρὸς δυσμὰς, καὶ δηλοῦται τῷ τοῦ βασιλέως υἱῷ καὶ βασιλεῖ ἐκλιπεῖν ἄρτι τὸν πατέρα. Ὁ δ' εἰσῄει τὸν οἶκον, ἔνθα περ ὁ θνήσκων κατέκειτο, οὔτι τὸν ἀπιόντα θρηνήσων, τὸ δὲ πιστὸν τοῦ θνήσκειν ἐκεῖνον τῇ ὄψει ληψόμενος. Καὶ ἰδὼν αὐτίκα ἐξῆλθε, καὶ ἀναβὰς τὸν ἵππον, ἐξῄει τῶν Μαγγάνων σὺν τοῖς περὶ αὐτὸν, ἐξιόντι δὲ πολλοὶ συναπῆχθησαν. Ἄρτι δ' ἐξελθόντι τὸν τῶν Μαγγάνων περίβολον προὔπαντῶσιν οἱ Ἀβασγοί· οὗτοι δ' ἦσαν οἳ τῇ ἐξ Ἀβασγίας κομισθείσῃ παιδὶ, καὶ νυμφευομένῃ τῷ μείζονι τῶν υἱέων τοῦ Καίσαρος ἐκεῖθεν συναπεστάλησαν, καὶ ὑπαντηκότες, ἐπηλάλαξάν τε καὶ προσεκύνησαν. Τότε φασὶ τὴν βασιλίδα τῷ θνήσκοντι βασιλεῖ περιπαθῶς ἀπαγγεῖλαι τὴν τοῦ υἱέως ἀπέλευσιν, τὸν δὲ φθέγξασθαι μὲν πρὸς τοῦτο μηδὲν, ἢ μὴ βουλόμενον ἢ μὴ δυνάμενον· διᾶραι δὲ τὰς χεῖρας ὑψοῦ, οὐκ οἶδ' εἴθ' ὑπερευχόμενον τοῦ υἱοῦ, εἴτε μὴν κατευχόμενον. Ἕτεροι δέ φασι μὴ τὰς χεῖρας διᾶραι τὸν θνήσκοντα, μηδὲ γὰρ οἷόν τ' εἶναι ἤδη ἐκλείποντα. Τῆς δὲ βασιλίδος πολλάκις ἀνακραγούσης, ὡς Ἄπεισιν ὁ υἱός σου ἔτι ζῶντά σε τὴν βασιλείαν ἀφαιρησόμενος, ἐκεῖνον ὑπομειδιᾶσαι βραχύ τι καὶ ἀμυδρὸν, ἢ τῶν λεγομένων καταγελῶντα, εἰ νομίζοιτο περὶ τῆς βασιλείας φροντίζειν ἐκπνέων ἤδη καὶ τῶν νεκρῶν μεθιστάμενος, ἢ τὴν τῆς ψυχῆς ἐπὶ τῷ πραττομένῳ διάθεσιν ὑπεμφαίνοντα. Ἐλέγετο γάρ τοι καὶ παρ' ἄλλων καὶ παρ' ἐκείνου τοῦ Πορφυρογενοῦς αὐτοκράτορος, μὴ γνώμης ἄτερ πατρικῆς θέσθαι τὴν εἰς τὰ βασίλεια πάροδον, ἀλλὰ παρ' ἐκείνου ἐπιτετράφθαι οἱ τὴν ἔξοδον, καὶ σύνθημα ταύτης ἐκ τοῦ πατρὸς λαβεῖν τὸν ἐκείνου δακτύλιον· ταῦτα δὲ μὴ παρούσης

A vitæ progredienti. Negabant tamen medici, vitam ejus esse deploratam: ac monachi quidam prædicebant ei, non moriturum priusquam Hierosolyma venisset ad vivificum sepulcrum Domini et Servatoris nostri adorandum, ubi diadema depositurum eum vaticinabantur: quorum ille pollicitis credebat. Nam orationem quæ nobis cordi est, facile comprobare solemus. Ita per imposturam non animadvertit se vitæ finem attigisse, antequam Hierosolyma perveniret, diademate quanquam non ultro posito: etsi dici **308** queat ad superna Hierosolyma profectus esse, primogenitorum metropolim, qui sunt in cœlis inscripti. Igitur Augustixv undecimæ indictionis, Augustus extremum

B ducebat spiritum, qui cum crebrum infirmumque trahens anhelitum jaceret, imperatrix mœrore oppressa aderat, filiabus etiam præsentibus. Jam majore dici parte exacta, cum sol non supra caput staret, nec (ut ita dicam) ad perpendiculum, sed nonnihil inclinatus ad occasum tenderet, imperatoris filios significatur, patrem agere animam. In gressus igitur ædes, in quibus moribundus decumbebat, non ut decedentem deploraret, sed ut de ejus morte certior rediretur, eo viso statim exiit, et equo conscenso, cum suo comitatu et multis aliis, Manganis excessit. Quo facto statim Abasgi, qui puellæ ex Abasgia adductæ, ut natu maximo Cæsaris filio nupturæ adjuncti fuerant, obviam facti, sublato clamore eum adorarunt. Tum aiunt imperatricem filii discessum morienti imperatori

C dolenter narrasse: eum vero ad ib nihil respondisse, seu non vellet, seu non posset: sed manus sustulisse, haud scio, bene an male precantem filio. Alii manus eum sustulisse negant, neque enim id facere potuisse morientem, sed imperatrice sæpius vociferante, *abire filium, ei vivenli erepturum imperium*, illum parum obscureque subrisisse, sive eam orationem deridentem, si putaretur adhuc de imperio sollicitus esse exspirans, terrenaque jam relicturus: sive quid de illo facto sentiret, indicantem. Nam et ab aliis et ab ipso Porphyrogenito imperatore narrabatur, eum non sine patris consilio regiam esse ingressum, sed exitum ab illo ei fuisse concessum: cujus rei tesseram illius annulum accepisset: eaque facta esse absente imperatrice, et illa ignorante. Cum igitur abiret, fama

D quid actum esset, celeriter divulgante, ad hunc imperatorem et cognati, et ex tribunis militum et ex senatu multi se contulerunt.

## Variæ lectiones et notæ.

Αὐτὸς κρατήσει τετράγε ὀκτὼ χρόνους,
Ὡς νεκρὸς ἤδη καὶ θεᾷ λελεμένος,
Οἴδασιν πολλοὶ καὶ μηδὲ τοῦτον βλέπων,

Ὃς ἐκ μέθης δὲ φανερωθεὶς τοιοῦτος,
Σκηπτροκρατήσει τῆσδε τῆς βασιλείας,
Καὶ πάλιν ἥξει ἑπταλόφου τὸ κράτος.

γενέσθαι τῆς βασιλίδος, καὶ ἀγνοούσητ ὅτι γεγόνασιν. Ὁ μὲν οὖν ἀπήει. Τῆς φήμης δὲ κηρυξάσης ταχὺ τὸ παροχθὲν, τῷ βασιλεῖ τούτῳ καὶ τὸ συγγενὲς προσήει, καὶ τῶν στρατιωτικῶν ἀρχόντων πολλοὶ καὶ τῶν τῆς συγκλήτου βουλῆς.

XXIX. Celerum ad magnam regiam properanti nuntiatur, Varangos stationis excubitorum, ubi iidem habitabant, viu occupata, neminem illac transire pati, aut 309 accedere ad regiam. Quo nuntio perturbatus, quemdum ad illos mittit percontatum, quid sibi velint. Mittit et ad Ecclesiam qui diceret, imperatorem esse mortuum, seque celebrari velle ut imperatorem. Ac id quidem a clero et summo pastore factum. Sed Varangi respondebant ei qui rogabat, cur regiæ aditu imperatorem excluderent, se imperatore vivente neminem passuros ingredi. Illo vero infirmante, jam esse mortuum : Varangi jurejurando sancita ejus rei fide, imperatori regiam ingredi concesserunt. Quo cum pervenisset, cum suis deliberabat, quomodo tractanda esset mater, fratres, sororesque, et Cæsar Bryenius : illos enim adhuc metuebat, suspectosque habebat, ne res novas molirentur. At pater totum adhuc diem spirabat, difficulterque moriebatur, sub vesperam demum exstinctus. Vixit annos septuaginta, aut circiter, regnavit septem et triginta, menses quator, et dies aliquot. Obiit anno mundi sexies millesimo, sexcentesimo vicesimo sexto, imperio feliciter administrato, vitæ exitum non æque prosperum sortitus. A ministris enim fere omnibus est desertus, ut prope nulli essent, qui cadaver ejus postremis lavacris purgarent : neque ornatus imperatorius præsto eis esset, quo cadaver ejus pro dignitate ornaretur, neque funus ei factum est imperatori conveniens. Idque non alieno, sed filio imperii successore : et eo filio, quem ipse imperio ornarat. Sic rerum humanarum nihil stabile et firmum est, sed infida omnia, et tessera mutabiliora. Fuit autem ille vir, ut et mores ejus expressos ad posteritatis memoriam propagemus, neque ferox et arrogans, neque iracundus, neque avarus, nec pecuniæ nimium cupidus, ut eam conflaret, et in thesauros occultos et subterraneas opes reconderet. Unde neque post obitum ejus in ærario magna pecunia est reperta : ad misericordiam propensus, ad sumendas pœnas tardus, moribus moderatis, accessu facilis, in victu non intemperans, non vino deditus ; virtute prædistis auscultare et honorem habere solitus. Eruditionem non ut conveniebat, sed utcunque colebat : commodus, 310 non insolens erga eos quibuscum vivebat, comis et jucundus, quasi cum æqualibus viveret. Unde illi securis erant animis, neque metu attoniti illi astabant, præsertim absente imperatrice, quæ imperiosum aliquid et severum præ se ferebat, et modestiæ oblitos acrius increpabat. Ac pulchra quidem ista sunt : quis enim neget ? quæque privati hominis laudes absolvant, non tamen ejusmodi, quæ imperatorem omnino bonum demonstrent. Nam homini privato satis est moderatio, æquitas, placabilitas, et in omni

Κθ'. Τῷ δ' ἦν ἡ ὁρμὴ πρὸς τὸ μέγα ἀνάκτορον· ἀπιόντι δὲ ἀγγέλλεται ὡς οἱ Βάραγγοι τὴν ἐν τοῖς ἐξκουβίτοις διειληφότες ὁδὸν, ἔνθα περ τούτοις καὶ ἡ κατοίκησις, ἀπελθεῖν δι' ἐκείνης οὐ παραχωροῦσί τινι, οὐδὲ μὴν πλησιάσαι τοῖς βασιλείοις. Τοῦτο εἰς ἀγωνίαν τὸν βασιλέα ἐνέβαλε. Καὶ στέλλει πρὸς ἐκείνους τινὰ ἐρωτῶντα τί τὸ σφίσι βουλόμενον· στέλλει δὲ καὶ πρὸς τὴν Ἐκκλησίαν, τεθνάναι λέγων τὸν αὐτοκράτορα, καὶ ζητῶν αὐτὸς εὐφημηθῆναι ὡς αὐτοκράτωρ. Καὶ τοῦτο μὲν ἤνυστο, καὶ αὐτοκράτορα αὐτὸν ὁ κλῆρος τῆς Ἐκκλησίας γνώμῃ καὶ τοῦ ἀρχιποιμένος ἀνηγόρευσεν. Ὁ δὲ πρὸς τοὺς Βαράγγους ἐσταλμένος ἠρώτα ἐκείνους, ὅτου χάριν κωλύουσι τῷ βασιλεῖ τὴν εἰς τὰ βασίλεια πάροδον· οἱ δὲ μή ποτε παραχωρῆσαι τῶν βασιλείων ἑτέρῳ, ζῶντος τοῦ αὐτοκράτορος, ἔφασαν. Ἐκεῖνος δὲ τεθνηκέναι διεβεβαιοῦτο τὸν αὐτοκράτορα. Καὶ οἱ Βάραγγοι ὅρκῳ τοῦτον πληροφορῆσαι αὐτοὺς ἀπήτησαν. Καὶ ὃς ὤμοσεν ἢ μὴν τεθνάναι τὸν βασιλέα, κἀκεῖνοι ἐνέδοσαν, καὶ τῆς παρόδου τῷ βασιλεῖ παρεχώρησαν. Ὁ δὲ ἀπήει πρὸς τὰ βασίλεια, καὶ τούτων ἐντὸς γεγονὼς, πῶς ἂν χρήσαιτο τῇ μητρὶ καὶ τοῖς ὁμογνίοις, καὶ τῷ τῶν κηδεστῶν ἑνὶ τῷ Βρυενίῳ, μετὰ τῶν περὶ αὐτὸν ἐβουλεύετο. Ἔτι γὰρ ἐδεδοίκει τούτους, καὶ οἱ ἦσαν ἐν ὑποψίαις, ἐλπίζοντι νεωτερίσειν ἴσως αὐτούς. Ὁ δὲ τούτου πατὴρ παρ' ὅλην μὲν τὴν ἡμέραν ἐμπνέων ἦν, καὶ δυσθανατῶν, περὶ δὲ τὴν ἑσπέραν ἐξέλιπε· ζήσας μὲν ἔτη ἑβδομήκοντά που τὰ πάντα ἢ ὅτι ἐγγυτάτω, βασιλεύσας δ' ἐκ τούτων ἐνιαυτοὺς ἑπτὰ καὶ τριάκοντα, ἐπὶ μησὶ τέσσαρσι καὶ ἡμέραις τισίν. Ἔθανε δὲ κατὰ τὸ ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν εἰκοστὸν ἕκτον ἔτος· τὴν μὲν βασιλείαν διηνυκὼς εὐτυχῶς, τὸ δέ γε τέλος οὐχ ὅμοιον ἐσχηκώς. Καταλέλειπτο γὰρ πρὸς τῶν θεραπόντων σχεδὸν ἁπάντων, ὡς μηδ' εἶναι τάχα τινὰς, τοὺς τὸν ἐκείνου νεκρὸν τοῖς λοισθίοις λουτροῖς ἀποβύψαντας, καὶ οὔτε κόσμος βασίλειος προσῆν τοῖς περὶ αὐτὸν, ἵν' αὐτῷ τὸ σῶμα κοσμηθείη βασιλικῶς, οὔτε μὴν ἐκφορᾶς ἔτυχε βασιλεῖ καταλλήλου. Καὶ ταῦτα οὐκ ἀλλοτρίου, ἀλλ' υἱέως δεξαμένου τὴν βασιλείαν αὐτῷ, καὶ υἱέως, ὃν ἐκεῖνος τῆς βασιλείας ἠξίωσεν. Οὕτως οὐδὲν τῶν ἀνθρωπίνων μόνιμον, οὐδὲ πάγιον, οὐδὲ πιστόν τε καὶ βέβαιον, ἀλλ' ἄπιστα πάντα, καὶ κύβου μᾶλλον ῥᾷον μετατιθέμενα καὶ μεταῤῥεπτόμενα. Ἦν δ' ὁ ἀνὴρ (ἵνα καὶ τὸν τρόπον ἐκείνου δῆλον θείημεν τοῖς μετέπειτα, καὶ τὸ ἦθος τοῖς ὀψιγόνοις χαρακτηρίσωμεν) οὔθ' ὑπεροπτικός τε καὶ ἀλαζὼν, οὔτε μὴν ὀξὺς εἰς θυμὸν, ἀλλ' οὐδὲ χρημάτων ἥττων, οὐδ' ἄγαν ἐρασιχρήματος, ὥστε βούλεσθαι καταχωννύειν αὐτὰ καὶ ταμιεύειν, ἵν' εἶεν αὐτῷ θησαυροὶ κεκρυμμένοι, καὶ ὑπόγαια χρήματα, ὅθεν οὐδὲ θανόντος πλεῖστα παρὰ τοῖς ταμείοις εὑρέθησαν· πρὸς ἔλεον εὐκατάφορος, πρὸς κόλασιν οὐκ ὀξόῤῥοπος, μέτριος τὸ ἦθος, εὐπρόσιτος, περὶ τὴν δίαιταν οὐκ ἀκόλαστος, οὐκ οἴνου ἡττώμενος,

τοῖς ἐναρέτως βιοῦσι προσέχων καὶ ἀπονέμων τιμὴν, λόγους οὐχ ὡς ἔδει τιμῶν, τέως δέ γε τιμῶν, ἐπιεικής τε καὶ τοῖς περὶ αὐτὸν οὐ σοβαρῶς προσφερόμενος, ἀλλ' ἐκ τοῦ ἴσου σχεδὸν ὁμιλῶν τε καὶ χαριεντιζόμενος. Ὅθεν κἀκείνοις θαρρεῖν ἐπῆει, καὶ οὐ μετὰ δέους αὐτῷ παρεστάναι, καὶ μᾶλλον ὅτ' ἀπῇν ἡ βασίλισσα. Ἐπεστέλλοντο γὰρ ἐκείνης παρούσης ἀρχικόν τε καὶ ἐμβριθὲς ἐνδεικνυμένης ἰδίωμα, καὶ τοῖς ἀτακτοῦσιν ἐπιτιμώσης σφοδρότερον, Ὁ μὲν οὖν τοιοῦτος ἦν. Τάῦτα δὲ κακὰ μέν, καὶ πῶς γὰρ οὔ; ἰδιώτῃ δ' ἀποχρῶντα πρὸς ἔπαινον, οὐ μήν γε καὶ βασιλέα δεικνύντα τὰ πάντα χρηστόν. Οὐ γὰρ αἱ αὐταὶ καὶ βασιλέως καὶ ἰδιώτου γένοιντ' ἂν ἀρεταί. Ἰδιώτῃ μὲν γὰρ ἀπόχρη καὶ μέτριον ἦθος, καὶ ἐπιείκεια, καὶ τὸ πρὸς θυμὸν οὐκ εὐκίνητον, καὶ τὸ σῶφρον τὸ πρὸς τὴν δίαιταν. Βασιλεῖ δὲ πρὸς τούτοις, καὶ ἡ τῆς δικαιοσύνης φροντίς, καὶ ἡ τῶν ὑπηκόων προμήθεια, καὶ ἡ τῶν παλαιῶν ἐθῶν τοῦ πολιτεύματος τήρησις. Τῷ δὲ μέλημα μᾶλλον, ἡ τῶν ἀρχαίων ἐθῶν γέγονε τῆς πολιτείας ἀλλοίωσις, καὶ τὸ μετατάξαι ταῦτα ἔργον ἦν αὐτῷ σπουδαιότατον, καὶ τοῖς πράγμασιν οὐδ' ὡς κοινοῖς, οὐδ' ὡς δημοσίοις ἐκέχρητο, καὶ ἑαυτὸν οὐκ οἰκονόμον μόνον ἡγητο τούτων, ἀλλὰ δεσπότην, καὶ οἶκον οἰκεῖον ἐνόμιζε καὶ ὠνόματε τὰ βασίλεια. Καὶ τοὺς τῆς συγκλήτου βουλῆς οὔτε τιμῆς, ἧς ἐχρῆν, ἠξίου, οὔτε πρόνοιαν αὐτῶν ἐτίθετο κατὰ τὸ ἀνάλογον. Μᾶλλον μέντοι καὶ ἔσπευσε ταπεινῶσαι τούτους· ἀλλ' οὐδ' ἐν ἅπασι τὴν τῆς δικαιοσύνης ἦν τηρῶν ἀρετήν. Ταύτης γὰρ ἴδιον, τὸ τοῦ κατ' ἀξίαν ἑκάστῳ διανεμητικόν. Ὁ δὲ τοῖς μὲν συγγενέσι καὶ τῶν θεραπόντων τισὶν ἁμάξαις ὅλαις παρεῖχε τὰ δημόσια χρήματα, καὶ χορηγίας ἐκείνοις ἀδρᾶς ἐτησίας ἀπένειμεν, ὡς καὶ πλοῦτον περιβαλέσθαι βαθὺν, καὶ ὑπηρεσίαν ἑαυτοῖς ἀποτάξαι, οὐκ ἰδιώταις, ἀλλὰ βασιλεῦσι κατάλληλον, καὶ οἴκους προσκτήσασθαι, μεγέθει μὲν πόλεσιν ἐοικότας, πολυτελείᾳ δὲ βασιλείων ἀπεοικότας οὐδέν· τοῖς δὲ λοιποῖς τῶν εὖ γεγονότων οὐχ ὁμοίαν ἐνεδείκνυτο τὴν προαίρεσιν, ἵνα μή τι ἕτερον φαῦλον ἐρῶ, φειδόμενος τοῦ ἀνδρός. Βασιλέα μὲν οὖν οἷον τὸ ἀκριβὲς ἀπαιτεῖ, οὐκ ἐῶσι τὰ εἰρημένα ἐκεῖνον νομίζεσθαι· ἀλλ' οὐδὲ μέντοι φαῦλον εἴποι τις τὸν Κομνηνὸν αὐτοκράτορα. Εἰ δὲ τὴν ἄγαν ἀκρίβειαν ζητοίη τις ἐν τοῖς αὐτοκράτορσιν, οὐκ οἶμαί τινα τῶν ἀνέκαθεν τῆς Ῥωμαίων ἐπιβεβηκότων ἡγεμονίας ἐν πᾶσιν εὐδοκιμηκότα κριθήσεσθαι, ἀλλ' ἐκ τοῦ πλεονάσοντος ἐν τοῖς ἤθεσι σφῶν καὶ ταῖς πράξεσιν ἑκάστῳ ἡ πολιτεία κεχαρακτήρισται. Ἀνέγκλητος γὰρ οὐδεὶς ἄν ποτε δόξῃ οὐδ' ἀμιγὴς τῆς χείρονος ἕξεως· θειοτέρας γὰρ τοῦτο μοίρας, ἀλλ' οὐκ ἀνθρωπίνης εἴη ἂν ποτε φύσεως. Ἐνταῦθά μοι τὸ πέρας ἤτω τῆς συγγραφῆς, καὶ ὁ δρόμος στήτω τῆς ἱστορίας, ὃς μοι πρὸς μακρὸν ἐκμεμήκισται. Δυῦναι γὰρ γραφῇ νυνὶ καὶ τὰ λείποντα, οὔ μοι λυσιτελὲς οὐδ' εὔκαιρον κέκριται. Εἰ μὲν οὖν ὀνήσιμόν τισι δόξει τὸ πόνημα, τῷ θεῷ χάρις, δι' οὗπερ ἅπαν κατορθοῦται καλόν· εἰ δ' ἀσυντελὲς, εἴη ἂν ἡμέτερον τὸ αἴτιαμα, καὶ ἐπανίτω πρός με τὸν τεκόντα τὸ ἀποκύημα, ἐσόμενόν μοι μνήμης ἐμπύρευμα.

A cultu et victu modus. Imperatori vero præter hæc et justitia est colenda, et ratio civium habenda, et vetera instituta sunt tuenda. Ille vero magis in eo elaboravit, summo adhibito studio, ut veteres mores immutaret et abrogaret, et res non ut communes et publicas tractavit, neque se illarum administratorem, sed dominum esse censuit, ac regiam suas ædes et putavit et appellavit. Patres conscriptos nec justo prosecutus est honore, neque eam illorum habuit rationem, quam recta ratio postulabat, sed potius deprimere illos studuit. Neque justitiæ regulam in omnibus observavit: cujus proprium est, id cuique tribuere, quod meretur. Ille vero cognatis et ministris quibusdam tota plaustra publicæ pecuniæ præbuit, et annos sumptus largissimos suppeditavit, ut et magnis opibus abundarent, et comitatum alerent, non privatis hominibus, sed imperatoribus convenientem, atque ædes compararent, ut magnitudine urbibus pares, ita magnificentia regiis palatiis non impares. Erga reliquam vero nobilitatem non perinde benignum se præbuit, ne quid aliud de viro dicam, cujus honori consultum volo. Quæ res Comnenum imperatorem perfectum judicari non sinunt. Neque etiam malum Comnenum imperatorem quisquam dixerit: nam qui severius in imperatores inquisierit, equidem non arbitror ullum Romanorum principatu antiquitus politum inventurum esse, in quo nihil ad consummatam laudem desideretur. Quo fit, ut cujusquam gubernatio ex morum et actionum ejus majori parte judicetur. Sine crimine certe quidem, 311 et deteriorum affectionum prorsus expers nemo reperietur: id enim divinæ felicitatis proprium fuerit, nec unquam in hominis naturam cadet. Hic scribendi finem faciam, et historiæ cursum inhibebo, longe progressum. Nam ea mandare litteris quæ restant adhuc, nec utile, nec tempestivum judicavi. Quod si opus hoc alicui videbitur utile, gratia sit Deo, cujus auxilio bona omnia conficiuntur. Sin supervacaneum, mea culpa, illa fuerit, et ad me auctorem redeat fœtus, cujus memoriam excitare queat.

**313** QUÆ SEQUITUR

ex Eusebio Pamphili collecta sunt, libro qui inscribitur *Basilicus*.

INITIUM MUNDI.

*Epitome annorum ab Adam usque ad an.* 6589, *hoc est ad initium Domini Alexii Comneni.*

—

| | | | |
|---|---|---|---|
| Adam genuit Seth an. 230 | 230 | Ἀδὰμ ἐγέννησε τὸν Σὴθ ἐτῶν σλ' | σλ' |
| Seth genuit Enos an. 260 | 435 | Σὴθ ἐγέννησε τὸν Ἐνὼς ἐτῶν σξ' | υλε' |
| Enos genuit Cainam an. 190 | 625 | Ἐνὼς ἐγέννησε τὸν Καϊνὰν ἐτῶν ρ'ϟ' | χκε' |
| Cainam genuit Malaleel an. 170 | 795 | Καϊνὰν ἐγέννησε τὸν Μαλαλεὴλ ἐτῶν ρο' | ψ'ϟε' |
| Malaleel genuit Jared an. 165 | 960 | Μαλαλεὴλ ἐγέννησε τὸν Ἰαρὲδ ἐτων ρξε' | ϡξ' |
| Jared genuit Enoch an. 162. | 1122 | Ἰαρὲδ ἐγέννησε τὸν Ἐνὼχ ἐτῶν ρξβ' | ,αρκβ' |
| Enoch genuit Mathusalam an. 165 | 1287 | Ἐνὼχ ἐγέννησε τὸν Μαθουσάλα ἐτῶν ρξε' | ,ασπζ |
| Mathusalam genuit Lamech an. 167 | 1454 | Μαθουσάλα ἐγέννησε τὸν Λαμὲχ ἐτῶν ρξζ' | ,αυνδ' |
| Lamech genuit Noe an. 188 | 1642 | Λαμὲχ ἐγέννησε τὸν Νῶε ἐτῶν ρπη' | ,α'χμβ' |
| Noe genuit Sem an. 500 | 2142 | Νῶε ἐγέννησε τὸν Σὴμ ἐτῶν φ' | 'βρ β' |
| Sem genuit Arphaxad an. 101 | 2243 | Σὴμ ἐγέννησε τὸν Ἀρφαξὰδ ἐτῶν ρα' | ,βσμγ' |
| Arphaxad genuit Cainan an. 130 | 2373 | Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνὰν ἐτῶν ρλ' | ,βτογ' |
| Cainan genuit Salam an. 135 | 2608 | Καϊνὰν ἐγέννησε τὸν Σάλα ἐτῶν ρλε' | ,βφη' |
| Salam genuit Heber an. 130 | 2638 | Σάλα ἐγέννησε τὸν Ἔβερ ἐτῶν ρλ' | ,βχλη' |
| Heber genuit Phalec an. 133 | 2771 | Ἔβερ ἐγέννησε τὸν Φαλὲκ ἐτῶν ρλγ' | ,βψοα' |
| Phalec genuit Ragau an. 130 | 2901 | Φαλὲκ ἐγέννησε τόν Ῥαγαῦ ἐτῶν ρλ' | ,βϡα' |
| Ragau genuit Seruch an. 132 | 3033 | Ῥαγαῦ ἐγέννησε τὸν Σερούχ ἐτῶν ρλβ' | ,γλγ' |
| Seruch genuit Nachor an. 130 | 3173 | Σερούχ ἐγέννησε τὸν Ναχὼρ ἐτῶν ρλ' | ,γρξγ' |
| Nachor genuit Thare an. 79 | 3242 | Ναχὼρ ἐγέννησε τὸν Θάρα ἐτῶν οϑ' | ,γσμβ' |
| Thare genuit Abraham an. 70 | 3312 | Θάρα ἐγέννησε τὸν Ἀβραὰμ ἐτῶν ο' | ,γτιβ' |
| Abraham genuit Isaac an. 100 | 3472 | Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ ἐτῶν ρ' | ,γυοβ' |
| Isaac genuit Jacob an. 60 | 3472 | Ἰσαὰκ ἐγέννησε τὸν Ἰακὼβ ἐτῶν ξ' | ,γυοβ' |
| Jacob genuit Levi an. 82 | 3554 | Ἰακὼβ ἐγέννησε τὸν Λευΐ ἐτῶν πβ' | ,γφνδ' |
| Levi genuit Caath an. 47 | 3601 | Λευΐ ἐγέννησε τὸν Καὰθ ἐτῶν μζ' | ,γχα' |
| Caath genuit Amram an. 60 | 3736 | Καὰθ ἐγέννησε τὸν Ἀμραμ ἐτῶν ξ' | ,γχξα' |
| Amram genuit Mosen an. 75 | 3736 | Ἀμραμ ἐγέννησε τὸν Μωϋσῆ ἐτῶν οε' | ,γψλς |
| Moses vixit an. 120 | 3856 | Μωϋσῆς ἔζησεν ἔτη ρκ' | ,γωνς' |
| Jesus dux fuit Israelis an. 24 | 3880 | Ἰησοῦς ἡγήσατο Ἰσραὴλ ἔτη κδ' | ,γωπ' |
| Phinees pontificatum tenuit apud Israelitas an. 24 | 3905 | Φινεὲς ἱεράτευσε τοῦ Ἰσραὴλ ἔτη κδ' | ,γϡε' |
| Chusar regnum in Israelitas exercuit an. 50 | 3955 | Χουσὰρ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη ν' | ,γϡνε |
| Othoniel judicavit Israel an. 40 | 3905 | Γοθονιὴλ ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ' | ,γϡ'ϟε' |
| Eglom regnum in Israelitas exercuit an. 18 | 4013 | Ἐγλὼμ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη ιη' | διγ' |
| Aod et Sephora judicant Israelem an. 80 | 4126 | Ἀὼθ καὶ Σεπφώρα ἔκρινε τὸν Ἰσραὴλ ἔτη π' | ,δρκς' |
| Jabim Israelitis imperavit an. 20 | 4126 | Ἰαβεὶμ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη κ' | ,δρκς' |
| Debora judicat Israelem an. 40 | 4166 | Δεβώρα ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ' | ,δρξς' |
| Oreb judicat Israelem an. 7 | 4173 | Ὠρὴβ ἔκρινε τὸν Ἰσραὴλ ἔτη ξ' | δρογ' |
| Gedeon judicat Israelem an. 40 | 4213 | Γεδεὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη μ' | ,δσιγ' |
| Abimelech judicat Israelem an. 3 | 4216 | Ἀβιμελὲχ ἔκρινε τὸν Ἰσραὴλ ἔτη γ' | ,δσις' |
| Tholas judicat Israelem an. 23 | 4239 | Θωλᾶς ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ' | ,δσλθ' |
| Jaar judicat Israelem an. 22 | 4261 | Ἰαὰρ ἔκρινε τὸν Ἰσραὴλ ἔτη κβ' | ,δσξα' |
| Ammonitæ Israeli imperant an. 18 | 4279 | Ἀμὰ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη ιη' | 'δσοθ' |
| Jephthe judicat Israelem an. | 4285 | Ἰαφθὲ ἔκρινε τὸν Ἰσραὴλ ἔτη ς' | 'δσπε' |
| Esbal judicat Israelem an. 7 | 4292 | Ἐσβὰλ ἔκρινε τὸν Ἰσραὴλ ἔτη ζ' | 'δσϟβ' |
| Elom judicat Israelem an. 10 | 4302 | Ἐλὼμ ἔκρινε τὸν Ἰσραὴλ ἔτη ι' | ,δτβ· |
| Abdom judicat Israelem an. 8 | 4310 | Ἀβδὼμ ἔκρινε τὸν Ἰσραὴλ ἔτηιη | ,δτι' |
| Philistæi imperant Israeli an. 30 | 4340 | Φιλιστιεὶμ ἐβασίλευσαν τοῦ Ἰσραὴλ ἔτη λ' | ,δτμ |
| Samson judicat Israelem an. 20 | 4360 | Σαμψὼν ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ' | ,δτξ' |

| | | | |
|---|---|---|---|
| Ἀναρχία καὶ εἰρήνη τοῦ Ἰσραὴλ ἔτη λβ′ | δτιβ′ | Interregnum an. 32 | 4392 |
| Ἠλεὶ ὁ ἱερεὺς ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ′ | ,δυιβ′ | Heli sacerdos judicat an. 20 | 4412 |

Κατα δὲ τοὺς χρόνους Ἠλεὶ τοῦ ἱερέως ὁ πρὸς τοὺς Τρῶας πόλεμος συνέστη τοῖς Ἕλλησιν· καθ' οὕς καὶ Ὅμηρος ἤκμαζεν.

Circa tempora Heli Græcorum adversus Trojanos bellum accidit, quo etiam tempore Homerus floruit.

| | | | |
|---|---|---|---|
| Σαμουὴλ ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ′ | ,δυλβ′ | Samuel judicat Israelem an. 20 | 4432 |
| Σαοὺλ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη κ′ | ,δυνβ′ | Saul regnat in Israel an. 20 | 4452 |
| Δαβὶδ ἐβασίλευσε τοῦ Ἰσραὴλ ἔτη μ′ | ,δυιβ′ | David regnat in Israel an. 40 | 4492 |

Ἀπὸ δὲ τῆς βασιλείας Δαβὶδ ἕως τῆς τῶν Ῥωμαίων βασιλείας ἔτη ϡμ′, ἀπὸ δὲ κτίσεως κόσμου ἔτη πεντακισχίλια υν′

A David usque ad Romanos imperatores anni sunt 940. A mundi conditu anni 5450

| | | | |
|---|---|---|---|
| Γαΐος Ἰούλιος ἐβασίλευσεν ἔτη δ′ | ,ευν′ | C. Julius imperat an. 4 | 5450 |
| Αὔγουστος ἐβασίλευσεν ἔτη νς′ | ,εφς′ | Augustus imperat an. 56 | 5506 |

Τῷ τούτου μβ′ ἔτει τῆς βασιλείας γεννᾶται ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ σάρκα ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐκ τῆς Ἀειπαρθένου Μαρίας, καὶ πάσχει τὸ ἑκούσιον πάθος ἐν τῷ ιη′ ἔτει τῆς βασιλείας Τιβερίου Καίσαρος· τῷ γὰρ ιε′ τοῦ αὐτοῦ Τιβερίου ἐβαπτίσθη.

Hujus imperii an. 42, nascitur Dominus noster Jesus Christus secundum carnem in Bethleem Judæ de Virgine Maria, et voluntarias pœnas perpessus est an imperii Tiberii Cæsaris 18. Nam 15 ejusdem anno baptizatus est.

| | | | |
|---|---|---|---|
| Τιβέριος ἐβασίλευσεν ἔτη κβ′ | ,εφκη′ | Tiberius imperat an. 22 | 5528 |
| Γαΐος ἄλλος ἐβασίλευσεν ἔτη δ′ | ,εφλβ′ | Caius alter imperat an. 4 | 8532 |
| Κλαύδιος ἐβασίλευσεν ἔτη ιδ′ | ,εφμς′ | Claudius imperat an. 14 | 5546 |
| Νέρων ὁ υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ιδ′ | ,εφξ′ | Nero hujus filius imperat an. 14 | 5560 |
| Γάλβας μῆνας ζ′ | | Galba mens. 7 | |
| Ὄθων μῆνας γ′ | | Otho mens. 3 | |
| Οὐϊτέλλιος μῆνας η | | Vitellius mens. 8 | |
| Οὐεσπασιανὸς ἐβασίλευσεο ἔτη ι′ | ,εφοα′ | Vespasianus imperat an. 10 | 5571 |
| Τίτος ἐβασίλευσεν ἔτη γ′ | ,εφοδ′ | Titus imperat an. 3 | 5574 |

Ἐπὶ τούτου καὶ ἡ τῶν Ἱεροσολύμων ἅλωσις γέγονε, καὶ ἡ παντελὴς τῶν Ἰουδαίων ἐρήμωσις. Ἀπὸ δὲ τῆς τοιαύτης ἁλώσεως ἕως τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, ἤτοι τῆς τῶν Χριστιανῶν βασιλείας, ἔτη σλζ′, ἀπὸ δὲ κτίσεως κόσμου ἔτη ,εωμα′, ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ ἀνακήψεως ἕως τῆς ἁλώσεως Ἱεροσολύμων ἔτη μη′.

Sub hoc Hierosolymorum excidium contigit et omnimoda Judæorum desolatio. Porro ab hoc excidio ad Constantini M. sive Christianorum imperium an. sunt 237. Ab O. C. 5841. A Christi Domini ascensione ad excidium Hierosolymitanum an. 48.

| | | | |
|---|---|---|---|
| Κωνσταντῖνος ὁ Μέγας ἔτη λγ′ | ,εωιμα′ | Constantinus M. an. 33 | 5851 |
| Κωνστάντιος ὁ υἱὸς αὐτοῦ ἔτη κδ′ | ,εωξε′ | Constantius ejus filius an. 24 | 5865 |
| Ἰουλιανὸς ὁ παραβάτης ἔτη β′ | ,εωξζ′ | Julianus Apostata an. 2 | 5867 |
| Ἰοβιανὸς ἔτος α′ | ,εωξη′ | Jovianus an. 1 | 5868 |
| Οὐαλεντινιανὸς, ἔτη ιβ′ | ,εωπ′ | Valentinianus an. 12 | 5880 |
| Οὐάλης ὁ ἀδελφὸς αὐτοῦ ἔτη γ′ | ,εωπγ′ | Valens hujus frater an. 3 | 5883 |
| Γρατιανὸς ἔτη γ′ | ,εωπς′ | Gratianus an. 3 | 5886 |
| Θεοδόσιος ὁ Μέγας ἔτη ιζ′ | ,εϡθ′ | Theodosius M. an. 17 | 5900 |
| Ἀρκάδιος ὁ υἱὸς αὐτοῦ ἔτη ιγ′ | ,εϡιγ′ | Arcadius ejus filius an. 13 | 5913 |
| Θεοδόσιος ὁ Μικρὸς ἔτη μβ′ | ,εϡνε′ | Theodosius Minor an. 42 | 5955 |
| Μαρκιανὸς ἔτη ς′ | ,εϡξα′ | Marcianus an. 6 | 5961 |
| Λέων ὁ Μέγας ἔτη ιζ′ | ,εϡοη′ | Leo M. an. 17 | 5978 |
| Λέων ὁ Μικρὸς ἔτος α′ | ,εϡοθ′ | Leo Minor an. 1 | 5979 |
| Ζήνων ἐβασίλευσεν ἔτη ις′ | ,εϡιϛ′ | Zeno an. 16 | 5996 |
| Ἀναστάσιος ἐβασίλευσεν ἔτη κζ′ | ′ϛκγ′ | Anastasius an. 27 | 6023 |
| Ἰουστῖνος ὁ Γέρων ἔτη θ′ | ,ϛλβ′ | Justinus Senior an. 9 | 6032 |
| Ἰουστινιανὸς ὁ Μέγας ἔτη λθ′ | ,ϛυα′ | Justianus M. 39 | 5071 |
| Ἰουστῖνος ὁ Νέος ἔτη ιγ′ | ′ϛπδ′ | Justinus Minor an. 13 | 6084 |
| Τιβέριος ἔτη δ′ | ,ϛπη′ | Tiberius an. 4 | 6098 |
| Μαυρίκιος ἔτη κ′ | ,ϛρθ′ | Mauricius an. 20 | 6109 |
| Φωκᾶς ὁ τύραννος ἔτη η′ | ,ϛριζ′ | Phocas tyrannus an. 8 | 6117 |
| Ἡράκλειος ἔτη λα′ | ,ϛρμη′ | Heraclius an. 31 | 6148 |

| | | | |
|---|---|---|---|
| Constantinus ejus filius an. 1 | 6149 | Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ἔτος α' | ,ςρμθ' |
| Heraclius ejus filius mens. 6 | | Ἡράκλειος ὁ υἱὸς αὐτοῦ μῆνας ς' | |
| Constantinus ejus filius an. 27 | 6176 | Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ἔτη κζ | ,ςρος' |
| Constantinus Justiniani pater an. 17 | 6193 | Κωνσταντῖνος ὁ πατὴρ Ἰουστινιανοῦ ἔτη ιζ' | ,ςρ\|ς' |
| Justinianus primum an. 10 | 6203 | Ἰουστινιανὸς τὸ πρῶτον ἔτη ι' | ,ςσγ' |
| Leontius an. 3 | 6206 | Λεόντιος ἔτη γ' | ,ςσς' |
| Tiberius Apsimarus an. 7 | 6213 | Τιβέριος Ἀψίμαρος ἔτη ζι' | ,ςσιγ' |
| Justinianus secundum, et Tiberius ejus filius an. 6 | 6219 | Ἰουστινιανὸς τὸ β' καὶ Τιβέριος ὁ υἱὸς αὐτοῦ ἔτη ς' | 'ςσιθ' |
| Philippus Bardanes an. 2, mens. 8 | 5221 | Φίλιππος ὁ Βαρδάνης ἔτη β' μήν. η' | 'ςσκα' |
| Anastasius Artemius an. 2 | 6223 | Ἀναστάσιος ὁ Ἀρτέμιος ἔτη β' | ,ςσκγ' |
| Theodosius Atramyttenus an. 1 | 6224 | Θεοδόσιος ὁ Ἀτραμυτινὸς ἔτος α' | 'ςσκδ' |
| Leo Isauricus an. 24 | 6248 | Λέων ὁ Ἴσαυρος ἔτη λδ' | ,ςσμη' |
| Constantinus ejus filius Copronymus an. 34 | 6282 | Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ ὁ Κοπρώνυμος ἔτη κδ' | ,ςσπβ' |
| Leo ejus filius an. 5 | 6287 | Λέων ὁ υἱὸς αὐτοῦ ἔτη ε' | ,ςσπζ' |
| Constantinus ejus filius cum matre an. 10 | 6297 | Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ σὺν τῇ μητρὶ ἔτη ι' | ,ςσ\|ζ' |
| Constantinus solus illius filius an. 7 | 6304 | Κωνσταντῖνος μόνος ὁ υἱὸς αὐτοῦ ἔτη ζ' | ,ςτδ' |
| Irene sola mater ejus an. 5 | 6309 | Εἰρήνη μόνη ἡ μήτηρ αὐτοῦ ἔτη ε' | ,ςτθ' |
| Nicephorus generalis an. 8, mens. 9 | 6317 | Νικηφόρος ὁ ἀπὸ Γενικῶν ἔτη η' μῆν. θ' | 'ςτιζ' |
| Stauracius ejus filius mens. 3 | | Σταυράκιος ὁ υἱὸς αὐτοῦ μῆνας γ' | |
| Michael Rangabe an. 1, mens. 9 | 6320 | Μιχαὴλ ὁ Ῥαγγαβέ ἔτος α μῆν. θ' | ,ςτκ' |
| Leo Armenus an. 6, mens. 5 | 6327 | Λέων ὁ Ἀρμένιος ἔτη ς' μῆν. ε' | ,ςτκζ' |
| Michael Balbus an. 8, mens. 9 | 6336 | Μιχαὴλ ὁ Τραυλὸς ἔτη η' μῆν. θ' | ,ςτλς' |
| Theophilus ejus filius an. 12, mens. 3 | 6348 | Θεόφιλος ὁ υἱὸς αὐτοῦ ἔτη ιβ' μῆν. γ' | ,ςτμη |
| Michael ejus filius an. 26 | 6374 | Μιχαὴλ ὁ υἱὸς αὐτοῦ ἔτη κς' | ,ςτοδ' |
| Basilius Macedo an. 19 | 6393 | Βασίλειος ὁ Μακεδὼν ἔτη ιθ' | ,ςτ\|γ' |
| Leo ejus filius an. 25, mens. 8 | 6419 | Λέων ὁ υἱὸς αὐτοῦ ἔτη κε' μῆν. η' | ,ςυιθ' |
| Alexander ejus frater an. 1 | 6420 | Ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ ἔτος α' | ,ςυκ' |
| Constantinus Leonis filius an. 48 | 6468 | Κωνσταντῖνος ὁ υἱὸς Λέοντος ἔτη μη' | ,ςυξη' |
| Romanus ejus filius an. 3 | 6471 | Ῥωμανὸς ὁ υἱὸς αὐτοῦ ἔτη γ' | ,ςυοα' |
| Nicephorus Phocas an. 6 | 6478 | Νικηφόρος ὁ Φωκᾶς ἔτη ς' | ,ςυοη' |
| Joannes Zimisces an. 6 | 6484 | Ἰωάννης ὁ Τζιμίσκος ἔτη ς' | ,ςυπδ' |
| Basilius Bulgaroctonus an. 55 cum fratre Constantino | 6537 | Βασίλειος ὁ Βουλγαροκτόνος ἔτη νε' σὺν τῷ ἀδελφῷ Κωνσταντίνῳ | ,ςφλζ' |
| Quibus imperantibus Sergius patriarcha Romanum pontificem e diptychis erasit. | | Ἐν οἷς βασιλεῦσι Σέργιος ὁ πατριάρχης τὸν πάπαν Ῥώμης ἀπὸ τῶν διπτύχων ἐξέωσεν. | |
| Romanus Argyropolus an. 5, mens. 6 | 6542 | Ῥωμανὸς ὁ Ἀργυροπόλος ἔτη ε' μῆν. ς' | ,ςφμβ' |
| Michael Paphlago an. 7 | 6549 | Μιχαὴλ ὁ Παφλαγὼν ἔτη ζ' | ,ςφμθ' |
| Michael ejus consobrinus an. 4 | 6553 | Μιχαὴλ ὁ ἀνεψιὸς αὐτοῦ ἔτη δ' | ,ςφνγ' |
| Constantius Monomachus an. 13 | 6563 | Κωνσταντῖνος ὁ Μονομάχος ἔτη ιγ' | ,ςφξγ' |
| Theodora Porphyrogeneta an. 1 | 6565 | Θεοδώρα ἡ Πορφυρογέννητος ἔτος α' | ,ςφξε' |
| Michael Militaris an. 1 | 6566 | Μιχαὴλ ὁ ἀπὸ στρατιωτικῶν ἔτος α' | ,ςφξς' |
| Isaacius Comnenus an. 2 | 6568 | Ἰσαάκιος ὁ Κομνηνὸς ἔτη β' | ,ςφξη' |
| Constantinus Ducas an. 6 | 6575 | Κωνσταντῖνος ὁ Δοῦκα ἔτη ς' | ,ςφοε' |
| Romanus Diogenes an. 3 | 6579 | Ῥωμανὸς ὁ Διογένης ἔτη γ' | ,ςφυθ' |
| Michael Ducæ filius an. 6 | 6585 | Μιχαὴλ ὁ υἱὸς τοῦ Δούκα ἔτη ς' | ,ςφπε' |
| Nicephorus Bataniates an. 3 | 6588 | Νικηφόρος ὁ Βατανιάτης ἔτη γ' | ,ςφπη' |
| Alexius Comnenus an. 38 | 6626 | Ἀλέξιος ὁ Κομνηνὸς ἔτη λη' | ,ςχκς' |
| Hic imperare coepit ab an. 6589, indict. 4, Aprilis 1, magna feria, 5, qua et raptus contigit. | | Οὗτος ἦρξε τῆς βασιλείας ἀπὸ τοῦ ,ςφπθ' ἔτους, ἰνδικτιῶνος δ', καὶ μηνὸς Ἀπριλίου α', τῇ μεγάλῃ πέμπτῃ, ὅτε καὶ ἡ ἁρπαγὴ γέγονε. | |

*Additum hoc a librario.*

| | |
|---|---|
| A tempore Alexii imperatoris ad hoc tempus anni sunt 245 qui est mundi 6868. | Ἀπὸ κυρίου Ἀλεξίου τοῦ βασιλέως ἕως ἄρτι ἔτη ,σμε', ἔτους ,ςωξη'. |

# RERUM

## QUÆ IN JOANNIS ZONARÆ ANNALIBUS TRACTANTUR

ΣΥΝΟΨΕΙΣ, seu ARGUMENTA,

quæque in aliquot codd. mss. ac in editione Wolfiana marginibus ascribuntur; de quibus agitur in Præfatione.

### PROOEMIUM.

NUMERO I. Προοίμιον.

N. III. Κεφαλαιώδης μνεία τῶν περιεχομένων τῇ βίβλῳ ἱστοριῶν, ἢ τοῦ α' τόμου περιοχή.

N. IV. Ἡ τοῦ β' τόμου περιοχή.

### LIBER PRIMUS.

N. I. Περὶ κοσμοποιίας. Ἡμέρα α'. Ἡμέρα β'. Ἡμέρα γ'. Ἡμέρα δ'. Ἡμέρα ε'. Ἡμέρα ς'. Ἡμέρα ζ', ἣ Σάββατον κέκληται.

N. II. Ὅπως ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν. Παράβασις τῶν προσταγμάτων.

N. III. Ὅπως μετετέθη Ἐνώχ.

IV. Ὅπως ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ, ὥς φησιν ἡ Γραφή, τὰς θυγατέρας τῶν ἀνθρώπων, ἔλαβον ἑαυτοῖς, γυναῖκας. Ὅπως εὗρε Νῶε χάριν ἐνώπιον τοῦ Θεοῦ. Ὅπως διεσώθη Νῶε διὰ ξυλίνου λάρνακος. Ὅπως ἔθετο ὁ Θεὸς τὸ τόξον ἐν τῇ νεφέλῃ μετὰ τὸν κατακλυσμόν.

N. V. Ὅτι ἄμπελον ἐφύτευσε Νῶε μετὰ τὸν κατακλυσμόν, καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ. Οἱ τοῦ Νῶε ἀπόγονοι, διασκεδασθέντες ὑπὸ τῆς ἀλλογλωσσίας, μετεκλήθησαν καὶ μετωνομάσθησαν. Ὅτι τῆς Ταρσοῦ Περσεὺς δομήτωρ. Περὶ τῆς τῶν ἐθνῶν ἀρχῆς, καὶ ὅθεν ἐκλήθησαν.

N. VI. Περὶ τοῦ Ἀβραὰμ, καὶ ὅτι πρῶτος ἐπέγνω τὸν Θεὸν ποιητὴν τοῦ παντός. Περὶ τῆς τῶν Σοδομιτῶν αἰσχμαλωσίας, καὶ ὅπως ἐτρώθησαν, καὶ ἠχμαλωτίσθη Λώτ. Ὅτι τῷ Ἀβραὰμ ὁ Θεὸς δώσειν υἱὸν ἐπηγγέλλετο, ὡς τὸ σπέρμα αὐτοῦ γενέσθαι ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. Καὶ ὅπως περιετμήθησαν, καὶ ὅτι τὸ Ἰσαὰκ γέλως ἑρμηνεύεται. Οἱ μὲν Ἰουδαῖοι τῇ ὀγδόῃ ἡμέρᾳ περιτέμνονται, οἱ Ἄραβες δὲ τῷ τρισκαιδεκάτῳ ἔτει. Ὅτι ὁ Ἰσμαὴλ ἐκ τῆς Ἄγαρ. Εἴκοσι καὶ πέντε ἐτῶν ἦν Ἰσαὰκ, ὅτε θυσιάσαι προσετάχθη αὐτὸν Ἀβραάμ.

N. VII. Ἀναχώρησις Ἰακὼβ εἰς Μεσοποταμίαν, καὶ περὶ τῆς διαθείσης κλίμακος καθ' ὕπνους. Κατοίκησις Ἰακὼβ πρὸς Λάβαν τὸν μητράδελφον, καὶ ἔρως τῆς θυγατρὸς αὐτοῦ. Συνέλευσις Ἰακὼβ πρὸς Λείαν, καὶ τεκνογονία αὐτῆς. Ἡ δὲ Ῥαχὴλ μὴ τίκτουσα τῇ οἰκείᾳ θεραπαίνῃ τὸν Ἰακὼβ ἠξίωσε συνελθεῖν, καὶ τὰ τεχθέντα δύο τέκνα ὠκειώσατο. Ζηλώσασα δὲ ἡ Λεία, τὴν ἑαυτοῦ θεράπαιναν παρακατέκλινε τἀνδρὶ, καὶ τὰ γεννηθέντα ἐξιδιώσατο. Ὅτι ἡ Ῥαχὴλ ἔτεκε τὸν Ἰωσὴφ.

N. VIII. Ὑποχωρήσαντος Ἰακὼβ ἀπὸ τοῦ Λάβαν, καὶ ἡ Ῥαχὴλ τὰ εἴδωλα τούτου ἀφαιρεῖται. Πάλι Ἰακὼβ μετὰ τοῦ ἀγγέλου. Ἁρπαγὴ τῆς Δείνης ὑπὸ τοῦ τῶν Σικίμων βασιλέως, υἱοῦ Συχὲμ, καὶ ἀπώλεια αὐτῶν, καὶ φθορὰ ὑπὸ τῶν ἀδελφῶν αὐτῆς, Θάνατος Ἰσαάκ.

N. IX. Ὅπως ἐπεκλήθη Ἐδὼμ ὁ Ἡσαῦ. Βουλὴ τῶν ἀδελφῶν κατὰ τοῦ Ἰωσὴφ, καὶ κατάσχεσις αὐτοῦ, καὶ ἀπόδοσις πρὸς τοὺς ἐμπόρους. Ὅτι ὁ Πετεφρῆς ὠνήσατο τὸν Ἰωσήφ. Κατηγορία ψευδὴς ὑπὸ τῆς γυναικὸς Πετεφρῆ κατὰ τὸν Ἰωσὴφ, καὶ κατάσχεσις αὐτοῦ ἐν φυλακῇ. Δήλωσις τῶν ἐνυπνίων τῶν συνδεσμωτῶν παρὰ τοῦ Ἰωσήφ.

N. X. Ἐνύπνια τοῦ Φαραώ. Δήλωσις τῶν ἐνυπνίων Φαραὼ ὑπὸ τοῦ Ἰωσὴφ, καὶ δίδωσι τὴν ἐξουσίαν αὐτῷ Φαραὼ πάσης γῆς Αἰγύπτου. Τί σημαίνει τὸ θομφάνηχος. Ἐπανέλευσις τῶν ἀδελφῶν Ἰωσὴφ διὰ τὸν λιμόν. Ἀναγνωρισμὸς Ἰωσὴφ καὶ τῶν ἀδελφῶν.

N. XI. Ἔλευσις τοῦ Ἰσραὴλ πρὸς Αἴγυπτον παροικεί. Εὐλογία Ἰακὼβ τοῖς ἐγγόνοις ἐναλλάξ. Τελευτὴ Ἰωσήφ.

N. XII. Ὅτι ἐκάκουν οἱ Αἰγύπτιοι τοὺς Ἰσραηλίτας. Περὶ τῆς γεννήσεως Μωϋσέως. Ὅτι περικαλλὴς ἦν τὴν ἰδέαν Μωϋσῆς, καὶ ὅτι προσίετο θηλὴν Αἰγυπτίαν. Ἐπωνυμία τοῦ ὀνόματος Μωϋσέως, καὶ ὅτι ἕβδομος ἦν ἐξ Ἀβραάμ. Ὅπως ἐπιτίθησι τὸ διάδημα Φαραὼ τῷ Μωσεῖ. Οἷος ἦν τὴν ἡλικίαν καὶ τὴν ἀρετὴν ὁ Μωσῆς, καὶ ὅπως κατ' Αἰθιόπων ἐστρατεύει. Ὅτι προμάχοις ταῖς ἴβεσι κατὰ τῶν ἰοβόλων ἐχρήσατο. Ἡ Σαβὰν πόλις Αἰθιοπίας. Ὅτι Μωσῆς ἔλαβε γυναῖκα τοῦ Αἰθιόπων κρατοῦντος θυγατέρα. Ὅτι οἱ Αἰγύπτιοι ἐμίσουν αὐτὸν καὶ σωζόμενοι. Ὅτι ἔφυγε Μωσῆς ἐξ Αἰγύπτου εἰς Μαδιὰμ, κἀκεῖ λαβὼν γυναῖκα, καὶ ποιμὴν γίνεται.

N. XIII. Ὅτι νέμων ἐν ὄρει Σινᾶ ὁρᾷ τὴν βάτον ὁ Μωσῆς, καὶ ἐνυπνιάσθη ἐπὶ τὴν Αἴγυπτον ἀπελθεῖν. Τὸ περὶ τῆς βακτηρίας τοῦ Μωσέως θαῦμα, τὴν εἰς τὸν κόλπον βληθεῖσαν δεξιὰν, καὶ τὸ εἰς αἷμα μεταβληθὲν ὕδωρ. Ὅτι Μωϋσῆς καὶ Ἀαρὼν ἦλθον εἰς Αἴγυπτον πρὸς Φαραώ. Ὅπως ἡ ῥάβδος μετεβλήθη εἰς ὄφιν. Ὅσα ὁ Μωσῆς κακὰ τοῖς Αἰγυπτίοις ἐπήγαγε, σκληρυνομένου τοῦ Φαραώ. Ὅπως τὸ Πάσχα διάβασις, καὶ ὑπερβασία ἐξ ἐκείνου εἰκονίζεται. Ὅσοι ἦσαν οἱ στρατεύεσθαι δυνάμενοι Ἰουδαῖοι, ὅτε ἐξῆλθον τῆς Αἰγύπτου. Πόσους ἐνιαυτοὺς εἰς τὴν Αἴγυπτον ᾤκησαν Ἰουδαῖοι.

N. XIV. Πόσος ἦν ὁ διώκων τοὺς Ἰουδαίους λαὸς τῶν Αἰγυπτίων. Ὅπως διεῖλεν εἰς δύο τὴν θάλασσαν μέρη, καὶ διεβίβασε τὸν λαόν. Ὅτι ὕμνησεν ᾠδὴν Μωσῆς, καὶ τοῖς ὅπλοις Αἰγυπτίων ἐχρήσαντο Ἰουδαῖοι. Ὅτι Μὰρ καὶ Μαιρὰν ὁ τὸ ὕδωρ τὸ

πικρὸν ἔχων τόπος ἐκλήθη. Ὅπως διὰ ξύλου ἐγλυκάνθη τὸ ὕδωρ, καὶ ὅπως τὸ τοιοῦτον θαῦμα Ἰώσηπος ἑρμηνεύει. Περὶ τῶν ὀρτύγων καὶ τοῦ μάννα. Ὅτι τὸ Μὰν ἐπερώτησιν δηλοῖ. Ὅτι τὸ ἀσσάριον μέτρον ἐστίν. Ὅπως ἡ πέτρα παρὰ Μωσέως ὕδωρ ἔβλυσεν. Ὅπως ὁ Μωσῆς κατετρυποῦτο τῇ ἐκτάσει τῶν χειρῶν. Ὅπως Ὢρ καὶ Ἀαρὼν ἀνεῖχον τὰς χεῖρας τοῦ ἀδελφοῦ.

Ν. XV. Ὅτι μετὰ τρίμηνον ἐξ Αἰγύπτου ἐπὶ τὸ Σινᾶ ὄρος παρῆσαν Ἰουδαῖοι. Συμβουλὴ τοῦ πενθεροῦ Μωϋσέως, ὅπως χρὴ δημαγωγεῖσθαι τὸν λαόν. Κατὰ τὸ ὄρος Σινᾶ ἔλαβε Μωσῆς τὰς ἐντολάς. Ὅτι χρονίζοντος εἰς τὸ ὄρος ὁ λαὸς ἐγόγγυζε, καὶ τί ἐποίησεν Ἀαρών. Ὡς ὁ Μωσῆς συνέτριψε τὰς πλάκας, ὀργισθεὶς διὰ τὴν μοσχοποιίαν, καὶ συντρίψας τὸν μόσχον, ἐπότισε τὸν λαὸν ἐκ τοῦ χοὸς, καὶ ἀπέκτεινε πολλούς. Ἀνέβη Μωσῆς εἰς τὸ ὄρος, λέγων· Κύριε, ἡμάρτηκεν ὁ λαός. Καὶ λαβὼν δύο πλάκας, αὖθις ὑπέστρεψε πρὸς τὸν λαόν Περὶ τῆς κατ' ἐπιταγὴν γεγενημένης σκηνῆς, καὶ τῆς εἰς αὐτὴν προσαγωγῆς τοῦ λαοῦ, ὧν εἶχον.

Ν. XVI. Ὅτι ἀρχιτέκτονες τῆς σκηνῆς Βεσελεὴλ καὶ Ἐλιφάζ. Περὶ τῆς κιβωτοῦ, ἐν ᾗ αἱ δύο πλάκες, καὶ τίνες οἱ δεκάλογοι, οἱ ἐν αὐτῇ. Οἱ δεκάλογοι. Περὶ τῆς ἐν τῷ ναῷ καταθέσεως, καὶ τῶν δώδεκα ἄρτων τῶν ἀζύμων. Ὅτι ἀρχιερεὺς Ἀκρὼν ἐψηφίσθη. Ὅτι Ἑβραῖοι εἰσέφερον. Ὅτι τὴν εἰσφορὰν ἐλευθέρως ἐποιοῦντο οἱ Ἑβραῖοι. Ὅτι παρὰ τὰ διατεταγμένα θυσάντων τινὰ μέρη τοῦ σώματος κατεκαύθησαν. Ὅτι ἑξήκοντα μυριάδες εὑρέθησαν, καὶ ἐπέκεινα.

Ν. XVII. Ἡ Λευϊτικὴ φυλὴ ὑπὲρ δισμυρίους καὶ τρισχιλίους ἀριθμηθέντες πρὸς ὀκτακοσίοις καὶ ὀγδοήκοντα. Ὅπως ἐξ ἑκάστης φυλῆς ἕνα λαβὼν κατασκοπεύσοντα τὴν γῆν, τήν τε δύναμιν τῶν Χαναναίων. Περὶ τῆς στάσεως τοῦ πλήθους καὶ τοῦ Κυρὶ καταβοῶντος διὰ τὴν ἱερωσύνην Ἀαρών. Ὑποθήκη Μωσέως, καὶ ὅπως ἐγνώσθη, ὅτι ὁ Θεὸς τὸν Ἀαρὼν ἱεράσθαι ἐβούλει. Ὅπως Δαθὰν καὶ Ἀβειρὼν ὑπὸ γῆν κατεχώσθησαν. Κρίσις Θεοῦ δικαία τοῖς περὶ τῆς ἱερωσύνης ἀμιλλωμένοις. Περὶ τῶν βακτηρίων τῶν ἐχουσῶν τὰ τῶν φυλῶν ὀνόματα, ἐν αἷς καὶ ἡ Ἀαρὼν ἐβλάστησε ῥάβδος. Ὅπως ἡ τῶν Λευϊτῶν φυλὴ στρατειῶν ἀφείθη, καὶ οἵας προσόδους ἔσχεν.

Ν. XVIII. Ὅπως τέθνηκε Μαριὰμ ἡ τοῦ Μωσέως ἀδελφή, μὴ ἰδοῦσα τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ Ἀαρὼν ὁμοίως καταλιπὼν ἀρχιερέα τὸν υἱόν. Ὅπως οἱ Ἑβραῖοι κατὰ Ἀμορραίων ἐμαχέσαντο. Καὶ ἀναίρεσις τῶν αὐτῶν βασιλέων Σηὼν καὶ Ὢγ. Περὶ στρατοπεδεύσεως πρὸ Ἱεριχοῦντος. Περὶ Βαλαὰμ καὶ τῆς κατὰ τὴν ὁδὸν αὐτοῦ ἐπιφανείας ἀγγέλου. Ὅτι ὁ Βαλαὰμ Μωσέως οὐ κατηράσατο, ἀλλὰ καὶ εὐλόγησε κινούμενος ἄνωθεν ἐκ Θεοῦ. Ὅτι κατὰ συμβουλὴν Βαλαὰμ παρθένους ἀφῆκεν τοῖς Ἰουδαίοις, καὶ παρηνόμησαν δεινῶς. Ὅπως ὁ Φινεὲς τὸν Ζαμβρῆν σὺν τῇ Μαδιανίτιδι ἐξεκέντησεν. Ἥττα Μαδιηναίων καὶ ἀναίρεσις πάντων ἄνευ γυναικῶν παρθένων. Ὅτι γηράσας Μωσῆς Ἰησοῦν κατέλιπεν.

Ν. XIX. Ὅτι τὴν Ἀμορῖτιν τῷ Γὰδ καὶ Ῥουβὶμ ἀφώρισε Μωσῆς, διαταξάμενος, ἵνα ἕκαστος τῆς οἰκείας φυλῆς μένων ἔχῃ τὸν κλῆρον. Εἰ δὲ τῆς φυλῆς ἀλλοτριωθῇ, καὶ τοῦ κλήρου στερηθῇ. Ὅπως, εἰς ὄρος ὑψηλὸν στὰς Μωσῆς, εἶδε τὴν γῆν τῆς ἐπαγγελίας, καὶ οὕτως ἀφανὴς γέγονε, βιώσας ἔτη ἑκατὸν εἴκοσιν, ὧν ἦρξε τὸ τρίτον τούτων. Περὶ τῶν τῆς Ἱεριχοῦντος κατασκόπων. Περὶ Ῥαὰβ τῆς ἐν Ἱεριχοῦντι κρυψάσης τοὺς κατασκόπους, καὶ ὅσα ὑπέσχοντο αὐτῇ ποιῆσαι μετὰ τὴν τῆς πόλεως ἅλωσιν Καὶ ὅτι φοινικίδα ἀπαιωρῆσαι εἰς γνώρισμα τῆς οἰκίας ἐνετέταλτο ἡ γυνή. Ὅτι πρῶτοι ἱερεῖς καὶ Λευῖται τὸν Ἰορδάνην εἰσελθόντες, ἀνέκοψαν αὐτὸν, καὶ οὕτως ὁ λαὸς διεπέρασεν.

Ν. XX. Περὶ τοῦ βωμοῦ καὶ τῶν λίθων οὓς ἔλαβεν Ἰησοῦς κατὰ τὸν ἀριθμὸν τῶν φυλῶν ἐκ τοῦ Ἰορδάνου. Ὅτι κατὰ τὴν πρώτην τῆς τοῦ Πάσχα ἡμέραν ἤρξατο ὁ Ἰησοῦς πολιορκεῖν Ἱεριχώ. Καὶ ἕως τῆς ἑβδόμης ἡμέρας τὸ τεῖχος κυκλῶν μετὰ τῶν ἱερέων καὶ τὰς κιβωτοῦ, καὶ μετὰ σαλπίγγων, καὶ κατέπεσε τὸ τεῖχος, καὶ ἀρὰς κατὰ τῶν ποτε βουληθησομένων ἀνεγεῖραι τὴν πόλιν Ἱεριχοῦντα ἐποιήσατο. Περὶ τῶν ἀναιρεθέντων χρημάτων, ἃ ἀνετέθησαν τῷ Θεῷ. Καὶ περὶ τοῦ ἀποκρύψαντος τὸ χρυσίον, καὶ ὅτι ἀνῃρέθη διὰ τοῦτο. Ὅπως ἐπείσαντο Γαβαωνῖται ὡς ὄντες ἀλλότριοι Ἱεριχοῦντος. Ὅτι Ἰησοῦς, μαθὼν ψευσθῆναι, ἐποίησε τούτους ξυλοκόπους καὶ ὑδροφόρους τῆς Συναγωγῆς. Ὅπως τὸν βασιλέα Ἱεροσολύμων ἥττησεν Ἰησοῦς, συμμαχῶν Γαβαωνίταις, ὅτε καὶ ἡ ἡμέρα ηὐξήθη. Ὅτι Γάλγαλα τὴν ἐλευθερίαν οἱ Ἑβραῖοι καλοῦσιν.

Ν. XXI. Περὶ τῆς σκηνῆς ἧς ἔστησεν Ἰησοῦς εἰς Σηλώμ. Ὅτι ὑπέργηρως Ἰησοῦς ἐτελεύτησεν, ἐτῶν γεγονὼς ἑκατὸν δέκα. Ὅτι μετὰ θάνατον Ἰησοῦ κατὰ τῶν Ἑβραίων Χαναναῖοι ἐπανέστησαν, καὶ ἡττήθησαν. Ὅτι εὐθηνούμενοι Ἰσραηλῖται κατερρύπαινον τῶν νόμων καὶ τῶν ὅπλων.

Ν. XXII. Περὶ τοῦ ξενωθέντος ἐν Γαβαὼ Δευίτου, καὶ τῆς γυναικὸς αὐτοῦ τῆς Βηθλεεμίτιδος, ἣν οἱ εἰς αὐτὴν πορνεύοντες διέφθειραν. Καὶ ὅτι ταύτην εἰς δώδεκα μέρη διεῖλεν ὁ ταύτης ἀνὴρ, καὶ ταῖς δώδεκα φυλαῖς ἔστειλε τὰ μέρη εἰς ἔλεγχον τοῦ γενομένου. Περὶ Γοθονιὴλ, καὶ ὅπως ἦρξε τοῦ Ἰσραηλιτῶν λαοῦ. Μετὰ τὸν Γοθονιὴλ ἄναρχοι ὄντες οἱ Ἰσραηλῖται κατεφρονήθησαν. Περὶ τοῦ Βενιαμίτου Ἀὼθ ἢ Ἰούδα, καὶ ὅτι τὸν Αἰγλὼμ ἀνεῖλε δόλῳ. Ὅπως ἦρξε τοῦ λαοῦ Ἀώθ.

Ν. XXIII. Περὶ Δευώρας τῆς προφήτιδος καὶ Βαρὰχ, τῶν κατὰ τοῦ Σισάρα στρατευσάντων. Ὅτι φεύγων Σισάρας ἀνῃρέθη παρὰ γυναικὸς γάλακτι μεθυσθείς. Θάνατος Δευώρας καὶ Βαράκ. Περὶ Γεδεών, καὶ ὅσα ἐποίησεν ὁ ὀφθεὶς αὐτῷ ἄγγελος, παραθαρρύνων αὐτὸν εἰς τὸν κατὰ τῶν ἐναντίων πόλεμον. Περὶ τοῦ πόκου καὶ τῆς δρόσου. Περὶ τῶν ἐν τῷ πίνειν λαφάντων. Περὶ τῆς ἐν ὕπνοις κριθίνης μάζης, τί δηλοῖ; Ὅπως τὸν οἰκεῖον λαὸν συνέταξε Γεδεών. Ὅτι γηραιὸς ἐτελεύτησε Γεδεὼν καταλιπὼν υἱοὺς ἐκ διαφόρων γυναικῶν ἑβδομήκοντα, καὶ ἕνα ἐκ παλλακῆς, ὃς τοὺς ἑβδομήκοντα ἔκτεινε καὶ τυραννήσεν. Ὅτι γύναιον ἄνωθεν βαλὸν κτείνει τὸν Ἀβιμέλεχ. Ὅτι Ἰεφθάε ὑπέσχετο θῦσαι τὸ πρῶτον συναντήσαν, εἰ νικήσει· καὶ οὕτω θύει τὴν θυγατέρα.

Ν. XXIV. Ὅτι Σαμψὼν ἰσχὺν σημαίνει. Ὅπως ἐγεννήθη Σαμψών. Ὅτι Ναζωραῖος, ὁ ἀφωρισμένος Θεῷ. Ὅτι ὁ πατὴρ Σαμψὼν Μανωὲ ἐζήτει μαθεῖν τοῦ προσομιλοῦντος ἀγγέλου τὸ ὄνομα. Ὁ δὲ θαυμαστὸν εἶπεν εἶναι τοῦτο, καὶ ἀπεσιώπησεν. Ὅτι θείῳ πυρὶ κατεκαύθη ἡ θυσία Μανωέ. Ὅπως ἡράσθη ὁ Σαμψὼν γυναικὸς ἀλλοφύλου. Καὶ ὅπως ἀναι-

ρεῖ τὸν λέοντα, καὶ εὑρίσκει σμῆνος μελισσῶν ἐν τῷ στόματι αὐτοῦ. Καὶ ὅτι τὰ περὶ τούτου πρόβλημα ἔθετο· καὶ ὅπως τοῦτο τῇ γυναικὶ ἐξηγήσατο αἰτησαμένῃ σὺν δάκρυσιν. Ὅτι διὰ τὸ τὴν γυναῖκα ἑτέρῳ συζυγῆναι, ὠργίσθη Σαμψών, καὶ λαβὼν ἀλώπεκας τριακοσίας, λαμπάδας ἡμμένας ταῖς ἐκείνων οὐραῖς προσέδησε. Καὶ οὕτω τὰ τῶν Παλαιστινῶν κατέκαυσε λήϊα. Οἱ δὲ κατέκαυσαν τὴν γυναῖκα. Ὅτι ἑκὼν ἑαυτὸν δεδεμένον τοῖς ἀλλοφύλοις παρέδωκεν ὁ Σαμψών. Ὁ δὲ διὰ σιαγόνος ὄνου ἀπέκτεινε πολλούς. Ὅθεν καὶ Σιαγόνα τὸν τόπον ἐκάλεσαν. Ὅπως ἀπὸ τῆς σιαγόνος ἔπιε Σαμψών. Ὅπως τὰς πύλας σὺν ταῖς παραστάσι μετέθετο Σαμψών. Ὅτι ἡπάτησε Σαμψὼν ἡ Δαλιδά. Καὶ μαθοῦσα τὴν ἀπὸ τῆς τριχὸς ἰσχὺν, ἐκκόπτει τὴν τρίχα· καὶ αὐτοῦ ἀσθενήσαντος, ἐκκόπτουσιν αὐτοῦ τοὺς ὀφθαλμοὺς οἱ ἐχθροί. Ὅπως τῆς κόμης αὐξομένης, καὶ ἡ ἰσχὺς ηὐξάνετο τοῦ Σαμψών. Καὶ ὅπως τοὺς κίονας κατέσεισε, καὶ τὴν οἰκίαν ἔρριψε καθ' ἑαυτοῦ καὶ πάντας ἀπέκτεινε σὺν ἑαυτῷ.

Ν. XXV. Ὅτι μετὰ τὸν Σαμψὼν οὐκέτι Κριταὶ ἦγον τὸν Ἰσραήλ, ἀλλ' ὁ ἀρχιερεὺς Ἠλεί. Περὶ τῆς Νοεμίν, καὶ τῆς Ὀρφὰ, καὶ τῆς Ῥούθ. Ὅπως ἡ Νοεμὶν εὐτυχίαν ὅηλοῖ, Μάρα δὲ ἀδύνην. Ὅπως ὁ Βοὰζ τὴν Ῥοὺθ εἰσαγαγὼν εἰς τὴν Γερουσίαν, καὶ τὸν συγγενῆ ἤρετο εἰ ταύτην βούλεται ἀγαγεῖν. Τοῦ δὲ παραιτησαμένου, λαμβάνει αὐτὴν, καὶ ὅτι κατὰ τὸν νόμον γέγονε τὰ σημεῖα τῆς παραιτήσεως. Ὅτι Ἰωβὴδ δουλεύων ἑρμηνεύεται. Περὶ Σαμουήλ. Ὅτι ὁ Ἠλεὶ προεῖπε τῇ Ἄννῃ τὴν τοῦ Σαμουὴλ γέννησιν. Ὅτι προσήχθη τῷ Ἠλεὶ μετὰ τὸ γεννηθῆναι Σαμουήλ. Ὅτι κοιμώμενον τὸν Σαμουὴλ ἐκάλεσεν ὁ Θεός. Ηρόρρησις διὰ τοῦ Σαμουὴλ τῶν ἐσομένων τοῖς Ἰσραηλίταις καὶ τοῖς παισὶ τοῦ Ἠλεὶ συμφορῶν.

Ν. XXVI. Κίνησις Παλαιστινῶν κατὰ Ἰσραηλιτῶν. Καὶ τῆς Κιβωτοῦ ἀποστολὴ εἰς βοήθειαν, καὶ Ἑβραίων ἥττα, καὶ φόνος τῶν παίδων Ἠλεί, καὶ ἅλωσις τῆς Κιβωτοῦ, καὶ θάνατος διὰ τοῦτο τοῦ Ἠλεὶ, ἐνενήκοντα ἐτῶν γενομένου. Ὅτι εἰς Ἄζωτον πόλιν οἱ ἀλλόφυλοι τὴν Κιβωτὸν ἀπήγαγον, καὶ ἀνέθεντο ἐν εἰδωλείῳ θεοῦ Δαγὼν, καὶ διαπέπτωκε τὸ εἴδωλον. Ὅτι δυσεντερία ἐνέσκηψε τῇ πόλει Ἀζωτίων, καὶ μῦες ἐκ τῆς γῆς ἀνεβόθησαν Ὅτι ἀπὸ πόλεως εἰς πόλιν ἡ Κιβωτὸς περιπομπὴν παρὰ τῶν Παλαιστινῶν, ἐκάκου αὐτάς. Ὅπως ἀπεστάλη ἡ Κιβωτὸς ἐπὶ ἁμάξης ἀναθεμένων. Ὅτι βόες ἀπήγαγον μόνοι εἰς τοὺς Ἰσραηλίτας τὴν Κιβωτόν. Ὅτι τοὺς ἁψαμένους τῆς Κιβωτοῦ ἀνιέρους ἐθανάτωσεν ὁ Θεός. Ὅτι ὁ Σαμουὴλ ἀντὶ ἐλευθερίας ἐπείστατο. Ὅτι οἱ Παλαιστινοὶ προσβάλλοντες τοῖς Ἑβραίοις ἡττήθησαν, βροντῶν καὶ σεισμοῦ γεγονότων, καὶ ἀστραπῶν, αἷς ἐξεδειματώθησαν, καὶ οὐκέτι προσέβαλον.

Ν. XXVII. Ὅτι ὁ Σαμουὴλ, γεγηρακὼς, τοῖς υἱοῖς τὴν κρίσιν τοῦ λαοῦ ἀνατίθησιν. Ὅτι ὁ λαὸς διὰ τὴν τῶν υἱῶν τοῦ Σαμουὴλ κακίαν βασιλέα ἐζήτησαν, καὶ ὁ Σαμουὴλ δεδωκέναι ὑπέσχετο, προειπὼν μεταμελήσειν αὐτοῖς. Περὶ Σαοὺλ, καὶ ὅπως εἰς βασιλέα ἐχρίσθη, ἀναζητῶν τοὺς ὄνους τοῦ πατρός. Τίνα σημεῖα ἐπὶ τῷ χρίσματι ὕδωκε τῷ Σαοὺλ ὁ Σαμουήλ. Ὅτι ὁ κλῆρος ἐπὶ τὸν Σαοὺλ ἔπεσε. Καὶ ἀνεζήτησαν αὐτὸν, καὶ εὗρον ἀπόντα. Ὅτι ἐξήτησεν ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς ἐξελεῖν ἑκάστου δεξιὸν ὀφθαλμὸν τῶν Γαλααδιτῶν, καὶ οὕτως ἀπαλλαγῆναι αὐτῶν. Ὅτι Σαοὺλ προεφήτευσε τὴν ἀπώλειαν τῶν ἐχθρῶν. Ὅπως κατετροπώσατο Ἀμμανίτας ὁ Σαούλ. Ἡ δευτέρα τοῦ Σαοὺλ ἀναγόρευσις. Πότε ἦσαν Ἑβραῖοι ἀριστοκρατούμενοι, καὶ πότε ἄναρχοι, καὶ πότε ἐκρίνοντο, καὶ πότε ἐβασιλεύοντο.

Ν. XXVIII. Ὅτι ἐν ἀκμῇ βάρους χειμὼν γέγονεν. Ὅτι καὶ πάλιν οἱ Παλαιστινοὶ τοὺς Ἑβραίους κατέτρωσαν. Ὅπως ὁ Ἰωνάθαν προσέβαλε τοῖς πολεμίοις, καὶ ἥττησεν αὐτούς. Ὅτι ἀρὰν ἔθετο Σαοὺλ τοῦ μὴ φαγεῖν τινα ἕως νυκτὸς, ἀλλὰ διῶξαι ἀκρατῶς τοὺς ἐχθροὺς, καὶ ὅτι μὴ ἀκούσας τῆς ἀρᾶς ἔφαγεν Ἰωνάθαν, διὰ τοῦτο γέγονεν ἥττα. Καὶ ὅτι τοῦτον ἔμελλεν ἀνελεῖν ὁ πατὴρ, εἰ μὴ ἥρπασεν αὐτὸν ὁ λαός.

Ν. XXIX. Ὅτι κατὰ κέλευσιν Θεοῦ εἶπε Σαμουὴλ τῷ Σαοὺλ, συμβαλεῖν Ἀμαληκίταις, καὶ πάντας κτεῖναι. Καὶ ὅτι προσβαλὼν ἐνίκησε, τὸν δὲ βασιλέα αὐτῶν οὐκ ἀπέκτεινε. Καὶ διὰ τοῦτο ἀκούει ἀπὸ Σαμουὴλ ἀφαιρεθῆναι τὴν βασιλείαν. Ὅτι τοῦ Σαμουὴλ ὑποχωροῦντος κατέσχε τὴν διπλοΐδα αὐτοῦ Σαοὺλ, παρακαλῶν ἱλασθῆναι τὸν Θεόν. Καὶ ἐσχίσθη ἡ διπλοῒς, καὶ εἶπε Σαμουὴλ, οὕτω διαιρεθῆναι τὴν βασιλείαν αὐτοῦ. Καὶ ὀψὲ παρεκλήθη Σαμουὴλ εἰπὼν, ἱκετεῦσαι τὸν Θεὸν εἰ τὸν βασιλέα Ἀμαληκιτῶν κτείνει Σαοὺλ. Ὅτι ἀπὸ πάντων τῶν ἀδελφῶν ὁ Δαβὶδ ἐχρίσθη εἰς βασιλέα, καὶ ὅτι ἐπῆλθεν ἐπ' αὐτὸν πνεῦμα προφητείας ὑποχωροῦν ἀπὸ Σαοὺλ· Ὅτι πνεῦμα πονηρὸν ἔπνιγε τὸν Σαοὺλ, ὃ κατεπῇδε Δαβὶδ ψάλλων μετὰ κινύρας. Καὶ ὁπλοφόρος τῷ Σαοὺλ ἐχρημάτιζεν. Περὶ τῶν ἐπελθόντων ἀλλοφύλων τοῖς Ἰσραηλίταις· καὶ περὶ Γολιὰθ. Καὶ ὅπως ὁ Δαβὶδ αὐτὸν ἐκίνησε. Καὶ περὶ τῶν ὅπλων τοῦ Γολιάθ. Ὁ Δαβὶδ βαρρεῖν λέγει ἐπὶ τῷ ἐνισχύσαντι αὐτὸν κατὰ τῆς ἄρκτου καὶ κατὰ τοῦ λέοντος. Ὅτι ἄοπλος προσέβαλε Δαβὶδ τῷ Γολιὰθ, μόνους πέντε λίθους φέρων, καὶ τὴν σφενδόνην. Ὅπως λίθῳ διὰ σφενδόνης τὸν Γολιὰθ κατέβαλε Δαβὶδ, καὶ ἀνεῖλεν αὐτὸν τῇ οἰκείᾳ ῥομφαίᾳ αὐτοῦ. Καὶ οὕτως ἥττωνται οἱ ἀλλόφυλοι.

Ν. XXX. Ὅτι ἀνέθετο Δαβὶδ τὴν ῥομφαίαν τοῦ Γολιὰθ τῷ Θεῷ. Ὅπως φθονῆσαι τὸν Δαβὶδ ἐκινήθη Σαούλ. Ὅπως ἔψαλλε Δαβὶδ ἐπὶ Σαοὺλ δαιμονιζομένῳ, ὁ δὲ ἐπεχείρησε βάλλειν τῷ δόρατι, καὶ ἠτύχησεν. Ὅτι ἦρα Δαβὶδ ἡ θυγάτηρ Σαοὺλ, καὶ ὑπέσχετο τὸν γάμον, εἰ ἑκατὸν ἀκροβυστίκς ἐνέγκοι αὐτῷ Δαβίδ. Ὃ καὶ πεποίηκεν ὁ Δαβίδ. Ὅπως ἐπεβούλευεν ἀεὶ Σαοὺλ τῷ Δαβίδ. Ὅπως καὶ πάλιν ὁ Δαβὶδ ἐνίκησε τοὺς πολεμίους. Ὅπως πρὸς τὴν ἀποστολὴν τοῦ Σαοὺλ ἡ θυγάτηρ αὐτοῦ ἀντεμηχανήσατο, τὸν Δαβὶδ προπέμψασα, καὶ ἦρ αἶγὸς νεοσφαγοῦς ἐν τῇ κλίνῃ κατακρύψασα. Ὅπως διαφόρως προεφήτευον τότε πολλοί. Ὅτι εἴρηται τὸ, Εἰ καὶ Σαοὺλ ἐν προφήταις.

Ν. XXXI. Αἱ φυγαὶ τοῦ Δαβίδ. Ὅπως τοὺς ἁγίους ἄρτους ἔφαγε Δαβὶδ, καὶ τὴν ῥομφαίαν τοῦ Γολιὰθ ἔλαβεν. Ὅτι μανίαν ὑπεκρίθη Δαβίδ. Περὶ Δωὴκ τοῦ δούλου Σαοὺλ, καὶ ὅπως κατήγγειλε περὶ τῶν ἄρτων καὶ τῆς ῥομφαίας. Καὶ ὅπως δι' αὐτοῦ ἐκτάνθη ὁ ἀρχιερεὺς ἐκεῖνος, καὶ τὸ γένος αὐτοῦ. Πάλιν ἐπιβουλὴ κατὰ Δαβίδ. Ὅπως διὰ τὴν τῆς γαστρὸς ἀνάγκην εἰσῆλθε Σαοὺλ εἰς τὸ σπήλαιον, » ἔνθα ἦν ὁ Δαβίδ, καὶ οὐκ ἀπέκτεινεν αὐτὸν, ἀλλ' ἔλαβε μέρος τῆς διπλοΐδος. Ὅρκος Δαβὶδ πρὸς Σαοὺλ, ὅτι οὐ κακώσει τὸ γένος αὐτοῦ.

Ν. XXXII. Περὶ Νάβαλ τοῦ ἀπανθρώπως ἀποκριναμένου πρὸς τοὺς παρὰ τοῦ Δαβὶδ σταλέντας,

καὶ περὶ τῆς γυναικὸς Νάβαλ ὅπως ἐξιλεώσατο τη- A νικαῦτα τὸν Δαβίδ. Ὅτι τὸ Νάβαλ ἀφροσύνην δηλοῖ. Ὅπως ἐκ λύπης ἀπέθανε Νάβαλ δειματωθείς, καὶ ἔλαβε Δαβὶδ τὴν γυναῖκα αὐτοῦ. Καὶ ὅπως ἐπεβούλευσεν αὐτὸν Σαούλ. Ὅπως κοιμωμένῳ τῷ Σαοὺλ ἐπέστη Δαβίδ, καὶ οὐκ ἀνεῖλεν αὐτόν. Φακὸς ἀγγεῖον ὑδατηρόν. Περὶ τῆς ἐγγαστριμύθου, καὶ ὅπως ἔδοξεν ἀναχθῆναι Σαμουὴλ ἐκ νεκρῶν, καὶ οἷα εἶπεν ὁ ἀναχθεὶς τῷ Σαούλ. Περὶ τῶν μετὰ Δαβὶδ στρατευσαμένων τετρακοσίων, καὶ τῆς νίκης, καὶ περὶ τῶν φυγόντων ἐν δρομάσι καμήλοις, καὶ τῶν λοιπῶν διακοσίων, οὓς ἀφῆκεν εἰς φυλακὴν τῶν σκευῶν ὁ Δαβίδ. Καὶ ὅτι συμμερισταὶ τοῖς τετρακοσίοις γέγονασιν οἱ διακόσιοι, οἱ τὰ σκεύη φυλάττοντες. Θάνατος τῶν παίδων τοῦ Σαοὺλ, καὶ ὅτι ἔσφαξεν ἑαυτὸν ὁ Σαοὺλ, καὶ ὁ ὁπλοφόρος αὐτοῦ. Ὅτι μετὰ τὸ ἀποθανεῖν τὸν Σαοὺλ καὶ τοὺς παῖδας αὐτοῦ. ἀφῃρέθησαν τὰς κεφαλὰς, τὰ δὲ σώματα τούτων B ἀνεσταυρώθησαν.

## LIBER SECUNDUS.

N. I. Ὅτι ἐκύλασεν ὁ Δαβὶδ τὸν κατὰ τὸν Σαοὺλ ἐπελθόντα, καὶ τρώσαντα διὰ τὸ εἶναι χριστὸν Κυρίου. Ὅπως ὁ Ἀβεννὴρ διωκόμενος ἔπληξεν ἐξόπισθεν καιρίως τὸν διώκοντα Ἀσαὴλ καὶ ἔκτεινεν. Ὅτι ἐπὶ πολὺ ἐπολέμουν ἀλλήλοις οἱ τοῦ Σαοὺλ καὶ οἱ τοῦ Δαβὶδ, ὑπερίσχυον δὲ οἱ τοῦ Δαβίδ. Ὅτι ὁ Ἀβεννὴρ προσερρύη τῷ Δαβὶδ, καὶ ἔπεισε καὶ τοὺς λοιποὺς προσελθεῖν αὐτῷ. Ὅτι ἀνεῖλεν Ἰωὰβ τὸν Ἀβεννὴρ ἐν δόλῳ. Ἀναίρεσις Ἰεβοσθὲ υἱοῦ Σαοὺλ, καὶ ὅτι τοὺς ἀνελόντας αὐτὸν ἀνεῖλε Δαβίδ. Πότε παρὰ παντὸς τοῦ Ἰσραὴλ ἐχρίσθη εἰς βασιλέα Δαβὶδ, καὶ ὅτι τριακονταέτης ἦν, ὅτε μόνης τῆς τοῦ Ἰούδα φυλῆς ἦρξεν. Ὅτι τὴν πόλιν Ἰεβοῦς πολιορκήσας καὶ ἑλὼν ὁ Δαβὶδ, τοὺς ἐκεῖ κατοικοῦντας ἐδίωξεν. Ἐπὶ οἰκείῳ δὲ ὀνόματι ταύτην ἀνῳκοδόμησε τὴν νῦν Ἱεροσόλυμα καλουμένην.

N. II. Προσβολὴ Δαβὶδ κατὰ τῶν ἐναντίων, καὶ ἥττα αὐτῶν. Περὶ τῆς εἰς Ἱεροσόλυμα ἀπαγωγῆς τῆς Κιβωτοῦ, ὅτε καὶ ὁ Δαβὶδ ἤλατο ἔμπροσθεν αὐτῆς· Καὶ ὁ ἁψάμενος αὐτῆς τέθνηκεν, ὡς ἄνιερος. Ὅτι οὐκ ἀσχημοσύνην ἡγεῖτο Δαβὶδ τὸ ὀρχεῖσθαι καὶ ψάλλειν ἔμπροσθεν τῆς Κιβωτοῦ. Ὅτι ἐκωλύθη Δαβὶδ οἶκον κατασκευάσαι τῇ Κιβωτῷ. Περὶ ὧν ἀγαθῶν ἐποίει ὁ Δαβὶδ τῷ ἐγγόνῳ Σαούλ.

N. III. Περὶ τῶν διὰ παρηγορίαν ἀποσταλέντων παρὰ τοῦ Δαβὶδ πρὸς τὸν υἱὸν τοῦ βασιλέως Ἀμμανιτῶν, καὶ δυξάντων κατασκόπων, καὶ ξυρηθέντων τὰς κεφαλὰς καὶ τοὺς πώγωνας. Διὸ καὶ πόλεμος ἤρθη κατὰ Ἀμμανιτῶν. Περὶ τῆς Βηρσαβεὲ, καὶ ὅπως ἠράσθη αὐβῆς ὁ Δαβὶδ, καὶ ὅπως ἀνεῖλεν Οὐρίαν τὸν ἄνδρα αὐτῆς. Ὅτι μετὰ τὰ κατὰ τὸν Οὐρίαν ἔλαβε τὴν Βηρσαβεὲ ὁ Δαβὶδ εἰς γυναῖκα, καὶ ὅπως ὁ Νάθαν διὰ παραβολῆς ἤλεγξεν αὐτὸν, καὶ τὴν διὰ τοῦτο ὀργὴν τοῦ Θεοῦ προεῖπε. Καὶ ὅτι συνῆκε Δαβὶδ, καὶ μετενόησεν. Περὶ τῆς νόσου τοῦ ἐκ τῆς Βηρσαβεὲ υἱοῦ τοῦ Δαβὶδ, καὶ ὅπως ἐν τῷ νοσεῖν ἐπένθει αὐτὸν Δαβίδ. Καὶ ὅπως μετὰ θάνατον τοῦ πένθους ἐπαύσατο. Περὶ Σολομῶντος, ὃν ἐκ τῆς Βηρσαβεὲ ἔσχε Δαβίδ. Περὶ τοῦ πολυτίμου στεφάνου, ὃν ἔλαβε Δαβὶν πορθήσας Ἀμμανίτας.

N. IV. Περὶ τοῦ ἔρωτος ὃν ἔσχε πρὸς Θάμαρ τὴν ἀδελφὴν ὁ Ἀμνών. Καὶ περὶ τοῦ μίσους ὃ ἔσχε μετὰ τὸ διακορήσασθαι αὐτὴν, καὶ περὶ Ἀβεσαλὼμ, καὶ ὅπως ἠμύνατο φόνῳ τὸν ἀδελφὸν, καὶ περὶ τῆς διὰ τὸν φόνον τοῦ Ἀμνὼν φυγῆς τοῦ Ἀβεσαλὼμ, καὶ ὅτι ὠργίσθη ὁ Δαβίδ. Ὅπως Ἰωὰβ ἐσοφίσατο ἐξιλάσασθαι τὸν Δαβὶδ πρὸς τὸν παῖδα Ἀβεσαλώμ. Περὶ τῆς κατὰ τοῦ Δαβὶδ ἐπαναστάσεως τοῦ Ἀβεσαλὼμ, καὶ περὶ τοῦ Ἀχιτόφελ τοῦ συναποστάτου Ἀβεσαλώμ. Περὶ τῆς πεπλασμένης αὐτομολήσεως Χουσὶ τοῦ ἑταίρου Δαβίδ. Περὶ τῆς ἀνοχῆς Δαβὶδ ἧς ἔδειξεν ὑπὸ τοῦ Σεμεεὶ καταρώμενος.

N. V. Ὅπως ἐμίγη ταῖς τοῦ πατρὸς παλλακαῖς ὁ Ἀβεσαλώμ. Ὅπως τὴν τοῦ Ἀχιτόφελ βουλὴν ἄπρακτον ἔδειξεν Χουσί. Ὅπως ὁ Ἀχιτόφελ ἀπήγξατο. Ὅπως ἡττηθεὶς ἐδιώκετο Ἀβεσαλὼμ, καὶ ὅπως ἐκ τριχῶν ἐν δένδρῳ κατεσχέθη καὶ ἀνηρέθη. Ὅπως τὸν θάνατον τοῦ Ἀβεσαλὼμ ἐθρήνει Δαβίδ.

N. VI. Ὅπως αἱ λοιπαὶ φυλαὶ ἄνευ τῆς τοῦ Ἰούδα ἀπέστησαν ἀπὸ Δαβίδ. Ὅπως ὁ Ἰωὰβ ἀνεῖλε τὸν Ἀβεσᾶ. Περὶ τοῦ ἐπὶ ἔτη τρία κρατήσαντος λιμοῦ. Καὶ ὅπως ἐλύθη διὰ τὸ δοθῆναι εἰς φόνον ἑπτὰ ἄνδρας ἀπὸ τοῦ οἴκου Σαοὺλ κατὰ θεῖον χρησμόν. Ὅπως ἠγάπων τὸν Δαβὶδ οἱ περὶ αὐτόν. Περὶ τοῦ γιγαντιαίου ἀνδρὸς τοῦ ἔχοντος ἐν ταῖς χερσὶ καὶ ἐν τοῖς ποσὶν ἀνὰ δακτύλου ἕξ.

N. VIII. Ὅπως συνέθετο τοὺς ψαλμοὺς ὁ Δαβίδ, καὶ οἷα τὰ τοῦ ψαλμοῦ ὄργανα. Περὶ τῆς ἀπαριθμήσεως, καὶ ὅπως μετὰ ταῦτα μετεμελήθη Δαβίδ. Περὶ τῆς αἱρέσεως τῶν τριῶν, ἓν ἐξ αὐτῶν λαβεῖν, διὰ τὴν τοῦ λαοῦ ἀπαρίθμησιν. Καὶ ὅτι τὸ αἱρεθὲν κακὸν τὸ ἐπελθεῖν τῷ λαῷ θάνατον, καὶ ἐπῆλθεν ἀπὸ πρωῒ ἕως ἀρίστου. Πῶς ἔπαυσεν ὁ Θεὸς τὴν τοῦ λαοῦ φθοράν. Ὅτι καθ' ὃν τόπον ἔμελλε σφαγιάσαι Ἀβραὰμ καὶ Ἰσαὰκ, ἠβουλήθη ναὸν οἰκοδομῆσαι Δαβὶδ καὶ ἐκωλύθη παρὰ Θεοῦ. Ὅτι Δαβὶδ διὰ τὴν θέρμην νέανιδα ἐπῆγεν. Ὅτι Ἀδωνίας τέταρτος υἱὸς τοῦ Δαβὶδ ἐπεχείρησε βασιλεῦσαι. Ὅπως ἐχρίσθη Σολομῶν εἰς βασιλέα. Τί ἐνετείλατο τῷ Σολομῶντι Δαβὶδ τελευτῶν. Περὶ τοῦ τὸν ναὸν κτισθῆναι. Πόσα ἔτη ἔζησε Δαβίδ.

N. VIII. Ὅτι συνετάφη τῷ Δαβὶδ πολλὰ χρήματα. Ὅτι δωδεκαετὴς ἐβασίλευσε Σολομῶν. Ὅτι ἐζήτησεν Ἀδωνίας τὴν πολλακὴν Δαβὶδ, καὶ διὰ τοῦτο ἀνηρέθη παρὰ Σολομῶντος. Ὅπως ἀνηρέθη Σεμεεί. Ὅτι ἔλαβε Σολομῶν τὴν θυγατέρα Φαραώ. Ὅσα ἤτησε Σολομῶν τῷ Θεῷ. Περὶ τῶν προσελθουσῶν γυναικῶν, καὶ αἰτησαμένων κρίσιν περὶ τοῦ θανόντος παιδός. Ὅσα συνεγράψατο Σολομῶν. Περὶ τοῦ δακτυλίου οὗ ἡ σφραγὶς ἐδίωκε δαίμονας.

N. IX. Πότε ἤρξατο τῆς οἰκοδομῆς τοῦ ναοῦ Σολομῶν. Ὅτι ἐν ἔτεσιν ἑπτὰ συνετελέσθη ὁ ναός. Οἷα δι' ὀνείρου ἐνέφηνε Σολομῶντι Θεὸς περὶ τῶν μελλόντων· Τίνα ᾠκοδόμησε Σολομῶν. Περὶ ὧν ἔλυσεν αἰνιγμάτων Σολομῶν. Περὶ τῆς βασιλίσσης Αἰθιόπων. Ὅθεν ἐν Παλαιστίνῃ ἐφύη τὸ βάλσαμον.

N. X. Ὅτι ἀλλοφύλοις γυναιξὶν ἐμίγη Σολομῶν. Ὅτι τὴν κατὰ τοῦ Σολομῶντος ἀρὰν εἰς τὸν ἐξ αὐτοῦ ἔφη ἀποπληρῶσαι Θεός. Περὶ Ἄδερ. Περὶ Ἱεροβοάμ. Περὶ τῶν χρόνων Σολομῶντος, ὅσους ζῆσαι λέγεται.

N, XI. Περὶ Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος. Περὶ τῆς ἀποστασίας τῶν δέκα φυλῶν. Περὶ τῶν δύο δαμάλεων. Καὶ ὅπως ἐκώλυσεν εἰς Ἱερουσόλυμα πορεύεσθαι τὸν λαὸν Ἱεροβοάμ. Ὅτι Ἱεροβοάμ, θυσιάσαι ἐλθὼν, ἤκουσεν ἃ πείσεται. Περὶ τοῦ ψευδοπροφήτου τοῦ ἀπατῶντος τὸν Ἱεροβοάμ. Ὅτι πεισθεὶς ἐξενίσθη ὁ τοῦ Θεοῦ προφήτης τῷ ψευδοπροφήτῃ, καὶ ἐβρώθη παρὰ λέοντος ὑποστρέφων.

Ν. XII. Περὶ τῶν πωλούντων τὴν χάριν τοῦ πνεύματος. Περὶ ὧν προεῖπεν ἐσομένων τῇ γυναικὶ τοῦ Ἱεροβοὰμ Ἀχιά. Ἐπέλευσις Σουσακὶμ κατὰ Ῥοβοὰμ, καὶ ὅτι παρασπονδήσας ὁ Αἰγύπτιος πολλὰ χρήματα ἐτύλησεν. Περὶ τῶν χρυσῶν ὅπλων Σολομῶντος, καὶ τῶν δοράτων τῶν χρυσῶν τοῦ Δαβὶδ ἃ ἀνέθετο Θεῷ· Ἐπέλευσις Ἱεροβοὰμ, καὶ νίκη τοῦ υἱοῦ Ῥοβοὰμ. Θάνατος Ἱεροβοὰμ, οὗ διάδοχος ὁ υἱός. Ὅτι ὁ βασσὰν παγγενεὶ τὸν οἶκον Ἱεροβοὰμ ἐξωλόθρευσεν. Περὶ τοῦ εἰσδύντος εἰς τὰ βασίλεια, καὶ ἑαυτὸν κἀκεῖνα καύσαντος. Περὶ τοῦ πῶς ἐκλήθη Σαμάρ, Ὅτι οἱ τῶν Ἰσραηλιτῶν βασιλεῖς ὀλιγοχρόνιοι τότε ἦσαν διὰ τὴν παρανομίαν. Ὅτι προεῖπεν ὁ προφήτης νίκας ἔσεσθαι, καὶ λοιπὰς εὐκληρίας τοῖς ἀνθρώποις ἐκείνοις, εἰ ἀντιποιοῦνται δικαιοσύνης. Περὶ Ἀχαὰβ, ὅτι ἐν Σαμαρείᾳ ἐκέκτητο τὰ βασίλεια.

Ν. XIII. Περὶ Ἠλιοὺ, καὶ περὶ τῆς ἀνομβρίας, καὶ περὶ τοῦ τρέφεσθαι αὐτὸν ὑπὸ κόρακος, καὶ περὶ τῆς χήρας ἣ ἔτρεφε τὸν Ἠλιού. Περὶ τοῦ υἱοῦ τῆς χήρας, ὃν ἀνέστησεν Ἠλιού. Περὶ Ἀβδιοὺ, ὅτι, χρηστὸς ὤν, φεύγειν συνίγνει σὸν Ἠλιοὺ, ἵνα μὴ ἀναιρεθῇ. Περὶ ὧν ἔκρυπτεν Ἀβδιοὺ ἑκατὸν προφητῶν. Περὶ ὧν ἐπαῤῥησιάσατο Ἠλίας πρὸς Ἀχαάβ. Περὶ τῆς θυσίας τῶν ψευδοπροφητῶν, καὶ τῆς θυσίας Ἠλιού, καὶ ὅπως ἀνεῖλε τοὺς ἱερεῖς τῆς αἰσχύνης. Ὅτι εἶπεν Ἠλίας εἶναι ὑετὸν, καὶ ἐγένετο. Καὶ ὅτι ἔφυγε διὰ τὴν Ἰεζάβελ. Ὅτι τεσσαράκοντα ἡμέρας ἄσιτος ἐπορεύετο Ἠλιού. Ὅπως ἔχρισεν Ἠλίας τὸν Ἀζαὴλ εἰς βασιλέα, καὶ τὸν Ἰηοὺ, καὶ τὸν Ἐλισσαῖον εἰς προφήτην.

Ν. XIV. Περὶ τοῦ ἀμπελῶνος Ναβουθαί. Ὅπως ἐξ ἐπιβουλῆς τῆς Ἰεζάβελ ὁ Ναβουθαὶ τέθνηκε, καὶ ὅπως ἔκτοτε τὸν ἀμπελῶνα κατέσχεν Ἀχαάβ. Πρόῤῥησις Ἠλιοὺ περὶ τῆς ἀπωλείας τοῦ Ἀχαάβ παγγενεὶ διὰ τὸν φόνον τοῦ Ναβουθαί. Ὅτι διὰ τὴν μετάνοιαν τοῦ Ἀχαάβ τὰ ἠπειλημένα ὑπερθέσθαι εἶπεν ὁ Θεὸς, καὶ τελέσαι ταῦτα ἐπὶ τῷ υἱῷ αὐτοῦ. Ὅτι ὁ βασιλεὺς Συρίας ἐστράτευσε κατὰ Σαμαρείας. Ὅτι ὁ Ἀχαάβ πεισθεὶς τῷ προφήτῃ μετὰ σλβ' ἡττᾷ τὸν Ἀσσύριον, καὶ σκυλεύει αὐτοῦ τὸ στράτευμα. Ὅτι καὶ πάλιν ἐπεστράτευσε κατὰ Σαμαρείας ὁ Σύρος. Ἥττα καὶ πάλιν τῶν Σύρων. Ὅπως οἱ τοῦ Ἄδερ προσῆλθον δεδεμένοι ἑκόντες; τῷ Ἀχαάβ, καὶ ὅπως τὸν Ἄδερ μετὰ τιμῆς ἐδέξατο. Περὶ τοῦ προφήτου Μιχαίου, καὶ ὅπως ἠξίου καταχθῆναι. Ἐκστρατεία Ἀχαάβ κατὰ τῆς πόλεως Ῥεμμάν. Ὅπως προεῖπε Μιχαίας τὸν Ἀχαάβ πεσεῖσθαι ἐν Ῥεμμάν. Ὅπως ἐν τῷ πολέμῳ τοξευθεὶς Ἀχαάβ ἔθανεν. Ὅτι κατὰ τὴν πρόῤῥησιν Ἠλιοὺ τὸ αἷμα Ἀχαάβ κύνες ἔλειξαν, καὶ πόρναι ἐλούσαντο.

Ν. XV. Ὅτι τὸν Ἀχαάβ διεδέξατο ὁ υἱός. Ὅπως ἐπῆλθον κατὰ Ἱερουσαλὴμ πολέμιοι. Ὅπως τῇ κελεύσει τοῦ Θεοῦ οἱ πολέμιοι ἀλλήλους ἐφόνευσαν, καὶ οὕτως ἡ νίκη γέγονε τοῖς ἐν Ἱερουσαλήμ. Ὅτι μυῖα ἦν ἡ τῶν Ἀκκαρῶν θεὸς, καὶ ὅτι ἤρετο ταῦτα, εἰ ἀναστήσεται νοσῶν Ὀχοζίας. Καὶ ὅτι διὰ τοῦτο εἶπεν Ἠλιοὺ μὴ ἀναστῆναι αὐτόν. Καὶ ὅτι ἀπέστειλεν Ὀχοζίας ἀγαγεῖν τὸν Ἠλίαν. Ὅτι οἱ ἀποσταλέντες πυρὶ θείῳ ἐκαύθησαν. Ὅπως ἐπαύσατο Ὀχοζίας, ὃν διεδέξατο Ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ. Περὶ τῆς ἀναλήψεως Ἀλιού. Ὅπως ἐζητήθη Ἐλισσαιέ. Ὅπως ἐν ἅλατι τὰ ὕδατα ἐγλύκανεν Ἐλισσαιέ. Ὅτι ἐξ ἀρᾶς ἄρκτοι κατέφαγον τὰ παιδία. Ὅπως ἐν ἐρήμῳ ὑπῆλθεν ὁ στρατός. Ὅπως τὰ ὕδατα διὰ τὴν τοῦ Ἡλίου αὐγὴν ἐρυθρὰ ἐφαίνοντο. Ὅπως ἔθυσε Μωαβιτῶν ὁ βασιλεὺς τὸν οἰκεῖον υἱόν. Περὶ Ἰωσαφάτ.

Ν. XVI. Ὅπως Ἐλισσαῖος ἐπλήθυνε τὸ ἔλαιον τῇ χρεωστούσῃ γυναικί. Ὅτι ἐγεννήθη ὁ παῖς, καθὼς προεῖπεν Ἐλισσαιὲ, καὶ ὅτι τεθνηκότα τὸν παῖδα πάλιν ἀνέστησεν Ἐλισσαῖος. Ὅτι διὰ μεστρίων ἄρτων Ἐλισσαῖος πλῆθος ἐχόρτασε πολύ. Ὅπως προσήγαγε χρήματα τῷ Ἐλισσαίῳ Νεεμὰν, ἵνα τῆς λέπρας λυτρωθῇ. Ὅτι κατ' ἐντολὴν τοῦ προφήτου εἰς τὸν Ἰορδάνην ἐλούσατο Νεεμὰν, καὶ ἐκαθαρίσθη. Περὶ τῆς εἰς τὸ ὕδωρ πεσούσης ἀξίνης. Καὶ ὅπως ἀνέδυ διὰ τοῦ ξύλου. Περὶ τοῦ ληψομένου λαοῦ τὸν Ἐλισσαῖον. Ὅπως ἤγαγεν αὐτοὺς εἰς μέσους τοὺς πολεμίους, καὶ ὅπως πάλιν ἐῤῥύσατο τούτους, καὶ ὅπως εἶδεν αὐτὸν ὁ οἰκεῖος διάκονος πυρίνοις ἅρμασι κεκυκλωμένον.

Ν. XVII. Ὅτι ἐν καιρῷ λιμοῦ ἡ κεφαλὴ τῆς ὄνου πολλοῦ ἐπωλεῖτο. Περὶ τῆς ἐγκαλούσης γυναικὸς, ὅτι μὴ πείθεται ταῖς συνθήκαις. Ὅτι προεῖπεν Ἐλισσαῖος τὴν τῶν ἐναντίων καταστροφήν. Ὅπως ἀθρόον οἱ Σύροι ἠττήθησαν. Περὶ τῶν λεπρῶν, οἳ κατεμήνυσαν τὴν τῶν ἐναντίων ὑποχώρησιν. Ὅτι μετὰ τὴν τῶν πολεμίων ὑποχώρησιν ἄφθονα γέγονε τὰ ἀναγκαῖα. Ὁ δὲ ἀπιστήσας τῇ προῤῥήσει τοῦ προφήτου συμπατηθεὶς τέθνηκε, καὶ οὐκ ἔφαγε κατὰ τὴν πρόῤῥησιν Ἐλισσαίου. Ὅτι προεῖπεν ὁ προφήτης τῷ Ἀζαὴλ τὴν βασιλείαν Συρίας. Ὅτι Ἀζαὴλ ἔπνιξε τὸν βασιλέα Δαμασκοῦ, καὶ ἐκράτησεν.

Ν. XVIII. Ὅτι προεῖπε τῷ Ἰωρὰμ ὁ προφήτης τὰ ἐσόμενα τούτῳ κακὰ διὰ τὴν ἀσέβειαν αὐτοῦ. Ὅτι διὰ τοῦ μαθητοῦ τοῦ προφήτου ἐχρίσθη εἰς βασιλείαν Ἰηοῦς, ἵνα τὸ γένος Ἀχαὰβ ἀπολέσῃ. Ὅτι βέλει κτείνει τὸν Ἰωρὰμ Ἰηοῦς, καὶ ἔπεσεν ὁ νεκρὸς εἰς τὸν τοῦ Ναβουθαὶ ἀγρὸν, καθὼς προεῖπεν Ἠλιού. Ὅτι καὶ Ἰεζάβελ ἄνωθεν ῥιφεῖσα τέθνηκε, καὶ διεσπάσθη τὸ σῶμα αὐτῆς ὑπὸ κυκῶν. Ὅτι οἱ παῖδες Ἀχαὰβ πάντες ἀπετμήθησαν, καὶ πᾶσα ἡ συγγένεια αὐτοῦ. Ὅπως οἱ ἱερεῖς καὶ οἱ προφῆται τοῦ Ἀχαὰβ πάντες ἀνῃρέθησαν, καὶ ὁ οἶκος τοῦ Βαὰλ ἐκαύθη, καὶ ἡ στήλη αὐτοῦ.

Ν. XIX. Ὅτι διὰ τὸν ἀφανισμὸν τοῦ γένους Ἀχαὰβ ἐπηγγείλατο ὁ Θεὸς μακρὰν τὴν βασιλείαν τῷ γένει τοῦ Ἰηοῦ. Καὶ ὅτι ἡ Γοθολία ἀνεῖλε πάντας τοὺς τοῦ γένους Δαβὶδ, πλὴν ἑνός. Ὅπως ὁ περιλειφθεὶς τοῦ γένους Δαβὶδ ἀνεψυρεύθη βασιλεύς. Ὅπως ἀνῃρέθη ἡ Γοθολία. Ὅτι ἑπταετὴς ἦν ὁ ἐκ γένους Δαβὶδ τότε βασιλεύσας. Περὶ τοῦ κιβωτίου, οὗ τὸ πῶμα τετρημένον ἦν, καὶ ἐνέβαλε διὰ τῆς ὀπῆς ἕκαστος κατὰ δύναμιν εἰς τὸν ἀνακαινισμὸν τοῦ ναοῦ. Ὅτι ἑκατὸν τριάκοντα ἔτη ἐβίω Ἰωδαέ. Ὅτι ὁ υἱὸς Ἰωδαὲ Ζαχαρίας ἐλέγχων τὸν βασιλέα ἀνῃρέθη.

Ν. XX. Ὅτι ὀνήσκων Ἐλισσαιὲ ἐθρηνεῖτο παρὰ βασιλέως Ἰωάς. Περὶ τοῦ ῥιφέντος παρὰ τῶν λῃστῶν εἰς τὸν τάφον Ἐλισσαιὲ, καὶ ζήσαντος. Τελευτᾷ Ἰωὰς, ὃν διεδέξατο Ἀμεσίας ὁ υἱὸς, καὶ ἐκόλασε τοὺς τὸν πατέρα ἀνελόντας, τοὺς δ' υἱοὺς αὐτῶν ἀφῆκεν. Ὅτι Ἀμεσίας ὑπερηφανευσάμενος ἐμήνυσε δρυμέα πρὸς τὸν βασιλέα Ἰσραήλ. Ὁ δὲ ταπεινοφρονεῖν αὐτῷ ἀντεμήνυσε διὰ παραδείγματος. Ὅτι ὁ Ἰωὰς αὐτῷ νικᾷ Ἀμεσίαν.

Ν. XXI. Περὶ τοῦ προφήτου Ἰωνᾶ, καὶ ὅτι ἀπεστάλη εἰς Νινευίτας, καὶ ὅτι ὁ κλῆρος ἐπὶ τὸν Ἰωνᾶν ἔπεσεν. Ὅπως ὁ τῆς Νινευὶ βασιλεὺς καὶ ὁ λαὸς ἅπας μετενόησαν. Περὶ τοῦ Ὀζίου, ὅπως ὡς

ἱερεὺς θυμιάσαι ἐπιχειρήσας ἐλεπρώθη. Περὶ τοῦ προφήτου Ναούμ.

Ν. XXII. Ὅτι Φακεὲ πολλοὺς αἰχμαλώτους εἰς Σαμάρειαν ἤγαγεν, εἶτα τούτους ἀπέλυσεν ὡς ὁμοφύλους. Ὅτι σφόδρα ἠσέβησεν Ἄχάζ. Ὅτι εὐσεβὴς ἦν Ἐζεκίας. Πολιορκία καὶ κατάσχεσις Σαμαρείας. Ὅτι μετῳκίσθησαν οἱ Σαμαρεῖται ἀπὸ Σαμαρείας. Ὅτι ἐγκατῳκίσθησαν ἐκεῖ οἱ Χουθαῖοι. Μετὰ δὲ τὴν κατοίκησιν λέοντες τούτους διέφθειραν· διὸ καὶ ἐπείσθησαν τῷ Θεῷ προσελθεῖν.

Ν. XXIII. Πότε Σεναχηρεὶμ ἐστράτευσε κατὰ τῆς Ἰουδαίας. Ῥήματα Ῥαψάκου πρὸς Ἐζεκίαν, καὶ ὅτι οὗτος, τὸν Θεὸν ἐπικαλεσάμενος, ἐνίκησε κατὰ τὴν πρόῤῥησιν Ἡσαΐου. Ὅτι διὰ νυκτὸς ἄγγελος ἀνεῖλεν ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν ἐναντίων. Περὶ τῶν μυῶν τῶν φαγόντων τὰ τόξα τῶν Ἀσσυρίων, καὶ τὰ λοιπὰ ὅπλα. Περὶ τῶν ἐν μιᾷ νυκτὶ διὰ λοιμώδους νόσου ἀναῤῥεθέντων Ἀσσυρίων μυριάδων πολλῶν. Ἀναίρεσις Σεναχηρείμ. Νόσος Ἐζεκίου, καὶ προφητεία Ἡσαΐου ὅτι θνήσκει. Καὶ μετάνοια Ἐζεκίου, καὶ προσθήκη αὐτοῦ τῆς ζωῆς. Καὶ περὶ τοῦ ἀναποδισμοῦ τοῦ ἡλίου ὃν ἐποίησεν Ἡσαΐας. Ὅτι Ἐζεκίας ἤνοιξε τοὺς θησαυροὺς αὐτοῦ, καὶ τὰ ὅπλα τοῖς πρέσβεσι τοῦ βασιλέως Βαβυλωνίων. Καὶ ὅτι Ἡσαΐας ἡτιάσατο τοῦτο. Θάνατος Ἐζεκίου. Ἀνάῤῥησις Μανασσῆ, καὶ Βαβυλωνίων ἐπέλευσις καὶ νίκη. Ὅτι μετανοήσας Μανασσῆς ἐκυτριώθη τῆς αἰχμαλωσίας.

Ν. XXIV. Περὶ τῆς προφήτιδος Ὁλδα. Ὅτι ὅρκον ἀπῃτήθη ὁ λαὸς φυλάττειν τοὺς νόμους Θεοῦ. Ὅτι τοξευθεὶς Ἰωσίας τέθνηκεν. Περὶ τοῦ προφήτου Ἱερεμίου. Περὶ Ναβουχοδονόσορ. Περὶ ὧν προεῖπεν Ἱερεμίας. Ὅτι ὁ Βαβυλώνιος ἠχμαλώτευσε μετὰ τοῦ λαοῦ καὶ τὸν προφήτην Ἰεζεκιήλ. Ὅτι Ἰωακεὶμ παραδεδωκεν ἑαυτὸν ὑπὲρ τῆς πόλεως.

Ν. XXV. Ὅπως τῆς Ἱερουσαλὴμ ὁ Σεδεκίας ἐβασίλευσεν. Περὶ τῶν δοκουμένων διαφωνιῶν τῶν προφητῶν, καὶ ὑπως ὁμόφωνοι εὑρέθησαν. Ὅτι ὁ Σεδεκίας τυφλωθεὶς οὐκ εἶδε τὴν Βαβυλῶνα. Περὶ ὧν προεῖπεν Ἱερεμίας ἐσομένων κακῶν. Ἡ δευτέρα ἐπέλευσις τῶν Βαβυλωνίων κατὰ Ἱερουσαλὴμ, καὶ ὅπως τὰ ἐσόμενα εἴδὼς Ἱερεμίας παρεκάλει τὸν λαὸν δέξασθαι τοὺς Βαβυλωνίους. Ὅπως εἰς λάκκον ὁ προφήτης ἐνεβλήφη. Κατάσχεσις τῆς Ἱερουσαλὴμ παρὰ τῶν Βαβυλωνίων. Ὅτι ἐζωγρήθη Σεδεκίας παγγενεὶ, καὶ ἀτυφλώθη. Οἱ δὲ ἐκείνου ἀνῃρέθησαν. Ὅπως ὁ Ναβουζαρδὰν τὸν ναὸν, τὰ βασίλεια, καὶ τὴν πόλιν κατέσκαψεν.

## LIBER TERTIUS.

Ν. I. Ὅτι ὁ Ἰσραὴλ τὸν Γυδολίαν ἀπέκτεινεν. Φυγὴ πρὸς Αἰγυπτίων τῶν Ἰουδαίων, ἀγόντων καὶ τὸν Ἱερεμίαν καὶ τὸν Βαρούχ. Ὅτι λίθοις τέθνηκεν Ἱερεμίας. Πότε αἱ δέκα φυλαὶ ἤχθησαν εἰς Σαμάρειαν. Πότε αἱ δύο παρὰ Ναβουχοδονοσορ ἠχμαλωτίσθησαν.

Ν. II. Περὶ τῶν εὐνουχισθέντων αἰχμαλώτων παρὰ τοῦ Βαβυλωνίου. Περὶ Δανιὴλ καὶ τῶν τριῶν παίδων. Ὅπως οὐκ ἐκρεωφάγησαν οἱ παῖδες καὶ ὁ Δανιήλ. Ὅτι τὴν Χαλδαϊκὴν παιδείαν ἔμαθον οἱ παῖδες καὶ ὁ Δανιήλ. Περὶ τοῦ ἐνυπνίου Ναβουχοδονόσορ. Ὅπως ἱκέτευον οἱ παῖδες τὸν Θεὸν ἀποκαλυφθῆναι αὐτοῖς τὸ ἐνύπνιον. Διήγησις τοῦ ἐνυπνίου καὶ κρίσις. Ποίας βασιλείας εἰκόνιζεν ἡ εἰκὼν ἡ ὀφθεῖσα τῷ Ναβουχοδονόσορ.

Ν. III. Ὅτα νῦν ἡ τῶν Ῥωμαίων βασιλεία, οὐκ ἰσχυρὰ ὡς τὸ πρότερον. Δι' ἣν αἰτίαν ἡ τῶν Ῥωμαίων βασιλεία φιδήρῳ εἰκονίσθη ἀναμεμιγμένῳ μετὰ ἀστράκου. Τί δηλοῖ ὁ λίθος, ὃς τὴν εἰκόν κατέλυσεν; Χρῆσις ἐκ τῆς Γραφῆς, ὅτι λίθος ὁ Χριστός. Ὅτι ὄρος ἡ τοῦ Ἰούγα φυλὴ, καὶ λίθος ὁ Χριστός. Καὶ τὸ ἄνευ χειρῶν τμηθῆναι ἡ ἄνευ ἀνδρὸς γέννησις. Ὅτι δώροις ἐδεξιώσατο τὸν Δανιὴλ ὁ Ναβουχοδονόσορ, καὶ Βαλτάσαρ τοῦτον μετωνόμασεν.

Ν. IV. Περὶ τῆς εἰκόνος ἧς ἔστησε Ναβουχοδονόσορ εἰς τὸ προσκυνηθῆναι. Περὶ τοῦ ἀγγέλου ὃς τέταρτος ὤφθη μετὰ τῶν παίδων. Ὅπως ἐτιμήθησαν οἱ τρεῖς παῖδες. Ἐνύπνιον ἕτερον τοῦ Ναβουχοδονόσορ περὶ τοῦ δένδρου. Πάλιν ἀγνοεῖ τὸν ὄνειρον, καὶ καλεῖ τοὺς εἰπεῖν αὐτῷ μέλλοντας. Καὶ καλεῖ τὸν Δανιὴλ, ὃς καὶ ἔκρινε τοῦτο. Ὅτι τὸ Ἴρ ἄγγελον δηλοῖ, τοῦτ' ἔστι τὸν ἐγρηγορότα. Ὅτι μανίαν νοσήσας ὁ Ναβουχοδονόσορ ἐν τῇ ἐρήμῳ ὡς θηρίον διέτριβεν. Ὀνόματα τῶν ἀρχαίων ἱστορικῶν.

Ν. V. Τίς διεδέξατο τὸν Ναβουχοδονόσορ, καὶ ἑξῆς περὶ Βαλτάσαρ. Καὶ ὅπως ἐχρήσατο τοῖς ἱεροῖς τῶν Ἰουδαίων σκεύεσιν. Περὶ τοῦ ἀστραγάλου τῆς χειρὸς, ὃν εἶδεν ἐν τῷ δοίχῳ Βαλτάσαρ. Ὅπως ὁ Δανιὴλ διασαφεῖ τῷ Βαλτάσαρ τὸν θεαθέντα ἀστράγαλον. Τί σημαίνει τὰ γραφέντα διὰ τοῦ ἀστραγάλου. Ὅτι, Κύρου ἐπελθόντος κατὰ Βαλτάσαρ, ἀνῃρέθη Βαλτάσαρ, Ὅτι τὸν Δανιὴλ ὁ Δαρεῖος εἰς Μηδίαν μετήγαγε μετὰ τὴν τῆς Βαλυλῶνος ἅλωσιν. Ὅτι ὁ Δαρεῖος καὶ Κυαξάρης ἐκαλεῖτο. Ὅτι διὰ τὸ δόξαι παραβῆναι τὸν τεθέντα τότε νόμον περὶ τοῦ μὴ εὔξασθαι, ὁ Δανιὴλ ἐνεάλῃθη εἰς τὸν λάκκον μετὰ τῶν λεόντων. Ὅτι οἱ κατὰ τοῦ Δανιὴλ εἰπόντες ἐνεβλήθησαν εἰς τὸν λάκκον τῶν λεόντων.

Ν. VI. Περὶ τοῦ ἐνυπνίου ὃ εἶδεν ὁ Δανιὴλ, ἤτοι τῶν τεσσάρων θηρίων τῶν ἀπὸ τῆς θαλάσσης ἀναβάντων· καὶ ὅτι τὸ πρῶτον ἦν λέαινα. Τὸ δεύτερον ἄρκτος. Τί ἐστι τὸ εἶδος τῆς τιμωρητικῆς σκαφεύσεως. Τίνας ὁ Κῦρος, καὶ τίνας ὁ Καμβύσης, καὶ τίνας ὁ Δαρεῖος ὑπέταξε, καὶ τίνας ὁ Ξέρξης. Τὸ δὲ τρίτον Πάρδαλις. Τίνες δ' οἱ διαδεξάμενοι τὴν τοῦ Ἀλεξάνδρου ἀρχήν.

Ν. VII. Τί τὸ τέταρτον θηρίον. Εἰς τί ἐπὶ τῆς Ῥωμαϊκῆς βασιλείας τὸ ἐσθίειν καὶ λεπτύνειν ἐξείληπται. Περὶ τοῦ Ἀντιχρίστου. Περὶ τοῦ ἀφθέντος Δανιὴλ παλαιοῦ τῶν ἡμερῶν. Περὶ τῆς ἀπωλείας τοῦ Ἀντιχρίστου. Περὶ τῆς δευτέρας παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ.

Ν. VIII. Περὶ τῆς ἑτέρας ἁπτασίας τοῦ Δανιήλ, Ἦν δ' αὕτη κριὸς κερασφόρος, καὶ τὰ ἑξῆς. Ὅτι τὰ Σοῦσα μητρόπολις ἦν τῶν Περσῶν. Ὅτι Καμβύσης παῖς Κύρου, καὶ τοῦτον διεδέξαντο Μάγοι, καὶ τούτους ὁ Ὑστάσπου Δαρεῖος. Περὶ τοῦ τράγου ὃν εἶδε Δανιὴλ. καὶ τί ἐσήμαινε. Ὅτι Ἀλέξανδρος τῶν Περσῶν καὶ Μήδων βασιλεὺς κατέστη, καὶ Δαρεῖον ἥττησε, συλλαβὼν τὴν γυναῖκα αὐτοῦ καὶ τὰς θυγατέρας. Ὅτι Περσαι καὶ Μῆδοι κατέλυσαν τὴν βασιλείαν Ἀσσυρίων. Περὶ τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καὶ τῆς αὐτοῦ κατὰ Ἱερουσαλὴμ ἐπελεύσεως, καὶ ὧν ἐποίησεν ἐκεῖ. Ἑσπέρα σημαίνει τὴν ἀρχὴν τῶν ἀνιαρῶν, ἢ τὸν ὅλον χρόνον καθ' ὅσον ταῦτα.

Ν. IX. Ὅτι ὤφθη τῷ Δανιὴλ ὁ ἄγγελος Γαβριήλ. Διὰ τί ἐκλήθη Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν. Ὅτι ἑκάστην ἡμέραν εἰς ἐνιαυτὸν ἐλογίσαντο. Ὅτι τὸ σφραγίσαι τοῦ πανθῆναι σημαντικόν. Πότε ἤρξατο ὁ

ναὸς τῶν Ἰουδαίων οἰκοδομεῖσθαι μετὰ τὴν αἰχμαλωσίαν· Ὅτι ἡγούμενος ἐκλήθη ὁ Χριστός.

Ν. Χ. Ὅτι οἱ Ἑβραῖοι κατὰ τὸν σεληνιακὸν δρόμον μετροῦσι τὸν ἐνιαυτόν, ἔχοντες αὐτὸν ἡμερῶν τριακοσίων καὶ πεντήκοντα. Ὅτι τὸ παράνομον χρίσμα τῶν ἱερέων οὐδὲν δοκεῖ.

Ν. ΧΙ. Ἰουδήθ. Ὅτι τὰ Ἐκβάτανα βασίλεια τῶν Μήδων ἦσαν, Περὶ Ἀχιὼρ τοῦ συμβουλεύσαντος τῷ Ὀλοφέρνῃ μὴ στρατεῦσαι κατὰ Ἰουδαίων, καὶ ὅπως αὐτὸν ὁ Ὀλοφέρνης παρέδωκε τοῖς Ἰουδαίοις, ἐλπίζων καὶ αὐτὸν συλλαβεῖν μετ' αὐτὸν καὶ κολάσασθαι. Ὅτι ἐστενοχωρήθησαν οἱ Ἑβραῖοι δ' ἔνδειαν ὕδατος.

Ν. ΧΙΙ. Οἵα ἦν Ἰουδήθ. Ὅτι ἐξῆλθε πρὸς Ὀλοφέρνην ἡ Ἰουδὴθ στολισαμένη λαμπρῶς, καὶ ἀποβαλλομένη τὴν τῆς χηρείας στολήν. Προρρήσεις τῆς Ἰουδὴθ περὶ τῆς Ὀλοφέρνου σφαγῆς. Ὅτε ἀπῆλθε πρὸς τὸν Ὀλοφέρνην. Ὅτι ἀρχαῖον ὡς ἔοικε τοῖς εὐνούχοις τὸ ὑπηρετεῖν εἰς τοιαῦτα. Τί ἐστιν ἀκινάκης, καὶ ὅτι δι' αὐτοῦ ἀνῃρέθη ὁ Ὀλοφέρνης. Ὅπως εἰσῆλθε πάλιν εἰς τὴν πόλιν Ἰουδὴθ μετὰ τῆς κεφαλῆς Ὀλοφέρνου, καὶ οἷα συνεβούλευσε μετὰ ταῦτα γενέσθαι. Περιτομὴ Ἀχιώρ. Ἴττα κατὰ Ἀσσυρίων, Ὅτι Ἰουδὴθ ἐστεφανώθη ἐλαίας θαλλῷ, καὶ ᾖσεν ᾠδὴν τῷ Θεῷ, ᾧ καὶ ἀνέθετο τὴν Ὀλοφέρνου σκηνήν.

Ν. ΧΙΙΙ. Τωβίτ. Ὅτι ἡ Νινευὶ τῶν Ἀσσυρίων μητρόπολις. Τύφλωσις Τωβίτ· Ὅτι δικαιότατος ὁ Τωβίτ, ὃς καὶ ἐν πενίᾳ τοῦ δικαίου ἐφρόντισεν. Περὶ Σάρρας ἧς, τοὺς ἄνδρας ἀπέπνιγε τὸ συνὸν αὐτῇ δαιμόνιον, ὡς ἐρῶν αὐτῆς. Περὶ τοῦ ἀρχαγγέλου Ῥαφαήλ. Ὅπως ὁ υἱὸς Τωβίτ Ἰουδίας ἀπεστάλη παρὰ τοῦ πατρὸς ἐπὶ τὸ λαβεῖν τὴν παρακαταθήκην, καὶ ὅπως Ῥαφαὴλ ὁ ἀρχάγγελος ὡδήγησεν αὐτόν. Περὶ τοῦ ἰχθύος οὗ τὸ ἧπαρ καὶ τὴν χολὴν ἐκελεύσθη Τωβίας φυλάττειν, καὶ ἐδιδάχθη εἰς τί ταῦτα συντελεῖ.

Ν. ΧΙΥ. Ὅτι Ἀζαρίαν μετωνόμασεν ἑαυτὸν ὁ ἄγγελος Ῥαφαήλ· Ὅπως ὁ Τωβίας ἴάσατο τὰ λευκώματα τοῦ πατρός. Ὅτι ὁ Ῥαφαὴλ ἀπήγγειλε τῷ Τωβὶτ ἄγγελος εἶναι Θεοῦ, καὶ ἀποσταλῆναι πρὸς αὐτούς. Διήγησις τῶν ἐσομένων Νινευὶ τῇ πόλει κατὰ τὴν προρρήσιν Ἰωνᾶ ἀπὸ Τωβὶτ πρὸς Τωβίαν τὸν υἱὸν αὐτοῦ Ἱερουσαλήμ. Ὅτι ἑκατὸν πεντήκοντα καὶ ὀκτὼ ἐτῶν γενόμενος Τωβὶτ τέθνηκεν. Ὅτι τὰ Ἐκβάτανα πόλις τῆς Μηδίας ἐστίν.

Ν. ΧΥ. Περὶ τῆς βασιλείας Μήδων καὶ Περσῶν, καὶ ὅτι Ἀστυάγης ἦρχε Μήδων, ὁ Καμβύσης δὲ Περσῶν. Ὅπως οἱ Πέρσαι ἐπολιτεύοντο λίαν ἐννόμως καὶ δικαίως. Ὅπως οἱ παῖδες παρὰ Πέρσαις διῆγον. Ὅτι μέχρι τοῦ ἑπταικαιδεκάτου ἐνιαυτοῦ παῖδες ἐλέγοντο, ἐξῆς δι' ἕψηβοι. Ὅπως περὶ τὴν θήραν ἠσχόληντο Πέρσαι. Ὅτι ἔστιν οὗ καὶ κάρδαμον εἶχον ὄψον. Ὅτι κε' ἐτῶν οἱ τέλειοι ἦσαν. Ὅτι μετὰ τὰ πεντήκοντα ἔτη εἰς τοὺς γηραιοὺς ἐτάττοντο, καὶ οὐκέτι ἐστρατεύοντο, ἀλλ' ἐδίκαζον. Ὅτι τοῖς Πέρσαις αἰσχρὸν τὸ ἔχειν περιττώματα.

Ν. ΧΥΙ. Ὅτι μητροπάτωρ Κύρου ὁ Ἀστυάγης ἄρχων μὲν Μήδων, πενθερὸς δὲ Καμβύσου ἄρχοντος Περσῶν καὶ πατρὸς Κύρου, καὶ ὅτι ἕτεροι Ἀσσύριοι, καὶ ἕτεροι Σύροι. Ὅτι ὁ τῶν Ἀσσυρίων βασιλεὺς πολλῶν κρατήσας ἐθνῶν, καὶ κατὰ Μήδων ἐστράτευσεν. Ὅτι πρὸς Κυαξάρην ἄρχοντα Μήδων τὸν καὶ Δαρεῖον ὁ Καμβύσης ὁ ἄρχων Περσῶν Κῦρον τὸν υἱὸν ἀπέστειλε σύμμαχον κατὰ Ἀσσυρίων. Ὅτι λιτότητι οἱ Πέρσαι χαίρουσι. Ὅπως ὁ Κῦρος ἠθέλησε κατὰ Ἀρμενίων ἐλθεῖν. Ὅτι ἐγγίζουσι τὰ ὅρια Μήδων καὶ Ἀρμενίων. Περὶ Χρυσάντα, καὶ ὅπως πρὸς τὸν Ἀρμένιον ἀπῆλθεν ὁ Κῦρος. Ὅτι οὐκ ἦν πόλις ἐν Ἀρμενίᾳ. Ὅτι ἐάλωσαν πάντες οἱ οἰκεῖοι τοῦ Ἀρμενίου καὶ αὐτὸς προσῆλθεν.

Ν. ΧΥΙΙ. Ὅπως ὁ Κύρος λαβὼν χρήματα παρὰ τοῦ Ἀρμενίου, καὶ συμμαχίαν, διέλυσε τὴν μάχην. Ὅτι ὅμοροι Ἀρμένιοι καὶ Χαλδαῖοι. Συνέλευσις Μήδων καὶ Ἀσσυρίων εἰς πόλεμον. Τί ἐστι παρασάγγης. Συμβολὴ Περσῶν καὶ Μήδων μετὰ Ἀσσυρίων, καὶ ἥττα Ἀσσυρίων. Ὅτι ἀφέντες νυκτὸς οἱ Ἀσσύριοι ἔφυγον, καὶ Κῦρος, σὺν Κυαξάρῃ διέβησαν τὸ τῶν Ἀσσυρίων χαράκωμα καὶ ὁ Κῦρος ἐδίωξεν ὀπίσω αὐτῶν, προσελθόντων αὐτῷ καὶ τῶν Ὑρκανίων, οὓς συνομόρους εἶχον καὶ συμμάχους Ἀσσύριοι. Ὅτι κατέλαβε τοὺς Ἀσσυρίους ὁ Κῦρος, οἱ δὲ καὶ ἔτι ἔφευγον·

Ν. ΧΥΙΙΙ. Ὅτι καὶ γυναῖκες εἵποντο Κροίσῳ τῷ σύμμάχῳ τῶν Ἀσσυρίων. Ἅμαξαι καὶ Ἁρμάμαξαι. Ὅτι, ὡς ἔοικε, μέχρι τότε οὐκ ἦν παρὰ Πέρσαις ἱππικόν. Τί διελέχθη πρὸς τοὺς αἰχμαλώτους Ἀσσυρίους ὁ Κῦρος. Διαμερισμὸς τῶν ἐξ Ἀσσυρίων λαφύρων, ἐξ ὧν τοὺς ἵππους οἱ Πέρσαι ἔλαβον, ἵνα καὶ αὐτοὶ ἱππεῖς γένωνται, μὴ πρὶν ὄντες.

Ν. ΧΙΧ. Περὶ προσελεύσεως Γωβρύου πρὸς Κῦρον. Ὁ δὲ Γωβρύας Ἀσσύριος ἦν. Ὅρα, εἰς ὅρκου τύπον τὸ λαμβάνειν καὶ διδόναι τὴν δεξιάν. Τὰ ἐπινεμηθέντα τῷ Κύρῳ λάφυρα, ἐν οἷς ἦν καὶ ἡ τοῦ Ἀβραδάτου γυνή. Ὅτι εἰς Βαβυλῶνα ἔρχεται πάλιν Κῦρος κατὰ Ἀσσυρίων. Ὅτι ἐζήτησε Κῦρος μονομαχῆσαι μετὰ τοῦ ἄρχοντος Βαβυλῶνος. Ὁ δέ εἰπε, μὴ εἶναι παρεσκευασμένος, καὶ ἀνέμεινε τὴν παρασκευὴν ἐκείνου Κῦρος. Περὶ Γαδάτα, ὃς εὐνοῦχος ὢν ἦρχεν. Προσέλευσις πρὸς Κῦρον τοῦ Γαδάτα ὃς τῶν Ἀσσυρίων ἦν. Ἑτέρων ἐθνῶν προσέλευσις πρὸς Κῦρον. Ὅτι ἀρχαῖον τοῖς βασιλεῦσι τὸ, δέσποτα.

Ν. ΧΧ. Ὅπως εὐζώνως ἐξήλασε Κῦρος συμμαχῆσαι Γαδάτᾳ, καὶ ὅπως αὐτὸν ἀνελπίστως ἐρρύσατο τῆς ἐνέδρας. Ἴττα Καδδουσίων συμμάχων Κύρου. Δῶμα παρὰ Γαδάτου τῷ Κύρῳ, ἐν οἷς καὶ ἵπποι, δι' ὧν μυρίους τοὺς οἰκείους ἵππεῖς ὁ Κῦρος ἐποίησεν. Ὅτι φρούρια κατέσχε Σύρων ἐν μεθορίοις Σύρων καὶ Μήδων ὁ Κῦρος. Ὅτι ἠχθέσθη ἡ Κυαξάρης ἰδὼν τῷ Κύρῳ τῷ ἰδίῳ συμμάχῳ παρεπομένην πολλὴν δύναμιν ὑπὲρ τὴν ἑαυτοῦ, καὶ ὅπως αὐτοῦ τὴν λύπην κατέπαυσεν ὁ Κῦρος.

Ν. ΧΧΙ. Κύρου συμβουλή, ὅπως χρὴ χειμῶνος ἐπιόντος λῦσαι τὸν πόλεμον. Ὅτι ἀεὶ κοπιᾷν τοὺς οἰκείους ἤθελε Κῦρος ἵνα, φησίν, ὑγιαίνοιεν. Περὶ Ἀράσπα, καὶ ὅπως ἦρα τῆς γυναικὸς ἣν ἐφύλαττε τῷ Κύρῳ. Καὶ ὅπως αὐτῆς μὴ πεισθείσης τῷ Ἀράσπᾳ, καίτοι βιαζομένῳ ὁ Κῦρος ἔμαθε, καὶ οὐκ ὠργίσθη, ἀλλὰ συνέγνω αὐτῷ ὡς ἀνθρώπῳ, εἰπὼν καὶ θεοὺς ἐρᾶν. Ἑαυτὸν μᾶλλον, εἶπεν, αἰτιῶμαι, ὅτι συγκαθεῖρξα τῷ Ἀράσπᾳ θηρίον τοιοῦτον ἄμαχον τὴν γυναῖκα δηλονότι. Ὅτι κατὰ συμβουλὴν Κῦρος ἔδοξε φεύγειν ὁ Ἀράσπας, καὶ ἀπῆλθε πρὸς τὸν Ἀσσύριον, ἐπὶ τῷ μαθεῖν τὰ κατ' αὐτόν, καὶ ἡ Πάνθεια (τοῦτο γὰρ ὄνομα τῇ γυναικί), ἐζήτησεν ἐλθεῖν ἀντὶ Ἀράσπα εἰς φίλον Κῦρον, καὶ ὑπηρετεῖν τὸν ἄνδρα αὐτῆς Ἀβραδάταν, ὃ καὶ γέγονε. Καὶ ἐλθὼν ὁ Ἀβραδάτας, καὶ μαθὼν τὰ πρὸς τὴν γυ-

ναῖκα αὐτοῦ Πάνθειαν, καὶ τὴν σωφροσύνην Κύρου, ἡδυχαρίστει αὐτῷ.

Ν. XXII. Ἀποστολὴ χρημάτων τῷ Κύρῳ παρὰ τοῦ Ἰνδοῦ, καὶ φιλίας ἀρχή. Ὅτι εἶχε μυρίους ἱππεῖς ὁ Κῦρος, καὶ ἅρματα δρεπανηφόρα ἑκατόν, καὶ ὁ Ἀβραδάτας ἑκατόν, καὶ τὰ Μηδικὰ ἑκατόν, καὶ ὅτι ἑκάστη κάμηλος εἶχε τοξότας δύο. Πάλιν Κύρου συνέλευσις κατὰ Ἀσσυρίων. Ὅτι χιλὸς ἐνταῦθα ἡ τῶν ἀλόγων τροφή. Ὑποστροφὴ Ἀράσπου καὶ ἐγκώμιου αὐτοῦ ἀπὸ Κύρου. Ὅτι ἡ Πάνθεια τὸν ἑαυτῆς κόσμον συνέκοψεν εἰς ὁπλισμὸν τῷ ἀνδρί. Ὅτι κόσμον ἡγεῖτο τὸν ἄνδρα, καὶ οἷα αὐτῷ περισφθέρξατο ὁπλιζομένῳ, καὶ ὅπως ἠὐχαρίστει Κύρῳ, ὡς συντηρήσαντι ταύτην ἀνύβριστον. Οἷα εἶπε πρὸς Πάνθειαν ὁ ἀνήρ.

Ν. XXIII. Ὅπως ἀντέταξε τοὺς ἑαυτοῦ τοῖς τοῦ Κύρου ὁ Κροῖσος. Ὅτι ὁ παιὰν ὁρμή ἐστι πολέμου. Ὅτι αἱ κάμηλοι τοῖς ἵπποις δειλίαν ἐνέβαλον. Συμβολὴ Περσῶν καὶ Αἰγυπτίων, ἐν οἷς καὶ ὁ Ἀβραδάτας, ὃς ἐκπεσὼν τοῦ ἅρματος κατεκόπη. Ὅτι πεσών τις μαχαίρᾳ τὸν ἵππον τοῦ Κύρου ἔπληξε, καὶ οὕτως ὁ Κῦρος ἐκ τοῦ ἵππου κατεβλήθη. Ὅτι κυκλωθέντες οἱ Αἰγύπτιοι ὑπὸ τῶν πολεμίων, καὶ μὴ δυνάμενοι ἀντέχειν ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο ἄπρακτοι, εἶτα ῥίψαντες τὰ ὅπλα ἔφευγον. Ἐστρατοπεδεύσατο, ἀντὶ τοῦ Ἦλθεν εἰς τὸ στρατόπεδον.

Ν. XXIV. Ὅτι Κῦρος Κροίσου φυγόντος ἐπὶ Σάρδεις, καὶ αὐτὸς ἐκεῖ ἀπῆλθεν. Εἷλε δὲ καὶ τὴν Ἀκρόπολιν. Ἱκέτευσις Κροίσου πρὸς Κῦρον, καὶ πρόφλησις μὴ διαρπάσαι τὴν πόλιν, ἀλλὰ λαβεῖν ἡσυχῇ τὰ χρήματα. Περὶ τοῦ θανάτου τοῦ Ἀβραδάτου, καὶ ὅσα εἶπεν ἡ γυνὴ πρὸς Κῦρον, καὶ ὅπως ἀπέσφαξεν ἑαυτήν. Ὅπως ὁ Κῦρος Ἀβραδάτην καὶ τὴν Πάνθειαν ἔθαψε μεγαλοπρεπῶς.

Ν. XXV. Περὶ Καρῶν καὶ τῶν ἐπὶ Φρυγίαν παρ' Ἑλλήσποντον. Περὶ τῶν ἀμαξῶν τῶν ἑλκουσῶν τὰ χρήματα ἃ ἔδωκεν ὁ Κροῖσος, καὶ οἷον εἶπε λόγον ὁ Κῦρος. Περὶ τῆς μεγάλης Φρυγίας. Πολιορκία Βαβυλῶνος, καὶ μετένεξις τοῦ ποταμοῦ Εὐφράτου, καὶ κατάτειχεσις τῆς πόλεως δι' αὐτό. Ὅπως πρώτως τὰ βασίλεια κατεσχέθησαν. Ὅτι ὁ ἁλοὺς βασιλεὺς Ἀσσυρίων ἐν Βαβυλῶνι ὁ Βαλτάσαρ ἦν, ᾧ καὶ ἡ χεὶρ ὤφθη κατὰ τὸν τοῖχον ὡς φησι Δανιὴλ ὁ προφήτης.

Ν. XXVI. Ὅτι ἑκατομίας εἶχεν ὁ Κῦρος ὑπηρέτας. Οἷα ἦν ἡ διαγωγὴ Κύρου καὶ τῶν περὶ αὐτὸν ὡς λίαν καλή. Ὅπως τὸν Κροῖσον ὁ Κῦρος ἤλεγξε κακῶς. Ὅτι κόσμιον οἰκεῖον ὁ Κῦρος ἡγεῖτο, τὸν κόσμιον τῶν ὑπηκόων. Καὶ διὰ τί περὶ τὴν ἀριστερὰν τοὺς οἰκειοτάτους ἐκάθισεν. Ὅτι πολλὰ ἔλεγεν ἔχειν ὁ Κῦρος χρήματα, ἵνα τοῖς ἀξίοις αὐτὰ διανέμῃ, οὐ μήν γε καὶ ἑαυτοῦ χάριν.

Ν. XXVII. Ὅτι εἰς τὰ οἰκεῖα Κύρῳ ὑποστρέψαντι, δέδωκε Κυαξάρης, καὶ ἄλλα μὲν, ἀλλὰ καὶ τὴν θυγατέρα γυναῖκα, καὶ τὴν χώραν Μήδων. Ὃ δὲ μὴ ἄλλως λαβεῖν εἶπεν, εἰ μὴ συναινέσε. τῶν γονέων. Ὃ δὴ καὶ ἐποίησεν, ἀπελθὼν ἐκεῖ, καὶ δοὺς πᾶσι τοῖς Πέρσαις δῶρα πολλά· Ὅτι πάλιν εἰς Βαβυλῶνα ὑπέστρεψε, καὶ ὅσα κατέσχεν ἔθνη, ἐν οἷς ἦν καὶ Κύπρος. Περὶ τῶν λεγομένων κοντούρων. Ὅτι τὰ πρὸς Συρίαν ἔθνη οἰκοῦντα ὑπέταξε, καὶ Αἴγυπτον. Καὶ ὅθεν ἦρχετο αὐτῷ ἡ ἐξουσία. Καὶ ὅπως δι' ὅλου τοῦ ἐνιαυτοῦ περιῆτι τὴν οἰκείαν ἐπικράτειαν. Καὶ ὅτι γέρων γέγονεν, οἷά τε διελέχθη τοῖς οἰκείοις, καὶ τίνας κατέλειψε διαδόχους. Ὅτι ὁ Ἡρόδοτος ἄλλως τὰ κατὰ τὸν Κῦρον ἱστόρησεν.

## LIBER QUARTUS.

Ν. I. Ὅτι μόναι αἱ δύο φυλαὶ ἀνέβησαν εἰς Ἱερουσόλυμα. Περὶ τοῦ ἔθνους τῶν Ἰουδαίων. Ὅτι Καμβύσης τὴν ἀρχὴν Κύρου διεδέξατο, ὃς καὶ ἐκώλυσε τὴν ἀνοικοδομὴν τοῦ ναοῦ, βασιλεύσας ἔτη ἑπτά. Περὶ Καμβύσου, καὶ ὅπως αὐτὸν διεδέξατο Σμέρδις ὁ Μάγος. Καὶ ὅπως ὁ Καμβύσης τὸν ἀδελφὸν Σμέρδιν ἐξ ὀνείρου δειματωθεὶς ἀπέκτεινεν Ὅπως ὁ Καμβύσης ἀπέθανεν ἐν Ἐκβατάνοις τῆς Συρίας, κεχρηματισμένον σχὼν τοῦτο.

Ν. II. Ὅτι ὁ Μάγος Σμέρδις ὡς υἱὸς τοῦ Κύρου ἐκράτησεν. Ἠλέγχθη δι' ὕστερον ἕτερος εἶναι παρ' ἐκεῖνον, ὡς μὴ ἔχων ὦτα, Ἀπετμήθη γὰρ ταῦτα διὰ πταῖσμα παρὰ τοῦ Κύρου. Ἐπανάστασις κατὰ Σμέρδου. Ὅπως ὁ Πρηξάσπης τεθνάναι τὸν υἱὸν Κύρου Σμέρδιν ἐκήρυξεν, καὶ ἕτερον δὲ ὁμώνυμον εἶναι τὸν κρατοῦντα, καὶ ὅπως οὗτος διὰ τοῦτο ἀπέθανεν. Ὅπως οἱ μάγοι ἀνῃρέθησαν ὧν εἷς ὁ Σμέρδης.

Ν. III. Ὅπως ἐκράτησε Περσῶν ὁ Δαρεῖος ὁ Ὑστάσπου ἐκ περινοίας τοῦ οἰκείου ἱπποκόμου. Τί ηὔξατο τῷ Θεῷ, εἰ κρατήσει ὁ Δαρεῖος. Οἷα προέβετο ἐρωτήματα ὁ Δαρεῖος, τοῖς οἰκείοις φίλοις, καὶ οἷα ὑπέσχετο τῷ διαλύσοντι ταῦτα. Ὅτι ὁ Ζοροβάβελ ἐν τούτοις ἠρίστευσε τοῦ οἴνου καὶ τῶν βασιλέων τὴν γυναῖκα κρειττονεύειν οἴνου καὶ τῶν βασιλέων τὴν γυναῖκα κρειττονεύειν εἰπών. Ὅτι ἐξ αἰτήσεως Ζοροβάβελ παρεχώρησε τὴν ἀνοικοδομὴν τοῦ ναοῦ καὶ Δαρείου δι' αὐτοῦ γενέσθαι.

Ν. IV. Δευτέρα ἀνάβασις εἰς Ἱερουσόλυμα, μετὰ τοῦ Ζοροβάβελ. Οἱ δὲ ἀναβάντες μυριάδες υξβ' καὶ χιλιάδες η', ἄνευ ὑπηρετῶν. Περὶ Σαμαρειτῶν, καὶ ὅπως ἠχθέσθησαν. Πότε ἦν Ἀγγαῖος καὶ Ζαχαρίας οἱ προφῆται. Ὅτι ὁ Δαρεῖος ἐπέτρεπε δίδοσθαι τοῖς Ἰουδαίοις καθεκάστην τὰ εἰς θυσίαν συντελοῦντα ζῶα καὶ τὴν σεμίδαλιν. Ὅτι δι' ἐτῶν ἑπτὰ ὁ ναὸς ἐκτίσθη. Πότε ἐβασιλεύοντο οἱ Ἰουδαῖοι, καὶ πότε ὑπὸ κριτῶν ἤρχοντο.

Ν. V. Ὅτι τὸν Δαρεῖον Ξέρξης διεδέξατο, καὶ εὐσεβῶς περὶ τὸν ναὸν καὶ αὐτὸς διετέθη, ὅτε καὶ Ἔσδρας ἀνεσώθη ἐκ Βεβυλῶνος εἰς Ἱερεσόλυμα μετὰ πολλοῦ πλήθους Ἰουδαίων. Ὅτι πολλαὶ μυριάδες πέραν Εὐφράτου μεμενήκασιν Ἰουδαίων. Περὶ Νεεμίου τοῦ Ἐβραίου, ὅπως καὶ αὐτὸς ἐκ Βαβυλῶνος εἰς Ἱερουσόλυμα ἦλθε, καὶ τὸ τεῖχος ἀνῳκοδόμησεν. Ὅτι πρώτη ἡ τοῦ Ἰούδα φυλὴ ἐκ Βαβυλῶνος ἀνέβη, ὅθεν καὶ Ἰουδαῖοι οἱ ἐν Ἱερουσαλὴμ ἐκλήθησαν.

Ν. VI. Ὅτι τὸν Ξέρξην υἱὸς Κῦρος, ὁ καὶ Ἀρταξέρξης, διεδέξατο. Περὶ Ἐσθὴρ ἣν ἔλαβε γυναῖκα ὁ Ἀρταξέρξης, καὶ περὶ Μαρδοχαίου. Ὅτι νόμον ἔθετο Ἀρταξέρξης, μηδένα οἱ ἄκλητον ἐπὶ θρόνου καθημένῳ προσέρχεσθαι. Ὅπως ὁ Μαδοχαῖος ἐπιβουλὴν ἐμήνυσε κατὰ τοῦ βασιλέως. Ὡς Ἁμὰν Μαρδοχαῖον ἀνασταυρῶσαι ἠβούλετο, ἀλλ' ἐταυρώθη ἐκεῖνος προνοίᾳ Θεοῦ. Ὅτε Ἐσθὴρ γνοῦσα τὴν μελετωμένην τῶν Ἰουδαίων ἀπώλειαν παρὰ Ἁμὰν διὰ τὸν Μαρδοχαῖον, ἐδεήθη πρότερον τοῦ Θεοῦ, εἶτα καὶ ἄκλητος εἰσῆλθε πρὸς βασιλέα. Καὶ διὰ τοῦτο θορυβουμένου ἔπεσε πρὸς ποδῶν αὐτοῦ ἀχανής, καὶ ὅπως εἰς δεῖπνον αὐτὸν ἐκάλεσε, καὶ τὸν Ἁδάμ, Ὅτι πεντήκοντα πήχεων ἦν τὸ ξύλον, ἐν ᾧ τὸν Μαρδο-

χαῖον ὁ Ἀμὰν ἀνασταυρῶσαι ἐμελέτα. Ὅτι ἀνεμνήσθη ὁ βασιλεὺς τοῦ Μαρδοχαίου διὰ τὴν ἐπιβουλήν, καὶ ὅτι διὰ τοῦτο ἐκεῖνον ἐτίμησεν. Οὕτω διασκεδάζει βουλὰς πονηρὰς ὁ Θεός.

Ν. VII. Ὅπως ὁ Ἀμὰν ἐκρεμάσθη εἰς τὸ ξύλον, ὃ κατὰ τοῦ Μαρδοχαίου ἡτοίμαζεν. Ὅτι καὶ οἱ τοῦ Ἀμὰν παῖδες ἀνεσταυρώθησαν. Ὅπως. Ἰωάννας τὸν οἰκεῖον ἀπέκτεινεν ἀδελφὸν ἐν τῷ ναῷ. Ὅπως τὸν ἀδελφὸν τοῦ ἀρχιερέως συνοικήσαντα ἀλλοφύλῳ γυναικὶ ἐκώλυον ἀπὸ τοῦ ναοῦ. Περὶ τῆς οἰκοδομῆς τοῦ ναοῦ τοῦ ἐν τῷ Γαριζὶν, τοῦ ἐν τῇ Σαμαρείᾳ.

Ν. VIII. Ἀρχὴ τῆς κατὰ τὸν Ἀλέξανδρον ἱστορίας, τίνος υἱὸς ἦν Ἀλέξανδρος. Οἷον ὄνειρον εἶδε Φίλιππος ἐγκυμονούσης τῆς γυναικὸς τὸν Ἀλέξανδρον, καὶ πότε ἐγεννήθη. Περὶ τοῦ σώματος. Ἀλεξάνδρου. Περὶ τοῦ ἵππου τοῦ Βουκεφάλου. Ὅτι ὁμιλητὴς Ἀριστοτέλους ἐγένετο. Ὅτι καὶ πρακτικὸς ἰατρὸς ἦν ὁ Ἀλέξανδρος.

Ν. IX. Ὅτι εἰκοσαετὴς τῆς βασιλείας ἐκράτησεν. Περὶ Τιμοκλείας τῆς τὸν βιασάμενον αὐτὴν εἰς τὸ φρέαρ βαλούσης. Οἷα ὁ Σινωπεὺς Διογένης πρὸς Ἀλέξανδρον εἶπεν. Τὸ φιλότιμον Ἀλεξάνδρου. Ὅσων ἐκράτησε πόλεων. Περὶ Ἀκαρνᾶνος τοῦ ἰατροῦ, καὶ ὅπως ἐξ αὐτοῦ τὸ φάρμακον ἔλαβεν Ἀλέξανδρος, καὶ ὅπως ἐξ αὐτοῦ τὸ φάρμακον ἔλαβεν Ἀλέξανδρος, καὶ ἀντέδωκε τὴν τῆς συκοφαντίας ἐπιστολήν. Ἡ ἐν Ἰσσῷ συμπλοκὴ Δαρείου καὶ Ἀλεξάνδρου, καὶ ἡ Δαρείου ἥττα. Περὶ τῆς γυναικὸς καὶ τῆς μητρὸς Δαρείου ἁλουσῶν παρὰ Ἀλεξάνδρου.

Ν. X. Ὅτι καὶ Δαμασκὸν εἷλεν Ἀλέξανδρος, καὶ Κύπρον, καὶ Φοινίκην. Περὶ τοῦ κατ' ὄναρ Σατύρου. Περὶ τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας, καὶ τοῦ κατ' ὄναρ Ὁμήρου, καὶ ὅτι νῆσος ἦν αὕτη πρότερον. Περὶ τῶν κατὰ τὴν ἐν ἐρήμῳ διάβασιν Ἀλεξάνδρου ἑξαισίων. Ὡς παῖς Διὸς ἐλογίσθη ὁ Ἀλέξανδρος. Ὅτι λύτρα ὁ Δαρεῖος ἔπεμψε, καὶ οὐκ ἔλαβε ταῦτα ὁ Ἀλέξανδρος. Περὶ τοῦ θανάτου τῆς γυναικὸς Δαρείου· Περὶ τῆς μαρτυρίας τῆς πρὸς Δαρεῖον, διὰ τὴν Ἀλεξάνδρου σωφροσύνην.

Ν. XI. Ὅτι Ἀλέξανδρος οὐ λάθρα συμβαλεῖν ἤθελε τοῖς πολεμίοις. Φυγὴ Δαρείου. Ὅσον πλοῦτον εὗρεν Ἀλέξανδρος τοῦ Δαρείου. Ὅπως ὠνείδιζε τοὺς τρυφῶντας Ἀλέξανδρος. Τί ἔλεγεν Ἀλέξανδρος περὶ τῶν γογγυζόντων εἰς αὐτόν· Περὶ τῆς δίψης, ἣν εἶχεν Ἀλέξανδρος διώκων Δαρεῖον. Ὅπως ἐν τῷ θανάτῳ Ἀλέξανδρος τὸν Δαρεῖον ἐτίμησε, τὸν δι' ἀνελόντα διεσφενδόνησεν. Περὶ Ὑρκανίας, καὶ τοῦ Κασπίου πελάγους.

Ν. XII. Ὅτι Ἀλέξανδρος βαρβαρικὴν στολὴν ἐνδυσάμενος τοῖς Μακεδόσιν οὐκ ἤρεσεν. Καὶ περὶ Ῥωξάνης, ἣν Ἀλέξανδρος ἔγημεν. Ὅπως παρὰ Ἀλεξάνδρου ἀνῃρέθη Φιλώτας, καὶ Κλεῖτος. Ὅσα ὁ Ταξίλης καὶ οἷα ἐμήνυσεν Ἀλεξάνδρῳ κατὰ τῆς Ἰνδικῆς ἐρχομένῳ χώρας.

Ν. XIII. Περὶ Πώρου τοῦ τῆς Ἰνδικῆς ἄρχοντος, οἷος ἦν τὸ σῶμα. Ὅσα ὁ Ἀλέξανδρος ἤλγησε τοῦ βουκεφάλου ἵππου θανόντος, καὶ περὶ τοῦ ποταμοῦ Γάγγη, ὅσος ἦν κατ' εὖρος καὶ βάθος. Ὅτι Μαλλοὶ ἔθνος Ἰνδικόν. Ὅπως Ἀλέξανδρος πρῶτος ὥρμα ἐν τοῖς πολεμίοις, καὶ τυχαίως ἐνίκα.

Ν. XIV. Περὶ τῶν Γυμνοσοφιστῶν, καὶ τοῦ διὰ τῆς Βύρσης ὑποδείγματος, ἵνα μὴ μακρὰν ὁ βασιλεὺς ἀποδημῇ. Ὅτι εἰς τὸν Ὠκεανὸν ἦλθεν Ἀλέξανδρος, καὶ ὅσον τοῦ στρατοῦ πλῆθος ἀπώλετο, καὶ περὶ τῶν ἰχθυοφάγων προβάτων. Περὶ τοῦ τάφου τοῦ βασιλέως Περσῶν Κύρου, καὶ τῆς τούτου ἐπιγραφῆς. Ὅτι ἔγημεν Ἀλέξανδρος καὶ τὴν θυγατέρα Δαρείου, καὶ ὅσα ἐν τῷ γάμῳ χρήματα ἀνάλωσε, δοὺς καὶ τοῖς ὀφειλέταις τὰς ὀφειλάς. Ὅσα ἐπένθησεν ἐπὶ τῷ Ἡφαιστίωνι ὁ Ἀλεξανδρος, καὶ οἱ σὺν αὐτῷ. Περὶ τοῦ διὰ κοράκων σημείου, καὶ τοῦ θύματος. Περὶ τοῦ εὑρεθέντος ξένου καθημένου ἐν τῷ τοῦ Ἀλεξάνδρου ῥόνῳ. Ὅτι ὁ θάνατος Ἀλεξάνδρου ἄλλοις ἄλλως λέγεται. Περὶ τοῦ ψυχροῦ ὕδατος. Ὅτι ἐν τῇ τελευτῇ ἠβουλήθη ἀφανίσαι αὐτὸν, ἵνα δόξῃ καὶ Θεός.

Ν. XV. Ὅπως ὑπήντησαν Ἀλεξάνδρῳ οἱ ἱερεῖς τῶν Ἑβραίων καὶ ὁ ἀρχιερεύς. Ὅτι ὁ Ἀλέξανδρος ἰδὼν τὸν ἀρχιερέα, εἰς μνήμην ἦλθε τοῦ κατ' ὄναρ ὀφθέντος αὐτῷ Θεοῦ. Ὅτι ἔθυσε τῷ Θεῷ ὁ Ἀλέξανδρος, κατὰ τὴν ὑφήγησιν τοῦ ἀρχιερέως, καὶ πολλὰ ἐχαρίσατο, ἀνέγνω τε καὶ τὴν βίβλον τοῦ Δανιήλ. Περὶ τοῦ ἐγγαριζὶν ἱεροῦ, ἐν ᾧ κατέφευγον οἱ παρανομοῦντες.

Ν. XVI. Ὅτι εἰς τέσσαρα ἐμερίσθη ἡ τοῦ Ἀλεξάνδρου ἀρχή. Καὶ περὶ Πτολεμαίου τοῦ Λάγου, ὅπως Ἱεροσολύμων ἐκράτησε. Ὅτι Πτολεμαῖος ὁ Φιλάδελφος διεδέξατο τὴν ἀρχήν. Τί ἐστι δραχμὴ, καὶ πόσα τάλαντα ποιοῦσι. Ὅσα ὁ Πτολεμαῖος εἰς τὸ Ἰουδαίων ἱερὸν ἔστειλε δῶρα. Περὶ τῶν ἑβδομήκοντα δύο τῶν ἑξελληνισάντων τὰ Ἑβραϊκὰ βιβλία. Ὅτι οἱ πρὸ τούτου ἐπιχειρήσαντες τὸ τοιοῦτον ἔργον, οὐκ ἀτιμώρητοι ἔμειναν. Ὅτι τινές φασι διῃρημένους ποιῆσαι τὴν ἑρμηνείαν τοὺς ἑρμηνεῖς, ὕστερον δὲ εὑρεθῆναι ἐκ πάντων τὰ αὐτά.

Ν. XVII. Ὅτι ἔλαβε Πτολεμαῖος τὴν Κλεοπάτραν, καὶ ὅσα ἦν ἡ ταύτης φέρνη. Οἷος ἦν δεξιὸς περὶ τὰ πράγματα ὁ πρὸς Πτολεμαῖον ἀποσταλεὶς πρεσβεὺς Ἰωσήφ. Ὅτι τὸ τὰ τέλη τῶν πόλεων ἐπὶ αὐξήσει πωλεῖσθαι τοῖς ὠνουμένοις παλαιὸν ἦν.

Ν. XVIII. Ὅπως συνήρκησεν ἡ ἀδελφόπαις τῷ Ἰωσήφ. Ὅπως Ὑρκανὸς ὁ υἱὸς Ἰωσὴφ καὶ ἐν μειρακίοις τελῶν ἦν φρονιμώτατος. Ὅτι ἀτίμως ὠνήσατο ὁ Ὑρκανὸς τοὺς γραμματικοὺς δούλους. Ὅτι βάρις, τὸ ὀχύρωμα.

Ν. XIX. Ὅτι ὁ Ἐπιφανὴς Ἀντίοχος κατέσχε τὰ Ἱεροσόλυμα. Περὶ Ἐλεάζαρ καὶ τῶν Μακκαβαίων. Ὅτι ἐν Σαββάτῳ πολέμου συγκροτηθέντος, ἐμάχοντο Ἰουδαῖοι.

Ν. XX. Νίκη Ἰουδαίων κατὰ τῶν τοῦ Ἀντιόχου. Ὅτι ὁ Ἀντίοχος ἐνόσησε διὰ τὰ κατὰ τὸν Ἰουδαίων κακὰ, καὶ ἀπέθανεν.

Ν. XXI. Ὅπως τὸν ἐλέφαντα ὁ Ἐλεάζαρ πλήξας ὑπ' αὐτοῦ τέθνηκεν ἐν τῷ πολέμῳ.

Ν. XXIII. Περὶ Κλεοπάτρας τῆς θυγατρὸς Πτολεμαίου. Ὅτι ὁ Πτολεμαῖος δύο διαδήματα περιέθετο, οἷα δύο ἄρχων χωρῶν.

Ν. XXIV. Ὅτι ὄρος καθήρησαν ἄνθρωποι λίαν ὑψηλὸν, διὰ τριῶν ἐνιαυτῶν.

## LIBER QUINTUS.

Ν. I. Περὶ Ἀντιόχου τοῦ ἐπικληθέντος Θεοῦ. Ὅρα γυναικὸς καρτερίαν.

Ν. II. Ὅτι οἱ Βαδδουκαῖοι τὰ ἄγραφα καὶ ἐκ παραδόσεως οὐκ ἐτήρουν.

Ν. III. Ὅπως ὁ Ἀντίγονος ἀνῃρέθη κατὰ Στράτωνος πύργον, κατὰ τὴν Ἰούδα τοῦ Ἐσσαίου πρόρρησιν, κἂν ἐδόκει ψεύσθαι.

Ν. IV. Περὶ φοινίκων καὶ κιτρίων τῶν ἐν τῇ σκηνοπηγίᾳ. Ὅτι ἐπὶ τρία ἔτη ἐνόσει τεταρταῖον.

Ν. V. Περὶ Ὑρκανοῦ καὶ Ἀριστοβούλου. Περὶ Τιγράνου τοῦ Ἀρμενίου. Βασιλεία Ὑρκανοῦ καὶ Ἀριστοβούλου. Ὡς εὖ σοι τῆς εὐχῆς, ἄνθρωπε.

Ν. VI. Περὶ Πομπηΐου καὶ τῆς δυθείσης αὐτῷ χρυσῆς ἀμπέλου ἐξ Ἀριστοβούλου ἐκ πεντακοσίων ταλάντων. Περὶ τῆς Μιθριδάτου τελευτῆς καὶ περὶ τοῦ ὀποβαλσάμου, ὅπερ τῶν μύρων ἄριστον· Ὅπως ὑπὸ Πομπηίου τὰ Ἱεροσόλυμα ἑάλω.

Ν. VII. Ὅσα ἦσαν τὰ τοῦ ἱεροῦ Ἰουδαίων χρήματα, ἐν οἷς καὶ δοκὸς ἐκ χρυσοῦ. Καὶ ὅτι ἡ μνᾶ ἔλκει λίτρας δύω πρὸς τῇ ἡμισείᾳ. Κύπρος, ὄνομα γυναικός. Ὅτι ὁ Ἡρώδης ἐλθὼν εἰς τὸ δοκιμάσασθαι, ἐξέπληξε τοὺς παρόντας, διὰ τὸ ἐλθεῖν μετὰ δορυφορίας πολλῆς, διὸ καὶ ἠτιάθη.

Ν. IX. Ὅπως ὁ Ἀντώνιος ἦρα τῆς Κλεοπάτρας, Περὶ Πακόρου τοῦ Πάρθων βασιλέως. B

Ν. X. Διὰ τί ἀπετμήθη τὰ ὦτα Ὑρκανός. Ὅπως ὁ Φασάηλος τέθνηκεν.

Ν. XI. Ἀναίρεσις Ἀντιγόνου.

Ν. XIII. Περὶ τῆς ἀρχιερωσύνης Ἀριστοβούλοι ἐν νέᾳ τῇ ἡλικίᾳ. Ὅπως ἡ Ἀλεξάνδρα ἔφυγε διὰ λάρνακος, καὶ ἐφωράθη. Ὅπως ἀπεπνίγη Ἀριστόβουλος.

Ν. XIV. Ὅτι ἠράσθη Ἡρώδου ἡ Κλεοπάτρα. Περὶ τοῦ ἐν Ἰουδαίᾳ μεγάλου γεγονότος σεισμοῦ.

Ν. XV. Ὅπως καὶ παρὰ τοῦ Καίσαρος Ἡρώδης ἐτιμήθη. Ὅπως εἰς τὸ φανερὸν Ἡρώδην ἐφάνη μισοῦσα ἡ γυνὴ αὐτοῦ. Ὅπως ἡ τοῦ Ἡρώδου γυνὴ βανάτῳ κατακριθεῖσα, τέθνηκεν.

Ν. XVI. Ὅπως οὐδὲ τοῦ οἰκείου κόσμου Ἡρώδης ἐφείσατο ἐν καιρῷ λιμοῦ διὰ τὴν πόλιν, καὶ σῖτον ἀποδοὺς εἰς τὸ ἀγοράσαι σῖτον. Ὅσος ἦν ὁ διαδοθεὶς C σῖτος, πόσοι μόδιοι ὁ κόρος.

Ν. XVII. Ὅπως ὁ Ἡρώδης ἐκώλυε τοὺς ὑπ' αὐτὸν ἀλλήλοις συνέρχεσθαι, δεδιὼς τὰς ἐπιβουλάς. Τίνες οἱ Ἐσσαῖοι, καὶ οἵᾳ χρῶνται διαίτῃ, καὶ ὅπως εἷς τῶν Ἐσσαίων προεῖπε τῷ Ἡρώδῃ παιδίῳ ὄντι τὴν βασιλείαν. Ὅπως ὁ Ἡρώδης τὸν ναὸν ἐπὶ τὸ μεῖζον μετεσκεύασε. Καὶ περὶ τοῦ πύργου, ὃν Ἀντωνίαν ἐκάλεσεν Ὅτι ὁ ναὸς ἐν ἐνιαυτῷ ἑνὶ πρὸς τῷ ἡμίσει ᾠκοδομήθη, ὅτι καὶ οὐδὲ ὑετὸς γέγονεν ἐν ἡμέρᾳ. Περὶ τοῦ πιπράσκεσθαι τοὺς κλέπτας.

Ν. XVIII. Περὶ τῶν παίδων Ἡρώδου, οἵοι ἦσαν. Ὅπως ἐμίσησε τοὺς υἱοὺς ὁ Ἡρώδης. Ὅπως κατήλλαξε τὸν Ἡρώδην τοῖς παισὶν ὁ Καῖσαρ.

Ν. XIX. Οἷος τὸ ἦθος, καὶ τοὺς τρόπους ὁ Ἡρώδης. Ὅσα Ὑρκανὸς καὶ Ἡρώδης ἔλαβον ἀργυρίου καὶ χρυσοῦ τάλαντα ἐκ τοῦ τάφου Δαβίδ, καὶ ὅπως καὶ εἰς αὐτὰ τὰ σώματα Δαβὶδ καὶ Σολομῶντος ἐκωλύθη D Ἡρώδῃ εἰσελθεῖν θείῳ πυρί.

Ν. XX. Οἵα ἡ διαβολὴ ἀεὶ κακὰ εἰργάζετο, καὶ ἔτι ἐργάζεται.

Ν. XXI. Περὶ τοῦ κακίστου Εὐρυκλέους. Ὅτι ἐθέσμισε τοὺς υἱοὺς ὁ Ἡρώδης Ἀριστόβουλον καὶ Ἀλέξανδρον, Τὸ συνέδριον τὸ τοὺς παῖδας Ἡρώδου κρῖνον σὺν τῷ Ἡρώδῃ.

Ν. XXII. Περὶ τοῦ παῤῥησιασαμένου στρατιώτου εἰς Ἡρώδην, βουλευόμενον θάνατῶν τῶν οἰκείων παίδων. Ὅπως ἀπηγχόνησε τοὺς οἰκείους παῖδας ὁ Ἡρώδης. Ὅτι πάτριον ἦν τὸ ἔθος τὸ πολλαῖς συνοικεῖν γυναιξί. Ὅτι ἀνεψιοὶ οἱ ἐξάδελφοι.

Ν. XXIII. Ὅτι οἱ Φαρισαῖοι οὐκ ἐπείσθησαν ὀμόσαι, καὶ ὅτι προεῖπον τὸν τοῦ Ἡρώδου θάνατον, διὸ καὶ ἀπεκτάνθησαν πολλοὶ ἐκ αὐτῶν. A

Ν. XXIV. Περὶ λιμένος τοῦ λεγομένου Σεβαστοῦ. Κατηγορία Ἀντιπάτρου. Ὅτι ὁ Ἡρώδης καὶ τὸν υἱὸν Ἠντίπατρον δέσμιον εἰς Καίσαρα ἔπεμψεν.

Ν. XXV. Ἀκμή, ὄνομα γυναικός. Κόκκηθρον τὸ ταραχὴν ἐμποιοῦν· Περὶ τῶν καθελόντων τὸν ἀνατεθέντα ἀετὸν εἰς τὸν μέγαν πυλῶνα τοῦ ναοῦ.

Ν. XXVI. Τίνα νόσον ἐνόσησεν Ἡρώδης, ποικίλην τε καὶ ὀδυνηράν. Περὶ τῶν τῆς Καλλιρόης θερμῶν. Οἵαν ἐπίνοιαν ὁ Ἡρώδης ἐπενοήσατο τὸ κάκιστος ὤν, ἵνα κλαυθῇ μετὰ θάνατον. Τελευτὴ Ἡρώδου. Ὅτι ὁ Ἀρχέλαος διεδέξατο Ἡρώδην.

## LIBER SEXTUS.

Ν. I. Περὶ τῆς τῶν Ἰουδαίων στάσεως κατὰ Ῥωμαίων, ὅτε καὶ ὁ ναὸς ἐνεπρήσθη· Ὅτι δοῦλος Ἡρώδου διάδημα περιέθετο.

Ν. II. Ὅτι καὶ ὁ Ἀρχέλαος ὠμὸς ἦν κατὰ τὸν πατέρα. Περὶ τοῦ πλοῦ Ἀλεξάνδρου. Κατηγορία κατὰ Ἀρχελάου. Περὶ τοῦ ὀνείρου οὗ εἶδεν Ἀρχέλαος. Ἕτερος ὄνειρος τῆς Ἀρχελάου γυναικός. Περὶ τῆς ἀπογραφῆς τῆς ἐπὶ Καίσαρος γεγενημένης.

Ν. III. Αἱρέσεις Φαρισαίων. Αἵρεσις Σαδδουκαίων. Αἵρεσις Ἐσσηνῶν. Αἵρεσις Γαλιλαίων. Πότε ἐγένετο ἡ ἀπογραφή. Πότε ὁ Καῖσαρ ἔθανε, καὶ πόσα ἔτη ἐκράτησεν. Ὅτι διεδέξατο Καίσαρα ὁ Τιβέριος.

Ν. IV. Περὶ Ποντίου Πιλάτου. Περὶ Ἡρώδου τοῦ τετράρχου καὶ τῆς πόλεως Τιβεριάδος. Περὶ τῆς τῶν Ἰουδαίων ἐνστάσεως. Πότε ἐφάνη ὁ Χριστὸς ἐν Ἰουδαίᾳ, καὶ οἷά φησιν ὁ Ἰώσηπος περὶ αὐτοῦ. Ὅτι περὶ Χριστοῦ φησιν ὁ Ἰώσηπος.

Ν. V. Περὶ τῆς Ῥωμαίας Παυλίνης. Ὅτι μέγα τὸ τῶν ἱππέων ἀξίωμα· Περὶ τῆς πονηρίας Ἴδης. Ὅπως ἡ Παυλίνα τῷ ἐρῶντι αὐτῆς συνεγένετο, οἰομένη τοῦτον Θεόν. Ὅπως τὸ κατὰ τῆς Παυλίνης σκέμμα ἐξήτασε Τιβέριος καὶ ἐκόλασε τοὺς τοῦτο συνεργήσαντας. Περὶ τῆς βάρεως τῆς μετωνομασθείσης Ἀντωνίας.

Ν. VI. Περὶ Φιλίππου, ὅτι καὶ καθ' ὁδὸν ἔκρινε, καὶ ὁ θρόνος αὐτοῦ ἐπιφερόμενος ἐτίθετο κατὰ τὸν τόπον ἔνθα καθήμενος ἠκροᾶτο. Περὶ τοῦ θανάτου τοῦ Βαπτιστοῦ Ἰωάννου οἷά φησιν ὁ Ἰώσηπος. Περὶ τῆς τοῦ Τιβερίου τελευτῆς, ὃν διεδέξατο Γάϊος.

Ν. VII. Περὶ Ἀγρίππα, ὅπως εὐηργετήθη παρὰ Ἡρωδιάδου τῆς ἀδελφῆς. Διὰ τί πρέσβεσιν οὐ προσωμίλει συχνοῖς. Διὰ τί τοὺς ἐν ἀρχῇ οὐ παρέλυε, καὶ περὶ τοῦ παραδείγματος τούτων".

Ν. VIII. Περὶ Ἀντωνίας, καὶ ὅπως ἐτίμα αὐτὴν ὁ Τιβέριος. Περὶ ὧν τις προεῖπεν ἔσεσθαι οἰνοσκοπήσας. Ὅπως τὸν Γαΐου διάδοχον ἑαυτοῦ κατέλιπε Τιβέριος.

Ν. IX. Ὅτι ἀρχαῖον τὸ τοὺς ἐξορίστους ἀκειροκόμους εἶναι. Ὅπως ἔλυσε τῶν δεσμῶν τὸν Ἀγρίππαν Γαΐος, καὶ βασιλέα ἐπέδειξεν. Ὅπως κατὰ Ἡρώδου Ἀγρίππας ἐπέστειλε τῷ Γαΐῳ. Ὅτι τὸ ὅπλα ἔχειν τοὺς ἄρχοντας, οὐκ ἀνύποητον.

Ν. X. Ὁ Γάϊος, μὴ ὡς θεὸς παρὰ Ἰουδαίων τιμώ, ἐνος ὤργίζετο, καὶ τὸν Φίλωνα ὑπεραπολογούμενον οὐκ ἐδέχετο. Ὅπως οὐ παρεχώρησαν Ἰουδαῖοι στῆναι ἀνδριάντα Γαΐου ἐν τῇ πόλει αὐτῶν. Ὅτι ὁ Ἀγρίππας ἔπεισε Γάϊον συγχωρῆσαι μὴ στῆναι ἐν Ἰουδαίᾳ τὸν οἰκεῖον ἀνδριάντα. Ὅτι ἀνῃρέθη Γάϊος, καὶ Κλαύδιος αὐτὸν διεδέξατο.

Ν. XI. Ὅτι χρυσῆν ἅλυσιν Γάϊος τῷ Ἀγρίππᾳ ἐδωρήσατο, ἀνθ' ἧς κατεκρίθη σιδηρᾶς, ἣν καὶ ἀνέθετο Ἀγρίππας τῷ Θεῷ. Ὅτι ὁ ὕπαρχος ἀρχὴ ἦν παρὰ Ῥωμαίοις. Ὅτι Δωρῖται ἔθνος εἰσίν. Ὅτι εὐεργετικὸς ἦν ὁ Ἀγρίππας. Ὅτι ὁ Στράτωνος πύργος ἐστὶν ἡ ἐν Παλαιστίνῃ Καισάρεια. Περὶ τῆς ἐξ ἀργύρου στολῆς λαμπρὸν ἀποστιλβούσης. Ὅπως ὁ Ἀγρίππας τέθνηκεν.

Ν. XII. Περὶ τῆς ἐγκυμονούσης γυναικὸς, ἧς ἐκ τῆς κοιλίας ἔδοξε φωνὴν γενέσθαι, λέγουσαν τὴν τοῦ ἐμβρύου τύχην. Ὅπως ὁ Ἰζάτης μετετέθη εἰς τὴν Ἰουδαϊκὴν θρησκείαν, καὶ ἡ τούτου μητήρ Ἑλένη ὁμοίως, καὶ εἰς Ἱεροσόλυμα ἀπῆλθεν εἰς τὸ τοῦ Θεοῦ ἱερόν. Περὶ Ἀρταβάνου τοῦ Πάρθων βασιλέως, ὅπως εἰς Ἰζάτην ἦλθε δεόμενος. Ὅτι ἀποκατέστη πάλιν ὁ Ἀρταβάνης εἰς τὴν Πάρθων βασιλείαν.

Ν. XIV. Πόλεμοι Ἀράβων πρὸς Ἰζάτην τὸ πρῶτον ἐκ προθυσίας τῶν οἰκείων, εἶτα ἥττα Ἀράβων. Περὶ τοῦ γόητος Θευδᾶ. Ἡ ὕλη ἱππέων σύλλογος. Περὶ Ἀλαβαρχίας. Περὶ τῶν φευγόντων ἐκ τοῦ ἱεροῦ διὰ τὸ στενὸν τῆς ἐξόδου καταπατηθέντων καὶ θανόντων. Ὅπως ἐτιμωρήθη ὁ εἰς τοὺς νόμους Μωσέως ἐνυβρίσας.

Ν. XV. Ὅτι μετὰ τὸ ἡγεμονεύειν Συρίας. Ὅτι πυρφόρον ἦν τὸ Βέσβιον ὄρος. Τελευτὴ Κλαυδίου.

Ν. XVI. Ὅτι Νέρων Κλαύδιον διεδέξατο. Οἷα καὶ νῦν οἱ ἀρχιερεῖς ποιοῦσι τοὺς οἰκείους ἀδικοῦντες κληρικους.

Ν. XVII. Περὶ τῶν Σικαρίων λῃστῶν. Περὶ Ἰακώβου τοῦ ἀδελφοθέου. Πόσοι ἐξ Ἀαρὼν μέχρι Φινεὲς γεγόνασι κατὰ συγγένειαν ἀρχιερεῖς.

Ν. XVIII. Ὅτι Οὐεσπασιανὸς ἀπεστάλη κατὰ τῆς Ἰουδαίας παρὰ Νέρωνος. Περὶ τῆς πόλεως Ἰωτατάτων, καὶ τοῦ Ἰωσήπου. Ὅτι ὁ Νέρων ἀνεῖλεν ἑαυτὸν, καὶ Γάλβας ἦρξε μετ' αὐτὸν, καὶ αὐτὸς μετὰ μικρὸν ἀνῃρέθη, καὶ ἦρξαντο Ὄθων καὶ Οὐιτέλλιος, καὶ ἀλλήλοις ἐπολέμουν. Ἀνάρρησις Οὐεσπασιανοῦ.

Ν. XIX. Τίτου πολιορκία κατὰ τῆς Ἱερουσαλήμ. Ὅτι τρίτειχος ἦν ἡ Ἱερουσαλήμ. Περὶ τοῦ μηχανήματος τῶν κριῶν τῶν κατὰ τῆς πόλεως ἐπαχθέντων. Περὶ τῶν ξυλίνων πύργων, οὓς ὁ Τῖτος ἐποίησεν.

Ν. XX. Περὶ τῆς ἐπινοίας τοῦ Ἰουδαίου Κάστορος, δι' ἧς ὑπερετέθη ἡ κατὰ τοῦ πύργου ἐπιβουλὴ τῶν Ῥωμαίων. Ὅτι ὁ Τίτος φιλανθρωπότερον περὶ τοὺς Ἰουδαίους διέκειτο, καὶ νικῶν αὐτούς. Ὅτι τριπλῶς ἡ πόλις τετείχιστο. Περὶ ὧν ἐκακούργουν οἱ στασιασταὶ, καὶ μάλιστα λιμώττοντες. Περὶ ὧν ἐποίει κακῶν ὁ λιμὸς τοῖς Ἰουδαίοις.

Ν. XXI. Περὶ τῶν διὰ χωμάτων ἑλεπόλεων· περὶ τῆς ἐπινοίας τῶν Ἰουδαίων, δι' ἧς καθηρέθησαν ἀθρόον αἱ ἑλεπόλεις τῶν Ῥωμαίων εὐμηχάνως. Ὅτι ἑτέρῳ τείχει τοὺς Ἰουδαίους ἔξωθεν Τῖτος περιέκλεισεν. Ὅπως ὁ λιμὸς τοὺς Ἰουδαίους διέθετο. Περὶ τῶν αὐτομολούντων Ἰουδαίων, καὶ ὅτι, ἀπὸ τοῦ λιμοῦ ἐμπιπλάμενοι, διερρήγνυντο. Καὶ ὅτι τινὲς αὐτῶν εὑρέθησαν ἔχοντες εἰς τὰς γαστέρας χρυσόν· διὸ καὶ πολλοὺς αὐτῶν καὶ πρὸ τοῦ θνήσκειν ἀνῄρουν οἱ Ῥωμαῖοι ἀνηλεῶς.

Ν. XXII. Ὅτι ζώων κόπρους ἤσθιον. Ὅτι, τοῦ τείχους καταπεσόντος, ἕτερον εὑρέθη ἐντός. Περὶ τοῦ εἰσελθόντος διὰ τοῦ τείχους Ῥωμαίου ἀνδρὸς ἀρίστου. Ὅτι ἥλους εἶχον οἱ Ῥωμαῖοι ἐν τοῖς ὁπλοις. Ὅτι καὶ διὰ τῆς νυκτὸς ἐπολέμουν, καὶ ὅτι καὶ ἡ Ἀντωνία ὁ πύργος μετεσείσθη. Περὶ τῆς γυναικὸς, ἥτις τὸ οἰκεῖον τέκνον εἰς τροφὴν οἰκείαν ἀπέσφαξεν.

Ν. XXIII. Ὅτι αἱ πύλαι τοῦ ἱεροῦ ἐνεπρήσθησαν, ἀργυραῖ οὖσαι. Ὅτι ἔδοξε τοῖς Ῥωμαίοις τοὺς εἰς τὸ ἱερὸν καταφυγόντας σώζεσθαι Ἰουδαίους, εἰ μὴ ἀνταμύνονται, καὶ ὅτι ὁ Τῖτος τὴν τοῦ ναοῦ οὐκ ἐβούλετο καταστροφήν. Ὅτι καὶ χρῦσας εἶχε θυρίδας ὁ ναός. Ὅτι ὁ Τῖτος παντοίως ἐσπούδαζε μὴ καυθῆναι τὸν ναόν. Ὅτι κατὰ τὸν αὐτὸν μῆνα καὶ τὴν αὐτὴν ἡμέραν συνέπεσε γενέσθαι τὸν ἐμπρησμὸν τοῦ ναοῦ ὑπὸ Βαβυλωνίων πρότερον, καὶ ὕστερον ὑπὸ Ῥωμαίων.

Ν. XXIV. Περὶ τοῦ τοίχου, οὗ τὸ εὖρος πήχεις η'. Περὶ τῶν ἐν τῷ γαζοφυλακίῳ χρημάτων. Περὶ τῶν γενομένων σημείων τῆς ἁλώσεως. Οἷον τὸ μέγεθος τῆς πύλης. Περὶ τοῦ βοῶντος πρὸ μακροῦ τὰ τῆς ἁλώσεως, καὶ ὅπως καὶ οὗτος ἀπώλετο.

## LIBER SEPTIMUS.

Ν. I. Περὶ Λατίνων. Περὶ Ῥουτούλων. Ὅπως ὁ Αἰνείας ἐνομίσθη θεός. Περὶ Ἄλβας τῆς πόλεως, καὶ ὅπως οὕτως ἐκλήθη. Πόθεν Τίβερις ὁ ποταμὸς τὴν ὀνομασίαν ἔσχεν. Ὅπως ὁ Ἀμούλιος ἐθεοποίει ἑαυτόν. Ὅτι ἀπὸ Νομίτορος καὶ Ἀμουλίου ἔσχε τὰ τῶν Ῥωμαίων ἀρχήν. Ὅτι δίδυμοι ἦσαν Ῥῶμός τε καὶ Ῥωμύλος, οἳ καὶ γεγόνασιν ἔκθετοι, καὶ ὅτι παρὰ λυκαίνης ἐτράφησαν, καὶ οἵαν φασὶ τὴν λύκαιναν.

Ν. II. Ὁποῖοι ἦσαν Ῥῶμός τε καὶ Ῥωμύλος. Ὁ ἀναγνωρισμὸς Ῥώμου καὶ Ῥωμύλου. Ἀναίρεσις Ἀμουλίου.

Ν. III. Θάνατος Ῥώμου, καὶ ὅθεν ἐπικίνδυνον ἐνομίσθη τὸ τὴν τάφρον τοῦ στρατοπέδου τινὰ διελθεῖν, ἀφέντα τὴν συνήθη ὁδόν. Ὅπως διεγράφη τὸ τεῖχος τῆς Ῥώμης. Ὅτι τὰ τείχη ἱερά, οὐ μὴν καὶ αἱ πύλαι. Ποίᾳ ἡμέρᾳ ἡ Ῥώμη ἐκτίσθη, καὶ πόθεν τὸ Παλάτιον ἐκλήθη, καὶ περὶ λεγεῶνος. Ὅτι ἑκατὸν ἦσαν οἱ βουλευταὶ, οἳ καὶ πατρίκιοι ἐκαλοῦντο, καὶ διὰ τί ἐκλήθησαν πατρίκιοι. Ὅπως ἥρπασαν τὰς τῶν Σαβίνων θυγατέρας οἱ Ῥωμαῖοι· οἱ δὲ Σαβῖνοι Λακεδαιμονίων εἰσὶν ἄποικοι. Ὅτι ὑπὸ τῶν Σαβίνων ἐάλω ἡ Ῥώμη παρὰ γυναικὸς προδοθεῖσα, ὑπόσχεσιν λαβοῦσα τοὺς βραχιονιστῆρας Σαβίνων, οὓς μετὰ τὴν προδοσίαν ἐπιῤῥίπτοντες τῇ προδούσῃ, ἀπέκτειναν αὐτήν.

Ν. IV. Ὅτι κοινῇ Ῥωμαῖοι καὶ Σαβῖνοι τὴν πόλιν ᾤκησαν, καὶ Τάτιος Ῥωμύλῳ συνεβασίλευεν. Φόνος Τατίου. Περὶ τοῦ ἐν Ῥώμῃ γεγονότος λοιμοῦ διὰ τὸν Τατίου θάνατον καὶ τὴν αἱματώδη βρυχήν. Ὅτι ἐπὶ ἑκατὸν χρόνοις συνέβαινε εἰρηνεύειν μετὰ Ῥωμαίων Οὐήϊοι, δόντες καὶ ὁμήρους πεντήκοντα. Ὅτι τὴν μοναρχίαν καὶ τὰ βασιλικὰ σύσσημα πρῶτος Ῥωμύλος ἔδειξεν. Ὅτι οἱ καλούμενοι πατρίκιοι ὕστερον ἄπρακτον εἶχον τὸ ὄνομα. Ὅπως ἠφανίσθη Ῥωμύλος, καὶ θεὸς ἔδοξεν. Ὅπως ὁ Ῥωμύλος μετὰ τὸ ἀφανισθῆναι Κυρῖνος ἐκλήθη.

Ν. V. Ὅτι μετὰ τὸν Ῥωμύλον οἱ πατρίκιοι οὐκέτι ἕνα βασιλέα ᾑρετίσαντο, ἀλλ' ἕκαστος αὐτῶν ἥμισυ ἡμέρας καὶ νυκτὸς ἐβασίλευσεν, ὃ καὶ μεσοβασιλείαν ἐκάλεσαν. Ὅτι πάλιν εἰς ἀναῤῥήθη βασιλεὺς ὁ Νομᾶς Πομπήλιος. Ὅτι πρότερον ἔθυσε τοῖς θεοῖς, καὶ οὕτως ἔλαβε τὴν ἀρχὴν ὁ Νομᾶς, καὶ τὰ

βασιλικὰ παράσημα. Ὅτι καλῶς ἄγαν καὶ θεοφιλῶς ὁ Νομᾶς τὴν ἀρχὴν διήνυσεν, εὐσεβῶς παρὰ τοὺς τότε Ἕλληνας διακείμενος περὶ τὸ θεῖον. Ὅτι δεκάμηνος ἦν ὁ χρόνος παρὰ Ῥωμαίοις, παρὰ δὲ τοῖς λοιποῖς διαφόρως εἶχε μηνιαῖος, τετραμηνιαῖος, ἑξαμηνιαῖος.

N. VI. Ὅτι Ὁστίλιος Τοῦλλος μετὰ Νομᾶν ἦρξε. Περὶ τῶν τριδύμων ἀδελφῶν τῶν τε ἀπὸ Ῥώμης καὶ τῶν ἐξ Ἀλβανῶν, οὓς ἔτεκον μητέρες δίδυμοι. Ὅτι ἦν ποτε ἡ Ἄλβα τῆς Ῥώμης μητρόπολις.

N. VII. Ὅτι οἱ Λατῖνοι ἐναντίοι ἦσαν Ῥωμαίοις.

N. VIII. Περὶ τοῦ καταπτάντος αἰετοῦ εἰς τὴν κεφαλὴν τοῦ Ταρκυνίου. Ὅτι ὁ Ταρκύνιος ὁλοπόρφυρα εἶχε, τό τε ἱμάτιον, καὶ τὸν χιτῶνα, καὶ χρυσόπαστα, καὶ στέφανον διὰ λίθων, καὶ σκῆπτρον, καὶ δίφρον, καὶ τέθριππον. Περὶ τοῦ στοχαστικοῦ οἰωνιστοῦ. Περὶ τοῦ τιμηθέντος χαλκῇ εἰκόνι. Περὶ τῆς διαπαρθενευθείσης ἱερείας, ὅπως ἐκολάσθη, καὶ περὶ τῶν διαπαρθενευόντων αὐτάς.

N. IX. Περὶ τοῦ σημείου τοῦ εἰς τὸν Τούλλιον. Ὅτι ἔθνος οἱ Οὐολόσκοι. Ὅτι τοὺς πάντων δούλους ἠλευθέρωσαν. Ὅτι τὰ ἀστυκὰ ὑποδήματα τῶν εὐπατριδῶν ἦσαν, καὶ οἷα ταῦτα. Ὅτι ἄλλοι Ῥωμαῖοι παρὰ τοὺς Λατίνους.

N. X. Ὅτι κακῶς ἦρξε Ταρκύνιος Κάντεῦθεν ἄλλοι παρὰ τοὺς Ῥωμαίους οἱ Λατῖνοι. Ὅτι ἔθνος Γαυσῖνοι. Ὅπως συνεβούλευσεν ὁ πατὴρ μηδὲν εἰπὼν, ἀλλὰ πράξας. Ὅτι τὰ αὐτὰ καὶ Θρασύβουλός ποτε διεπράξατο.

N. XI. Περὶ τῆς μάντιδος Σιβύλλης. Περὶ τῶν βιβλίων Σιβύλλης. Περὶ τῆς διὰ βυρσῶν τιμωρίας. Περὶ τῆς εὑρεθίσης ἀνδρώας κεφαλῆς εἰς τὰ θεμέλια τοῦ ναοῦ, καὶ τί ἐθήλου τὸ τέρας. Ὅπως ὠνομάσθη τὸ Καπιτώλιον. Περὶ τῶν σημείων τῆς ἐκπτώσεως τοῦ Ταρκυνίου. Ὅτι Βροῦτος ὁ μωρὸς παρὰ Λατίνων. Ὅπως ὁ Βροῦτος τὴν γῆν ὡς κοινὴν μητέρα ἐφίλει. Περὶ Λουκρητίας, ἣν ἐβιάσατο ὁ τοῦ Ταρκυνίου υἱὸς, καὶ διὰ τοῦτο ἀπέσφαξεν ἑαυτήν. Ὅπως ὁ Βροῦτος τὸν Ταρκύνιον κατέλυσε, καὶ τῆς βασιλείας ἠξιώθη σὺν Κολλατίνῳ, ἵνα μὴ δοκῇ μοναρχεῖν· διὸ καὶ ὕπατοι οὗτοι ἐκλήθησαν.

N. XII. Ὅτι διὰ τὴν μελετωμένην προδοσίαν τῶν υἱῶν τοῦ Βρούτου κολαζομένων, ὁ πατὴρ οἷον ἀπαθῶς διέκειτο, ὁρῶν αὐτοὺς πάσχοντας. Ἤτοι διὰ πελέκεως ἀπέθανον. Ποπλικόλας ὁ δημοτικός. Περὶ τοῦ ἔθνους τῶν Τυρσηνῶν Ἐν μάχῃ πολλῶν πεσόντων ἐκατέρωθεν, εἶπε τὸ δαιμόνιον, ἐκ τοῦ ἑνὸς μέρους ἕνα πεσεῖν ἐπέκεινα, καὶ εὑρέθη οὕτως. Ὅτι Ῥωμαίοις οἱ Ἰταλοὶ ἐναντίοι ἦσαν τότε. Ὅπως ὁ Σκαιόλας εὐμηχάνως εἰρήνην ἐποίησε· μεταξὺ Ἰταλῶν καὶ Ῥωμαίων.

N. XIII. Ὅτι τετράκις ὑπάτευσεν Οὐαλέριος, καὶ Ῥωμαῖοι δυσχεραίνουσιν. Ὅτι ῥαβδούχους μετὰ πελέκεων εἶχε προϊόντας, καὶ οἰκίαν λαμπρὰν, ἣν καὶ παθήρησαν. Πότε ταμίαι ἐγένοντο, οἵ καὶ κοιαίστορες ἐκαλοῦντο, καὶ τί τὸ τῶν κοιαιστόρων ἔργον. Περὶ τοῦ ἔθνους τῶν Σαβίνων. Ὅτι Ῥωμαῖοι ἐνίκησαν. Ἤττα Σαβίνων. Ὅτι ἐπ' ἐνιαυτὸν ἐθρηνεῖτο τελευτήσα. Ποπλικόλας· Ἄδηις πόλεμος Λατίνων καὶ Ῥωμαίων. Περὶ δικτάτορος.

N. XIV. Περὶ τοῦ ἔθνους Οὐολούσκων. Ὅτι ἀρχικὸν ἦν τοὺς ἐν ἐκστρατείᾳ μὴ ἀπαιτεῖσθαι. Περὶ τοῦ ἔθνους τῶν Αἰκουῶν, καὶ ὅτι τὸν Μάξιμον τὸν μέγιστον σημαίνει. Περὶ τοῦ μύθου ἐν ᾧ ἡ γαστὴρ ὠνειδίζετο παρὰ τῶν λοιπῶν τοῦ σώματος μερῶν. Ὅπως ἐν ταῖς πολιτείαις οἱ δανείζοντες χρειώδεις.

N. XV. Τίνες οἱ τριβοῦνοι. Οἵα ἦν ἰσχὺς τότε τῶν τριβούνων. Πόθεν λέγεται, Καθωσιώθη. Τίς ὁ Ἀγορανόμος.

N. XVI. Ὅτι ὠνομάσθη Κοριολᾶνος ὁ Μάρκιος ἐκ τοῦ ἡττῆσαι τὸ ἔθνος τοῦ Κοριόλου. Ὅτι ἐν καιρῷ ἱπποδρομίας καὶ οἱ πρόσχωροι εἰς Ῥώμην συνέθεον. Κἀνταῦθα οἱ Ῥωμαῖοι τοῖς Λατίνοις ἐχθροί.

N. XVII. Περὶ τῆς τιμωρίας τῆς δεκατεύσεως, ἥτις τοῖς ἁμαρτήσασι στρατιώταις ἐπάγεται. Ὅτι πένης ἀνὴρ, καὶ γεωργίᾳ ζῶν, δικτάτωρ γέγονε διὰ τὴν λοιπὴν ἀρετήν. Ὅτι κατὰ Ῥωμαίους Κικινάτοι οἱ ἀκειροκόμαι. Τί τὸ ὑπὸ ζυγὸν ἀγαγεῖν τοὺς ἡττηθέντας.

N. XVIII. Ὅτι μετὰ τὴν τῶν νόμων ἐξ Ἑλλάδος μεταγωγὴν ἐπαύσαντο Ῥωμαίοις οἱ δήμαρχοι, καὶ στρατηγοὶ προεβλήθησαν. Ὅτι σανίσιν οἱ νόμοι γραφόμενοι τότε, εἰς τὴν ἀγορὰν προετίθεντο. Πόθεν ἡ Δωδεκάδελτος. Πότε ἡ Δεκαρχία κατελύθη.

N. XIX. Πότε χιλίαρχοι ἀνθ' ὑπάτων ἐκλήθησαν. Περὶ τιμητῶν. Ἐντιμότεροι τῶν τιμητῶν καὶ τῶν ἱππάρχων δικτάτορες. Τί ἐστι Πρίγκιψ.

N. XX. Πότε μισθοφορεῖν τὸ στρατιωτικὸν ἤρξατο. Τί σημαίνει ὅταν ὕδωρ ὑπερεκβλύσῃ.

